ΤΗΣ

ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΗΘΙΚΗΣ

ΠΡΑΓΜΑΤΕΙΑ

φιλοπονηθεῖσα

ΧΑΡΙΝ ΤΩΝ ΕΑΥΤΟΥ ΟΜΙΛΗΤΩΝ,


ΚΑΙ ΠΑΝΤΩΝ ΔΕ ΤΩΝ ΦΙΛΟΧΡΙΣΤΩΝ

ΥΠΟ

ΜΙΣΑΗΛ ΑΠΟΣΤΟΛΙΔΟΥ,

Ἀρχιμανδρίτου τοῦ Οἰκουμενικοῦ Πατριαρχικοῦ Θρόνου καὶ Καθηγητοῦ τῆς Θεολογίας ἐν τῷ Πανεπιστημίῳ

Ὄθωνος.



ΑΘΗΝΗΣΙ,

Τύποις Χ. Νικολαΐδου Φιλαδελφέως.

(Παρὰ τῇ Πύλῃ τῆς Ἀγορᾶς.)

ἐν ἔτει ᾳωμζ'.

Digitized by Google

«Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με. Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ.» Ἰωάν. ζ'. 17.

Digitized by Google

ΟΘΩΝΙ

ΤΩΙ

ΠΡΩΤΩΙ

ΤΩΙ

ΜΕΓΑΛΕΙΟΤΑΤΩΙ ΤΗΣ ΜΟΥΣΟΤΡΟΦΟΥ


ΕΛΛΑΔΟΣ

ΒΑΣΙΛΕΙ

ΙΕΡΟΝ.

Ὁ Συγγραφεύς.

Digitized by Google



Digitized by Google

ΒΑΣΙΛΕΥ,

Προθυμουμένῳ μοι δεῖγμα δοῦναι τῆς ἐμῆς τελείας τῇ ΥΜΕΤΕΡΑΙ ΜΕΓΑΛΕΙΟΤΗΤΙ ἀφοσιώσεως καὶ τῆς βαθείας εὐγνωμοσύνης, ὧν ἕνεκα παρ' ΑΥΤΗΣ ἠξίωμαι πολλῶν τε καὶ μεγάλων εὐεργετημάτων, προσενεγκόντα ΑΥΤΗΙ ὡς ἱερὸν εἶναι ἀνακεισόμενον τόδε ἀνάθημα, ἄλλο μοι παρ' ΑΥΤΗΣ ἐπεδαψιλεύθη οὐκ ἔλαττον τῶν προτέρων εὐεργέτημα. Πρὸς γὰρ τὸ ὁποιονοῦν τόδε μου φιλοπόνημα βασιλικῶς ἐπιστρέψασα, καὶ εὐμενεῖ καὶ ἱλέῳ τῷ ὄμματι ἐπιδεῖν εὐδοκήσασα, οὐχ ὅπως προσενεχθὲν, ἀποδοχῆς οὐκ ἀπηξίωσεν, ἀλλὰ, τὸ δὴ μέγιστον, καὶ τῷ ΑΥΤΗΣ κλεινοτάτῳ τε καὶ ἀθανάτῳ ὀνόματι ἐπαγλαϊσθῆναί τε καὶ μεγαλυνθῆναι αὐτὸ ἐπέτρεψεν.

Digitized by Google

ς'.

Τὸ δὲ οὕτω μικρὰ μετὰ τηλικαύτης εὐμενείας ἀποδέχεσθαι, εἰς τὴν προαίρεσιν ἀφορῶσαν τοῦ προσφέροντος, οὐ μόνον βασιλικὸν ἀτεχνῶς, ἀλλὰ καὶ εὐεργετικὸν μάλιστα, ὡς θάῤῥους ποιητικὸν, καὶ ζήλου ὑπὲρ τῆς λογικῆς τε καὶ ἠθικῆς προκοπῆς τοῦ πιστοῦ Αὐτῆς ὑπηκόου διεγερτικόν.

Δικαιότατον δὲ ἡγοῦμαι τὰ τοιαῦτα τῶν φιλοπονημάτων τῇ ΥΜΕΤΕΡΑΙ ἀνατίθεσθ[illegible] ΜΕΓΑΛΕΙΟΤΗΤΙ· ὡς γὰρ καρπὸς τοῦ ὑπὸ τῆς βασιλικῆς Σου δεξιᾶς φιλοτίμως ἀνεγερθέντος πανεπιστημείου, κείσονται καὶ ταῖς ἐπερχομέναις μαρτύρια τῆς μεγαλόφρονος φιλοτιμίας καὶ βασιλικῆς κηδεμονίας, ὅπως παλινδρομήσασαι καὶ αὖθις εἰς τὴν ἀρχαίαν αὐτῶν πατρίδα καὶ ἑστίαν αἱ μοῦσαι, μὴ μόνον τὴν χώραν ταύτην κατακοσμήσωσιν, ἀλλὰ καὶ περαιτέρω, τῆς προσηκούσης θεραπείας τε καὶ τιμῆς καὶ ἐνισχύσεως ἐνταῦθα ἐπαπολαύουσαι, καθάπερ πάλαι ἐντεῦθεν πρὸς ὕσμας ἡλίου ὁρμηθεῖσαι, πολλὰ καὶ παντοῖα τῇ εὐδαίμονι Εὐρώπῃ παρέσχον τὰ ἀγαθὰ, οὕτως αὖθις καὶ πρὸς ἀνατολὰς ἐντεῦθεν νῦν τραπεῖσαι, τὰ ὀνησίδωρα αὐτῶν ἀγαθὰ κἀκεῖ ἐπιδαψιλεύσωσιν.

Digitized by Google

Προώρισται γὰρ ἄνωθεν, ὡς ἔοικεν, ἡ κλεινὴ τοῦ θεοστηρίκτου βασιλείου Σου χώρα, ἑστία διατελεῖν τοῦ λογικοῦ φωτὸς, ἐν ᾗ ἅπτον τε καὶ τρεφόμενον, καὶ εἰς τὸν λοιπὸν ὁρίζοντα τῆς γῆς τὰς ζωηφόρους αὐτοῦ λαμπηδόνας ἐκπέμπει καὶ καταυγάζει, τὰ τῆς ἀγνοίας νέφη διαλύον.

Οἷον δὲ κλέος, κύδιστε Ἄναξ! τηλικούτοις φαίνεσθαι σκοποῖς τῆς πανσόφου καὶ παναγάθου προνοίας προθύμως τε καὶ ἀξιοπρεπῶς ὑπηρετεῖν! Ἡλίκη δὲ δόξα, ὅταν ἡ τῆς Ἑλλάδος ἀψευδὴς ἱστορία, τὴν παλιγγενεσίαν αὐτῆς παραδιδοῦσα, μαρτυρεῖ καὶ τοῦτο, ὅτι ἐπὶ Ὄθωνος τοῦ πρώτου ἐν αὐτῇ βασιλεύσαντος, ἤρξατο, εὐθὺς αὐτοῦ ἐπιδημήσαντος, καὶ ἐνεργοῦντος, καὶ προθύμως καλοῦντος, καὶ ἡ τῶν Μουσῶν εἰς αὐτὴν ἐπάνοδος! Κληθεῖσα γὰρ ἡ ΥΜΕΤΕΡΑ ΜΕΓΑΛΕΙΟΤΗΣ, ὡς πάλαι ποτὲ ὑπὸ τῆς μεγαλοδόξου Ῥώμης Νουμᾶς ἐκεῖνος ὁ πάνυ, ἵνα στηρίξῃ τε καὶ παγιώσῃ ἣν ἑαυτοῖς, εὐδοκίᾳ Θεοῦ, περιεποιήσαντο αὐτονομίαν καὶ ἐλευθερίαν οἱ Ἕλληνες, οὐ μόνῃ τῇ καταπαύσει τῶν παράχων ἠρκέσθη, καὶ τῇ καταστάσει τῆς πᾶσι τελεσφόρου εἰρηνεύσεώς τε

Digitized by Google

καὶ εὐταξίας, πάντων τὰ δίκαια ἐν ἀσφαλείᾳ διὰ σοφῶν καὶ ὠφελίμων θεσμοθεσιῶν τιθεῖσα, ἀλλὰ, καὶ τῇ τοῦ Ἔθνους λογικῇ τε καὶ ἠθικῇ ἀναπλάσει αὐτίκα ἐπεχείρησε, καὶ ἐπὶ τῆς Ὑμετέρας βασιλείας τοιαῦτα καὶ τοσαῦτα πρὸς διάδοσιν τῶν γραμμάτων συνέστησαν καθιδρύματα, οἷα παρὰ πολλοῖς καὶ πολυπληθεστέροις καὶ εὐπορωτέροις ἔθνεσι, μόλις μετὰ πολλῶν ἐτῶν εἰρήνην τε καὶ κατάστασιν συστῆναι ἐξεγένετο. Καὶ δέδεικται ἄρα ἐν Αὐτῇ ἡ τοῦ σολομωντίου λόγου ἀλήθεια, ὅτι « Βασιλεὺς δίκαιος ἀνίστησι χώραν » (α) τὴν ἑαυτοῦ δόξαν ἐν τῇ τῶν ἀρχομένων εὐημερίᾳ τε καὶ αὐξήσει τιθέμενος.

Ὁ δὲ πρεπωδέστατόν Σοι τόδε τὸ ἀνάθημα δείκνυσι τοῦτο ἐστὶ μάλιστα, ὅτι πασῶν, ὧν ἡ βίβλος αὕτη συνίστησιν ἠθικῶν ἀρετῶν, λαμπρότατον ἡ Ὑμετέρα ΜΕΓΑΛΕΙΟΤΗΣ παράδειγμα ἐν τῷ καθ' ἡμέραν βίῳ παρέχεται, καὶ ζῆλον ἔνθεον δείκνυσιν, ὅπως καὶ ἐν τοῖς βασιλευομένοις τὸ τοῦ ἤθους χρηστὸν καὶ εὐσεβὲς καὶ δίκαιον καὶ σῶφρον διαδιδόμενον, αὔξῃ, εὖ εἰδυῖα, ὅτι χωρὶς εὐσεβείας τε καὶ

(α) Παροιμ. κθ'. 4.

Digitized by Google

ἀρετῆς οὐδεμία ἂν εἴη εὐδαιμονία ἀληθής.

Τοῦτό με ποιεῖ τὸ δαυϊτικὸν ἀνακράζειν, Υἱοὶ Ἑλλάδος ἀγαλλιάσθωσαν ἐπὶ τῷ Βασιλεῖ αὐτῶν, καὶ ᾄσάτωσαν ἐν εὐφροσύνῃ. Ἡμέρας ἐφ' ἡμέρας τοῦ Βασιλέως προσθείη Κύριος! τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς! τὸ κέρας αὐτοῦ ὑψωθείη ἐν δόξῃ! Δέξαιο τοίνυν παγευμενῶς, Κράτιστε Βασιλεῦ, καὶ τὴν θερμὴν ταύτην εὐχήν, ἣν διηνεκῶς μετὰ πάντων τῶν πιστῶν ὑπηκόων Σου ἐκ βαθέων ἀναπέμπω πρὸς τὸν ὕψιστον βασιλέα, τὸν τὰ σκῆπτρα τῆς βασιλείας καὶ δωρούμενον καὶ κρατύνοντα καὶ μεγαλύνοντα.

Τῆς ὑμετέρας θεοφρουρήτου

ΜΕΓΑΛΕΙΟΤΗΤΟΣ

Ἀθήνησιν ἐν ἔτει σωτηρίῳ μὲν αωμζ',
τῆς δὲ θεοσώστου Αὐτῆς βασιλείας ιγ',
κατὰ μῆνα Ἰανουάριον.

Ὁ εὐπειθέστατος καὶ πιστότατος ὑπήκοος καὶ ἐλάχιστος τῶν θεραπόντων

ΜΙΣΑΗΛ ΑΠΟΣΤΟΛΙΔΗΣ.

Digitized by Google

Digitized by Google

Τοῖς ἐντυγχάνουσι.

Ἔχετε ἤδη, ὦ φιλόχριστοι, ἀνὰ χεῖρας, τῇ τοῦ ἐλεοῦντος Θεοῦ βοηθείᾳ, ἣν προανήγγειλα πραγματείαν τῆς κατὰ Χριστὸν ἠθικῆς. Μὴ θαυμάσητε δὲ, ἐὰν, ἐγκύπτοντες αὐτῇ, μηδὲν καινὸν, ἢ ἀλλότριον εὑρίσκητε, εἰμὴ αὐτὰ ταῦτα, ἅπερ ἀπὸ βρέφους, ὡς ἐν τῷ κόλπῳ τῆς κοινῆς μητρὸς ἡμῶν ἐκκλησίας γεννηθέντες, ἀκούετε καὶ οἴδατε ἱερὰ γράμματα, τὰ δυνάμενα σοφίσαι ἡμᾶς εἰς σωτηρίαν· οὐδὲ γὰρ οὐδ' ἄλλο οὐδὲν προὔκειτο, ὡς καὶ ἡ τῆς βίβλου ἐπιγραφὴ δηλοῖ, ἢ τὸ ἐν ἐπιστημονικῇ μεθόδῳ παραθεῖναι τὰ πρακτικὰ ἀξιώματα καὶ τὰς ἐντολὰς τοῦ Κυρίου, μετὰ τῆς λογικῆς ἀναπτύξεως καὶ τῶν πορισμάτων, ἅτινα φυσικῶς ἐξ αὐτῶν ἐξάγονται πρὸς τὴν σύστασιν καὶ τὸν καταρτισμὸν τοῦ κατὰ τὴν πίστιν ἐναρέτου βίου. Ταῦτα γὰρ διδαχθέντα μὲν πρῶτον ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὕστερον δὲ καὶ πανταχοῦ ὑπὸ τῶν ἁγίων αὐτοῦ μαθητῶν καὶ Ἀποστόλων κηρυχθέντα, καὶ ἐν τοῖς θεοπνεύστοις αὐτῶν συγγράμμασιν ἐκτεθέντα, ταῖς περιστάσεσι καὶ ταῖς ἀνάγκαις τῶν, πρὸς οὓς ἔγραφον, προσαρμοζόμενα, τὴν θαυμαστὴν τοῦ διεφθαρμένου κόσμου κατειργάσαντο ἀλλοίωσιν.

Περιέστειλε μὲν γὰρ ἀληθῶς πᾶσαν αὐτοῦ τὴν ἠθικὴν διλασκαλίαν ὁ Κύριος ἡμῶν ἐν τῇ μεγάλῃ ἐντολῇ τῆς ἀγάπης τῆς πρὸς τὸν Θεὸν, ὡς κοινὸν πάντων ἀνθρώπων πατέρα εὐμενῆ καὶ ἀγαθοποιὸν, καὶ τῆς πρὸς τὸν πλησίον, ὡς ἀδελφὸν ἡμῶν, καὶ τέκνον Θεοῦ, καὶ ἐξ αὐτῆς τῆς ἐναργοῦς ἐντολῆς ῥᾳδίως πάντα τὰ τοῦ ἀνθρώπου καθήκοντα παράγονται· ἀλλ' ὅμως οὐκ ἠρκέσθη

Digitized by Google

ταύτη μόνη τῇ καθολικῇ ἐντολῇ, ἀλλ' ἐν διαφόροις περιστάσεσι διδάσκων, καὶ εἰς πᾶσαν λεπτομέρειαν τοῦ ἀνθρωπίνου βίου καταβαίνων, οὐδεμίαν ἀφῆκεν ἀρετὴν, ἣν οὐ σηνέστησεν, οὐδεμίαν κακίαν, ἣν οὐκ ἀπηγόρευσεν, οὐδὲ πάθος, οὗτινος τὴν βλάβην οὐκ ἔδειξεν, οὐδὲ τάξιν ἢ κατάστασιν ἀνθρώπων, ἧς τὰ καθήκοντα οὐκ ἰχνογράφησεν. Ἵνα δὲ τὸ κακὸν καὶ πρόῤῥιζον ἀνασπάσῃ, καὶ ἐντελῶς θεραπεύσῃ, καὶ τοὺς πονηροὺς λογισμοὺς καὶ τὰς κακὰς ἐπιθυμίας ἀπηγόρευσε. Διατείνονται μέν τινες, ὅτι κρεῖττον ἐν μόνοις τοῖς κατὰ τὴν δικαιοσύνην καθήκουσι περιορίζεσθαι τὴν ἠθικὴν, ἐννοοῦντες οὕτω, μόνα τὰ τῷ πλησίον ὀφειλόμενα· ἀλλ' οὐδὲν ἄρα καὶ τῷ Θεῷ παρὰ τοῦ ἀνθρώπου ὀφείλεται; Ὁ δὲ θεῖος ἡμῶν διδάσκαλος, ὡς σοφία τοῦ Θεοῦ, περιλαμβάνει μὲν πάντα τὰ ἀγαθὰ ἔργα ἐν τῷ τῆς δικαιοσύνης καθολικῷ ὀνόμα τι, ἀλλ' ὁμολογεῖται παρὰ πάντων, ὅτι ἐν τῇ Καινῇ Διαθήκῃ, καθάπερ καὶ ἐν τῇ Παλαιᾷ, δίκαιος καλεῖται ὁ πάντα τὰ ἑαυτοῦ καθήκοντα πιστῶς ἐκπληρῶν τά τε πρὸς τὸν Θεὸν, καὶ τὰ πρὸς ἑαυτὸν, καὶ τὰ πρὸς τὸν πλησίον. Πῶς δ' ἂν ἐτήρει ταῦτα πάντα πιστῶς, εἰ μὴ ἠγάπα τὸν μὲν Θεὸν ὑπὲρ πάντα, τὸν δὲ πλησίον ὡς ἑαυτόν; Ἔτι δὲ πρὸς τούτοις ὁ Σωτὴρ ἡμῶν ἐθεμελίωσε τὴν ἑαυτοῦ ἠθικὴν ἐπὶ τὴν ἀληθῆ αὐτῆς βάσιν, ἤτοι ἐπὶ τὸ θέλημα τοῦ Θεοῦ, τοῦ ὑψίστου νομοθέτου καὶ κριτοῦ καὶ μισθαποδότου, ἐπὶ τὴν ἀσφάλειαν τῶν ἐν τῇ μελλούσῃ ζωῇ ἀμοιβῶν τῆς ἀρετῆς καὶ κολάσεων τῆς κακίας· καὶ καλεῖ τὰς ἁγίας αὐτοῦ ἐντολὰς θέλημα τοῦ Θεοῦ καὶ πατρὸς, ὅς καὶ ὡς ὑπέρτατος δικαστὴς, τοῖς μὲν δικαίοις δωρεῖται ζωὴν καὶ μακαριότητα αἰώνιον, τοὺς δὲ πονηροὺς ἀποπέμπει εἰς κόλασιν αἰώνιον. Ἀλλ' οὐδ' ἐκ τῶν φυσικῶν λόγων, ὅσοι σεμνοὶ ὄντες, προτρέποιεν ἂν εἰς τὴν ἀρετὴν, οὐδένα παρέλιπεν, εἰρήνην ψυχῆς ἐπαγγειλάμενος τοῖς τὸν ἅγιον αὐτοῦ νόμον τηροῦσι,

Digitized by Google

καὶ ἀνάπαυσιν τῆς συνειδήσεως, καὶ ἐξουσίαν ἐπὶ τῶν καρδιῶν, καὶ δόξαν ἀγαθὴν, καὶ τιμὴν παρὰ τοῖς ἀνθρώποις, καὶ αὐτὰ δ' ἔτι τὰ πρόσκαιρα ἀγαθά. « Ἄρατε, ἔλεγε, τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾳός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν,(α)« Μακάριοί φησιν, οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν », καὶ ἀλλαχοῦ, « Μὴ οὖν μεριμνήσητε λέγοντες, τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα, οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρήζετε τούτων ἁπάντων » (β). Τῇ δ' ὑψηλῇ ταύτῃ διδασκαλίᾳ καὶ τὴν ἰσχὺν προσέθηκε τοῦ παραδείγματος. Οὐδὲν γὰρ ἐνετείλατο, ὃ οὐκ αὐτὸς πρῶτος ἔπραξεν, ὑπόδειγμα ἡμῖν ἑαυτὸν ἐν πᾶσι παρεχόμενος. « Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, ἔλεγε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ » (γ). Διὰ ταῦτ' ἄρα ἡ κατὰ Χριστὸν Ἠθικὴ ἐστιν ἡ πασῶν τῶν ἠθικῶν διδασκαλιῶν ἀρίστη καὶ τελειοτάτη, ἀνυψοῦσα καὶ καλλύνουσα τῆς ἀνθρωπίνης φύσεως τὴν εὐγένειαν, καὶ κατεργαζομένη, ὅ,τι ἡ κενόφωνος τῶν σοφῶν τοῦ κόσμου διδασκαλία, καί τοι πολλοὺς αἰῶνας πρότερον ἀγωνιζομένη, οὐκ ἴσχυσε κατεργάσασθαι. Ἐν αὐτῇ ὄντως ἐφανερώθη δύναμίς τις ἐσωτερικὴ τῆς ἀληθείας, ἀναπλάττουσα θαυμασίως καὶ μεταμορφοῦσα τὴν ἀνθρωπίνην καρδίαν εἰς τὸ ἀγαθόν. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἔλεγεν, « Οὐκ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι » (δ). Ἐδείχθη δὲ μάλιστα ἡ δύναμις αὕτη ἐν οἷς τῇ κοινωνίᾳ τῶν ἀνθρώπων ἐπήγαγεν. Εἰ γὰρ καὶ κυριώτατος σκοπὸς τῆς θείας οἰκονομίας ἐστὶν ἡ

(α) Ματθ. ιά. (β) Ματθ. έ. 4. (γ) Ἰωαν. ιέ. 10, (δ) Ῥωμ. ά. 16.

Digitized by Google

τῶν ἀνθρώπων αἰώνιος σωτηρία, ἀλλ' ὅμως καὶ τὸν ἐπὶ γῆς βίον αὐτῶν οὐχ ἧττον σώφρονά τε καὶ μακαριώτερον ἀπεργάζεται, ὡς ἡ νῦν τοῦ χριστιανικοῦ κόσμου πολιτικὴ ἐλευθερία καὶ κατάστασις μαρτυρεῖ. Ταῖς μὲν γὰρ κατὰ νόμον ἀρχαῖς καινήν τινα δόξαν καὶ μονιμότητα ἐμποιεῖ, ὡς ὑπὸ τοῦ Θεοῦ τεταγμένας λογίζεσθαι αὐτὰς διδάσκουσα, καὶ ὑπακούειν αὐταῖς πείθουσα, τὴν δὲ ἄνομον δυναστείαν καὶ τὸν δεσποτισμὸν καταστρέφει, καὶ τὰς στάσεις ἀπελαύνει, τὴν ὑπακοὴν ἐπὶ τοσοῦτον συνιστᾶσα, ἐφ' ὅσον ἡ τοῦ ἀνθρώπου ἐπιτρέπει ἀξία. Ἔτι δὲ καὶ τὰ δεσμὰ τῆς κτηνώδους δουλείας, καὶ τοῦ ἀνδραποδισμοῦ κατὰ πάντα τὰ χριστιανικὰ βασίλεια διέρρηξε, τὴν δὲ ἀγωγὴν καὶ ἐκπαίδευσιν τῆς νεολαίας ὡς καθῆκον ἱερὸν ἐπιβάλλει, δι' ὧν πείθει πανταχοῦ εἰς τὴν σύστασιν καὶ διατήρησιν δημοσίων σχολείων. Πρὸς δὲ τούτοις καὶ τὸ τῆς εὐποιΐας φρόνημα σταθερὸν ἐμπνέουσα, παρέχει τοῖς πένησι, τοῖς ὀρφανοῖς, τῇ ἀσθενείᾳ τοῦ γήρως, καὶ ὅλως τῇ δεινοπαθούσῃ τῆς ἀνθρωπότητος ἀρωγὴν καὶ παραμυθίαν. Καὶ αὐτὴ δὲ τῶν ἱερῶν μοναστηρίων ἡ ἀνέγερσις, καρπὸς οὖσα τῆς κατὰ Χριστὸν ἠθικῆς, οὐ μικρὸν ὑπῆρξε τοῖς ἀνθρώποις εὐεργέτημα, καί τοι μὴ μετὰ τῆς δεούσης εὐγνωμοσύνης ἐν ἐσχάτοις καιροῖς ἀναγνωρισθέν. Εἰ δέ ποτε οἷόν τε ἦν ἀφανισθῆναι ἀπὸ τῶν ἀνθρώπων τὴν διδασκαλίαν ταύτην, οὐδὲν ἂν ἄλλο προσεδοκήσαμεν, ἢ ἰδεῖν αὖθις τὸν ἀσιανὸν δεσποτισμὸν ἐπανερχόμενον, ἢ τὴν σκυθικὴν βαρβαρότητα, ἢ τὴν μεσημβρινὴν χλιδὴν καὶ μαλθακότητα.

Τέλος δὲ καὶ αὐτὸν τὸν οἰκιακὸν βίον ἐπηνώρθωσε καὶ ἐξευγένισε, τὰς μὲν κτηνώδεις καὶ παρὰ φύσιν ἀκαθαρσίας πάσας καὶ βδελυρίας, ὡς ἀσύγγνωστα ἁμαρτήματα αὐστηρῶς καταδικάζουσα, καὶ τὴν ἐκ φιληδονίας ἀκολασίαν καταστέλλουσα, τὴν δὲ σωφροσύνην παραγ-

Digitized by Google

γέλλουσα, καὶ τὴν πολυγαμίαν κωλύουσα, καὶ τὴν αὐθαίρετον τοῦ γάμου διάλυσιν, ὃν εἰς μυστήριον μέγα καὶ ἱερὸν, ὡς χρηπῖδα τῆς κατ' οἶκον εὐδαιμονίας ἀνύψωσεν. Οὕτω δὲ καὶ τὴν μέθην ἀπαγορεύει καὶ τὴν ἀδηφαγίαν, καὶ τῇ γυναικὶ τὰ τοῦ ἀνθρώπου δικαιώματα ἀπέδωκε, καὶ τὴν πολυάριθμον τάξιν τῶν οἰκετῶν ἀνέπλασε, καὶ τὴν ἠθικὴν ἀγωγὴν τῶν νέων ὡς χρέος θρησκευτικὸν συνέστησε.

Πολλοὺς αἰῶνας πρὸ Χριστοῦ ἠγωνίζοντο οἱ τῶν Ἐθνῶν φιλόσοφοι, ἵνα τὴν ἑαυτῶν ἠθικὴν φιλοσοφίαν ἐπὶ τοὺς λόγους ἐκείνους ἐπεισοδομήσειαν, οὓς καὶ οἱ ἐκείνων ὀπαδοὶ μέχρι τοῦ νῦν, ὡς ἰσχυροὺς καὶ ἀποχρῶντας θαυμάζουσιν, ἀλλ' οὐδεὶς ἀγνοεῖ, οἷα παράδοξα ἴσχυσεν ἡ τοιαύτη διδασκαλία, καὶ οἵα ἦν ἐν τῷ τότε χρόνῳ παρὰ τοῖς ἔθνεσιν ἡ τῶν ἠθῶν ἐξαχρείωσις καὶ διαφθορά. Πιστὴν γὰρ ταύτης εἰκόνα κατέλιπεν ἡμῖν ὁ μακάριος Παῦλος ἐν τῷ πρώτῳ κεφαλαίῳ τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς, μαρτυροῦσαν ταῦτα τρανῶς. Ὀρθῶς ἄρα καὶ δικαίως οἱ ἀρχαῖοι τῆς πίστεως ἀπολογηταὶ τῇ τῶν ἐνεργειῶν τῆς χριστιανικῆς διδασκαλίας παραθέσει πρὸς τὰς τῆς ἐθνικῆς φιλοσοφίας χρώμενοι, τὴν θειότητα ταύτης ἀπεδείκνυον, καὶ τὴν τῶν κατηγόρων αὐτῆς στόμαργον γλωσσαλγίαν ἀπεστόμουν. « Ἡ διδαχὴ τοῦ Ἰησοῦ, ἔλεγέ τις, ἐμποιεῖ θαυμασίαν τινὰ πραότητα καὶ καταστολὴν τοῦ ἤθους, καὶ φιλανθρωπίαν, καὶ χρηστότητα, καὶ ἡμερότητα ἐν τοῖς μὴ διὰ τὰ βιωτικὰ, ἤ τινας χρείας ἀνθρωπικὰς, ὑποκρινομένοις, ἀλλὰ παραδεξαμένοις γνησίως τὸν περὶ Θεοῦ καὶ Χριστοῦ καὶ τῆς ἐσομένης κρίσεως λόγον. Οἱ δὲ κατήγοροι τοῦ χριστιανισμοῦ οὐχ ὁρῶσιν, ὅσων πάθη, καὶ ὅσων χύσις κακίας καταστέλλεται, καὶ ὅσων ἄγρια ἤθη ἡμεροῦται προφάσει τοῦ λόγου· ᾧ ἔδει αὐχοῦντας αὐτοὺς τὸ κοινωνικὸν

Digitized by Google

χάριτας ὁμολογεῖν, καινῇ μεθόδῳ πολλῶν κακῶν μεταστήσαντι τοὺς ἀνθρώπους, καὶ μαρτυρεῖν γε αὐτῷ, εἰ καὶ μὴ ἀλήθειαν, ἀλλὰ τὸ λυσιτελὲς τῷ τῶν ἀνθρώπων γένει » (α).

Καὶ ταῦτα μὲν τὰ περὶ ὧν πραγματεύεται τὸ βιβλίον. Οὐκ ἔστι δ' ὅλως ἀμφιβάλλειν, ὅτι καὶ νῦν ἔτι διαμένει ἐν αὐτοῖς ἡ ἐσωτερικὴ ἐκείνη δύναμις, ἡ τῆς τοῦ κόσμου διαφθορᾶς κατισχύσασα, καὶ ἀνακαινίσασα αὐτόν· τὸ γὰρ ἅγιον καὶ ζωοποιὸν πνεῦμα, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ πέμψειν ὁ Χριστὸς ἐπηγγείλατο, ἵνα μένοι μεθ' ἡμῶν εἰς τὸν αἰῶνα, ἐμποιεῖ καὶ διατηρεῖ ἔτι καὶ νῦν τῷ θείῳ λόγῳ τὴν ἀναγεννητικὴν ταύτην δύναμιν. Ἔτι καὶ νῦν, ὁ λόγος τοῦ Θεοῦ μελετώμενός τε καὶ διδασκόμενος, ὅπως δεῖ, οὐχ ἧττον ἰσχύει μετασχηματίζειν τε κατὰ Χριστὸν καὶ μεταμορφοῦν καὶ νοῦν καὶ καρδίαν τῶν πιστῶν, καὶ ἀναδεικνύναι αὐτοὺς εἰκόνας ζώσας ἐπὶ τῆς γῆς τοῦ οὐρανίου πατρός. Οὕτως οὖν περὶ τῆς αὐτοῦ ἰσχύος τε καὶ ἐνεργείας κράτιστα πεπεισμένος, εἰς φῶς ἐκδοῦναι τὴν παροῦσαν πραγματείαν ἐθάρρησα, κατὰ μίμησιν τῶν ἐν Εὐρώπῃ λογίων ἀνδρῶν ὡς εἰς τὴν εὐχερῆ καὶ βάσιμον διδασκαλίαν τοῦ θείου νόμου συντελοῦσαν. Περιέχει γὰρ, ὡς εἴρηται, τὸ κεφάλαιον τῶν ἠθικῶν κανόνων, οὓς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ οἱ πνευματέμφοροι αὐτοῦ Ἀπόστολοι ἐδίδαξαν, οἱ δὲ τῆς ἐκκλησίας πατέρες πολλαχῶς πρὸς καταρτισμὸν τῶν πιστῶν διετράνωσαν· ἑρμηνεύει δὲ καὶ τὴν ἱερωτάτην καὶ ἀναλλοίωτον σχέσιν τοῦ ἀνθρώπου πρὸς τὸν ἑαυτοῦ ποιητὴν καὶ πατέρα Θεὸν, καὶ πρὸς πάντα τὰ ὄντα τῆς ἑαυτοῦ φύσεως, καὶ πάντα, ὅσα ὁ θεῖος νόμος κατὰ τὴν σχέσιν ταύτην, πράττειν ἢ φεύγειν ἐντέλλεται· καὶ τὰ εἰς τήρησιν αὐτῶν προτρέποντα ἡμᾶς

(α) Ωριγ. κ. Κέλσου, βιβλ. ά. § 67.

Digitized by Google

αἰτια, ἵνα ἀδιάλυτός τε καὶ ἀδιάῤῥηκτος ἡ σχέσις αὕτη διαμένῃ. Ταῦτα δὲ δήπου καὶ ἰδίως ὑφ' ἑκάστου τῶν πιστῶν μελετώμενα, καὶ ὑπὸ τῶν σοφῶν διδασκάλων ἐπιμελῶς τῇ νεολαίᾳ παραδιδόμενα, ἰσχυρὰ καταβάλλουσιν ἐν ταῖς ψυχαῖς τὰ τῆς εὐσεβείας καὶ ἀρετῆς σπέρματα, ἅτινα βλαστάνοντα, μυριοπλάσια ἐν καιρῷ καρποφορήσουσι. Καὶ ἡ μὲν πρόθεσις καὶ προθυμία γε ἡ ἐμὴ τοιαύτη· εἰ δὲ καὶ τοῦ σκοποῦ ἐν τῇ πραγματείᾳ ἔτυχον, ἄλλοις ἐφεῖται περὶ τούτου τὴν ψῆφον ἐπενεγκεῖν, ἴσως γοῦν ἑτέροις παρέξεται τὴν ἀφορμὴν, ἱκανωτέροις τε καὶ πλείονα τὴν σχολὴν ἔχουσι, περὶ τὴν τελειοτέραν ἐπεξεργασίαν τῆς σπουδαιοτάτης καὶ ὡς μάλιστα κοινωφελεστάτης ταύτης ὑποθέσεως σπουδάσαι· ἐμοὶ δὲ καὶ τοῦτο ἀρκέσει, ἐὰν, τόγε νῦν ἔχον, μέχρις οὗ τὰ τελεώτερα φανῶσι, μὴ ἄχρηστον, ἢ περιττὸν ὅλως κριθῇ· ἀλλ' οὐ τοιοῦτον, εὖ οἶδ' ἔγωγε, κριθήσεται, εἰ μὴ πάνυ ἀνεπιεικῶν τύχοιμι τῶν δικαστῶν. Οὐκ ἄπο δὲ σκοποῦ μοι δοκεῖ καὶ περὶ τοῦ, ᾧ ἐχρησάμην, ἐν τῇ ἑρμηνείᾳ ἰδιώματος εἰπεῖν τι. Οὔτε γὰρ τὸ νῦν εἰθισμένον παρὰ τοῖς πολλοῖς τῶν λογίων ἐστὶν, οὔτε τὸ ἀκρατῶς ἀττικὸν τῶν ἀρχαίων, ἀλλ' ἐκείνου μὲν κανονικώτερον, τούτου δὲ κοινότερόν τε καὶ ἰδιωτικώτερον. Προειλόμην δὲ τοῦτο μάλιστα δυοῖν ἕνεκα, τὸ μὲν, ὅτι ταῖς ἐπιστημονικαῖς τε καὶ διδακτικαῖς τῶν πραγματειῶν ἐν γένει, ἁρμόττειν μᾶλλον δοκεῖ μοι τὸ ἀρχαιότερον ἰδίωμα, ὡς κανονικώτερον, καὶ ἑστηκὸς ἤδη, καὶ τοὺς τῶν πραγμάτων ὅρους ἀκριβέστερόν τε καὶ συντομώτερόν ἀποδιδοῦν· τὸ δὲ, ὅτι, ἐν τῇ παρούσῃ μάλιστα πραγματείᾳ, μεστῇ οὔσῃ τῶν γραφικῶν ῥήσεων καὶ ἐξ αὐτῶν τὰ πλεῖστα συνυφασμένῃ, μεγίστη ἂν πάντως ἡ ἀνωμαλία συνέβαινεν, εἰ ἰδιώματι πάνυ διαφόρῳ τοῦ τῶν ἁγίων Γραφῶν ἐχρησάμην. Τοῦτο δὲ κυρίως ἐστὶν, ὅ μ' ἔπεισεν

Digitized by Google

τή.

ἰδιώματι χρήσασθαι παραπλησίῳ, ὅσον οἷόν τε, τῷ τῶν ἁγίων Γραφῶν, ἀλλὰ καὶ οὕτω προὔργου μοι ἐγένετο παντα-χοῦ φεύγειν τὸ ἀσαφὲς, καὶ τῆς ἀττικῆς καλλιεπείας πρό-τερον τίθεσθαι τὸ καθαρὸν καὶ σαφὲς, τῇ κοινοτέρα φράσει πρὸς τοῦτο χρώμενον. Οὐ γὰρ ἐπιδείξεως, ἀλλ᾽ ὠφελείας μάλιστα προὔκειτο σκοπός· ἡ δὲ ὠφέλεια ἐκ τῆς ἐναρ-γοῦς τῶν λεγομένων παραστάσεως γίνεται. Καὶ ταῦτα μὲν περὶ τούτου, ἱκανὰ, ὡς ἔμοιγε δοκεῖ, εἰς δικαίωσιν.

Ἀποδέξασθε τοίνυν, ὦ φιλόχριστοι, τὸ προσφερόμενον εὐμενῶς, εἰς τὴν τοῦ προσφέροντος ἀφορῶντες γνώμην· κἂν γὰρ ἔλαττον τῆς προσδοκίας ὑμῶν φανῇ, ἀλλὰ τοῖς γε μετὰ τῆς δεούσης σπουδῆς ἐντυγχάνουσιν οὐκ ἀνόνη-τον πάντως δειχθήσεται.

Ἔγραφον Ἀθήνῃσι τοῦ σωτηρίου ἔτους ᾳωμζ΄
κατὰ μῆνα Ἰανουάριον.

ΜΙΣΑΗΛ ΑΠΟΣΤΟΛΙΔΗΣ.

Digitized by Google

ΠΙΝΑΞ

ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Μέρος Πρῶτον.

Σελ.

§ 1. Ὅρος τῆς κατὰ Χριστὸν Ἠθικῆς. 1
» 2. Πηγαὶ τῆς κατὰ Χριστὸν Ἠθικῆς. 1
» 3. Μέθοδος τοῦ σπουδάζειν τὴν ἐπιστήμην. 3
» 4. Τὸ τῆς ἐπιστήμης ὠφέλιμον καὶ ἀναγκαῖον. 4

ΤΗΣ ΚΑΘΟΛΟΥ ΗΘΙΚΗΣ ΚΕΦΑΛΑΙΟΝ Α'.

» 1. Προϋπόμνησις πρὸς κατανόησιν τῆς καθολικῆς ἀρχῆς. 5
» 2. Πόθεν ἡ πρὸς τὸν Θεὸν καὶ ἡ πρὸς τὸ ὁμόφυλον σχέσις ἡμῶν δηλοῦται. 6
» 3. Περὶ τῆς ἐκ τοῦ Θεοῦ γενέσεως τοῦ ἀνθρώπου. 7
» 4. Περὶ τῶν διαφόρων χαρισμάτων τοῦ ἀνθρώπου. 9
» 5. Περὶ τοῦ τέλους εἰς ὃ ἐκλήθη ὁ ἄνθρωπος. 10
» 6. Τίνα τὰ βοηθοῦντα ἡμῖν εἰς τὸ γνῶναι τὸ κράτιστον ἡμῶν τέλος. 11
» 7. Περὶ τῆς πρώτης γενέσεως τοῦ ἠθικοῦ κακοῦ ἤτοι τῆς ἁμαρτίας. 13
» 8. Περὶ τῆς μεταδόσεως τῆς φθορᾶς. 14
» 9. Περὶ τῆς ἐπανορθώσεως τοῦ ἀνθρώπου διὰ τῆς ἐνσάρκου οἰκονομίας. 16
» 10. Τίς ἡ δουλεία τῆς σαρκός. 18
» 11. Τίς ἡ τοῦ πνεύματος ἐλευθερία. 20
» 12. Πῶς ἔχουσι πρὸς τὴν σχέσιν τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν αἱ πράξεις αὐτοῦ. 21
» 13. Περὶ τῆς οὐσιώδους ἀγαθότητος, ἢ κακίας τῶν ἀνθρωπίνων πράξεων. 22

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ. Β'.

§ 14. Περὶ νόμου καὶ τῶν διαφόρων αὐτοῦ διαιρέσεων. Σελ. 23
» 15. Περὶ τοῦ καθολικοῦ νόμου τῆς Ἠθικῆς. 24
» 16. Ὅτι ὄντως ὁ νόμος οὗτος ὑπάρχει. 26
» 17. Τίνα τὰ εἰς τήρησιν αὐτοῦ πειστήρια. 26
» 18. Πῶς δεῖ ἔχειν πρὸς τὸν ἠθικὸν νόμον. 27
» 19. Περὶ τῆς τοῦ ἀνθρώπου ἀξίας. 31
» 20. Τίνι προσήκει τὸ νομοθετεῖν. 33
» 21. Ὅτι ὑπακούειν ὀφείλομεν τοῖς νομοθετουμένοις. 35
» 22. Ὅρια τῆς νομοθετικῆς ἐξουσίας· ὁ καθολικὸς νόμος. 36
» 23. Ἡ φυσικὴ δύναμις. 37
» 24. Τὸ τέλος τῆς νομοθεσίας. 38
» 25. Περὶ ἀκυρώσεως τῶν πολιτικῶν νόμων. 39
» 26. Μέχρι τίνος ἰσχύει ἡ ὀφειλὴ τοῦ ἐκπληροῦν τοὺς πολιτικοὺς νόμους. 39
» 27. Τίσιν ἐπίκειται ἡ ὀφειλὴ τῆς ἐκπληρώσεως τῶν νόμων. 40

ΚΕΦΑΛΑΙΟΝ. Γ'. ΠΕΡΙ ΚΑΘΗΚΟΝΤΩΝ.

» 28. Ὅρος τοῦ καθήκοντος καὶ διαίρεσις καθολική. 41
» 29. Ὑποδιαίρεσις τῶν καθηκόντων. 42
» 30. Περὶ διακρίσεως τῶν καθηκόντων. 44
31. Περὶ αἱρέσεως τῶν καθηκόντων, ἐπειδὰν ἀλλήλοις συμπίπτωσι. 46
» 32. Περὶ τοῦ δικαιώματος. 47
» 33. Περὶ τῆς χρήσεως τῶν δικαιωμάτων. 48
» 34. Ὅρος τῆς δικαιοσύνης καὶ τῆς ἀδικίας. 48
» 35. Περὶ ἐπιεικείας καὶ αὐστηρότητος. 50
» 36. Περὶ τοῦ πῶς δεῖ ἔχειν τὴν δικαιοσύνην καὶ τὴν ἐπιείκειαν πρὸς ἀλλήλας. 51
» 37. Περὶ τῆς σχέσεως τῶν καθηκόντων καὶ τῶν δικαιωμάτων. 52

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ Δ'.

§ 38. Περὶ συνειδήσεως καὶ τῶν αὐτῆς διαιρέσεων. Σελ. 53
» 39. Περὶ τῶν διαφόρων προσωνυμιῶν τῆς συνειδήσεως. 54
» 40. Αἱ κυριώτεραι διαιρέσεις τῆς συνειδήσεως. 55
» 41. Κανόνες πρακτικοί. 56
» 42. Περὶ εὐσυνειδησίας. 57
» 43. Προαγωγικὰ τῆς ἀληθοῦς εὐσυνειδησίας. 58

ΚΕΦΑΛΑΙΟΝ Ε'.

» 44. Περὶ ἀρετῆς. 59
» 45. Ὅτι καρπὸς τῆς ἐπιμελείας καὶ τοῦ ἀγῶνος. 60
» 46. Περὶ τῶν αὐτῆς ἰδιωμάτων. 61
» 47. Περὶ τῶν αὐτῆς αἰτίων. 63
» 48. Περὶ τῶν ἐν τῇ θείᾳ Γραφῇ ὀνομάτων αὐτῆς. 66
» 49. Περὶ τῶν ἀπολύτως ἀναγκαίων πρὸς τὴν ἀρετήν. 65
» 50. Τὸ τῆς ἀρετῆς ἀναγκαῖον. 68
» 51. Ἑνότης καὶ ποικιλία τῆς ἀρετῆς. 70
» 52. Περὶ τῆς ἀξίας τῆς ἀρετῆς. 72
» 53. Περὶ τοῦ συνδέσμου τῆς ἀρετῆς μετὰ τῆς θείας λατρείας καὶ τῆς εὐδαιμονίας. 73
» 54. Ὅτι οὐχ ὡς τὸ ἀποτέλεσμα ἐκ τῆς αἰτίας, οὕτως ἡ εὐδαιμονία ἐκ τῆς ἀρετῆς, ἀλλ' ἐκ τῆς ἀγαθότητος τοῦ Θεοῦ. 75
» 55. Περὶ τῆς μακαριότητος ἀκριβέστερον. 76

ΚΕΦΑΛΑΙΟΝ ς'.

» 56. Ὅρος καὶ αἴτια τῆς κακίας καὶ ἁμαρτίας. 79
» 57. Τίνα τὰ συντελοῦντα τῇ τοῦ ἀνθρώπου διαφθορᾷ; 80
» 58. Ἡ πρὸς τὴν εὐπάθειαν τῶν αἰσθήσεων ῥοπὴ, καὶ περὶ τοῦ πειρασμοῦ εἰς τὴν ἁμαρτίαν. 83
» 59. Ὅτι καὶ κατὰ παραχώρησιν καὶ κατ' εὐδοκίαν συμβαίνουσι πειρασμοί. 84

Digitized by Google

§ 60. Κανόνες περὶ τῶν πειρασμῶν. Σελ. 85
» 61. Περὶ τῶν σατανικῶν πειρασμῶν. 87
» 62. Ἡ γένεσις τῆς ἁμαρτίας. 88
» 63. Ὅτι παρεκτροπὴ ἀπὸ τοῦ ἠθικοῦ νόμου πρὸς ὑπακοὴν εἰς τὸ θέλημα τῆς σαρκός. 89
» 64. Ὅτι ἡ πρὸς τὸ ἁμαρτάνειν διάθεσις χαλεπὸν καὶ κινδυνῶδες. 90
» 65. Περὶ διαφόρων διαιρέσεων τῆς ἁμαρτίας. 91
» 66. Ἑτέρα διαίρεσις. 92
» 67. Ὅτι καὶ τοῖς ἐκ προαιρετικῆς ἀγνοίας ἁμαρτάνουσι μεγάλη ἐπίκειται εὐθύνη. 93
» 68. Ἑτέρα διαίρεσις τῶν ἁμαρτημάτων εἰς συγγνωστὰ καὶ ἀσύγγνωστα. 95
» 69. Πῶς ἄντις τὸ τῶν ἁμαρτημάτων μέγεθος διακρίνοι. 96
» 70. Περὶ τῆς κατὰ τὸ ποιὸν διαφορᾶς τῶν ἁμαρτημάτων. 97
» 71. Περὶ τῆς κατὰ τὸν ἀριθμὸν διακρίσεως αὐτῶν. 98
» 72. Περὶ τῶν κακῶν, ὅσα τὰ ἁμαρτήματα ἀναγκαίως συνεπάγονται. 100
» 73. Περὶ τῆς συνηθείας τοῦ ἁμαρτάνειν. 101
» 74. Ὅτι παρὰ τὰς φυσικάς εἰσι καὶ θετικαὶ ποιναὶ τῆς ἁμαρτίας. 103
» 75. Ἀλεξήματα τῆς φαύλης συνηθείας. 104
» 76. Περὶ καταλογισμοῦ τῶν ἐκ τῶν φαύλων πράξεων ἀποτελεσμάτων. 106

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

» 77. Περὶ τῶν θανασίμων ἁμαρτημάτων. 108

Περὶ ὑπερηφανίας

» 78. Περὶ τῆς ὑπερηφανίας. 109
» 79. Περὶ τῶν ἐκδηλώσεων αὐτῆς. 110
» 80. Τὰ ἐφ' οἷς ἡ ὑπερηφανία. 111
» 81. Περὶ τῆς προσηκούσης τῷ ἀνθρώπῳ διαγωγῆς. 113
» 82. Ἀλεξήματα κατὰ τῆς ὑπερηφανίας. 114

Περὶ Φιλαργυρίας

» 83. Φιλαργυρία ἢ περὶ τῆς γενέσεως αὐτῆς. 115

Digitized by Google

§ 84. Περὶ τῶν διαφόρων εἰδῶν αὐτῆς. Σελ. 116
» 85. Περὶ τῶν ἐκ τῆς φιλαργυρίας κακῶν. 116
» 86. Ἐν τίνι τὸ τῆς φιλαργυρίας κακόν. 118
» 87. Περὶ τῆς ἐν τῇ φιλαργυρίᾳ εὐθύνης. 119
» 88. Αἱ συνήθεις τῶν φιλαργύρων προφάσεις. 120
» 89. Τῆς φιλαργυρίας ἀλεξήματα. 121

Περὶ Πορνείας

» 90. Περὶ πορνείας, ἤτοι ἀρχικὸν τέλος τῆς γεννητικῆς ὁρμῆς καὶ νόμιμος αὐτῆς θεραπεία. 124
» 91. Περὶ τῆς ἀθεμίτου θεραπείας αὐτῆς. 125
» 92. Αἱ παρὰ φύσιν ἁμαρτίαι. 127
» 93 Τί χρὴ ποιεῖν, ὅταν, καὶ παρὰ γνώμην ἡ σαρκικὴ ὁρμὴ ἀνακινῆται. 129
» 94. Τὰ ἐκ τῆς λαγνείας κακά. 130
» 95. Ἀνασκευὴ τῶν τῆς λαγνείας προφάσεων. 131
» 96. Προφυλακτικὰ ἀπὸ τῆς λαγνείας. 133

Περὶ Φθόνου

» 97. Ὅρος καὶ φυσικὴ αὐτοῦ ἰδιότης. 135
» 98. Τὰ ἐκ τοῦ φθόνου κακά. 135
» 99. Περὶ τῆς ἐν αὐτῷ εὐθύνης. 137
» 100. Ἀλεξήματα κατὰ τοῦ φθόνου. 138

Περὶ Γαστριμαργίας

» 101. Ὅτι φυσικὴ ἀνάγκη τὸ ἐσθίειν καὶ πίνειν. 140
» 102. Πῶς δὲ δεῖ τῶν πρὸς τροφὴν μεταλαμβάνειν. 141
» 103. Τὰ ἐκ τῆς γαστριμαργίας κακά. 143
» 104. Ἡ ἐπὶ τῇ γαστριμαργίᾳ εὐθύνη. 144
» 105. Τὰ τῆς γαστριμαργίας σοφίσματα. 145
» 106. Ἀλεξήματα κατὰ τῆς γαστριμαργίας. 146

Περὶ ὀξυθυμίας καὶ ὀργῆς

» 107. Περὶ τῆς γενέσεως καὶ τῆς ἐκδηλώσεως αὐτῶν. 148
» 108. Περὶ τῶν ἐκ τῆς ὀξυθυμίας κακῶν. 149
» 109 Περὶ τῶν προφάσεων τῆς ὀξυθυμίας. 150

Digitized by Google

§ 110 Ἀλεξήματα κατὰ τῆς ὀξυθυμίας. Σελ. 151
» 111 Περὶ ὀργῆς καὶ ἐκδικήσεως ἐκτενέστερον. 153
» 112 Περὶ τῶν ἐκ τῆς ὀργῆς κακῶν. 154
» 113 Περὶ τῶν κενῶν προφάσεων τῶν ὀργιζομένων. 156
» 114 Ἀλεξήματα κατὰ τῆς ὀργῆς. 157

Περὶ ἀκηδίας

» 115 Ὅρος αὐτῆς περιγραφικός. 159
» 116 Περὶ τῆς ἐπὶ τῇ ἀκηδίᾳ εὐθύνης. 161
» 117 Προφάσεις τοῦ ὀκνηροῦ. 162
» 118 Ἀλεξήματα κατὰ τῆς ἀκηδίας. 163

ΤΗΣ ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΗΘΙΚΗΣ ΜΕΡΟΣ Β',

Τὰ κοινὰ πᾶσι καθήκοντα περιέχον.

» 1 Περὶ καθηκόντων ἐν γένει. 165
» 2 Διασάφησις τῶν εἰρημένων. 166

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν καθηκόντων ἡμῶν πρὸς τὸν Θεόν.

» 3 Ὅτι ὁ Θεός ἐστι τὸ σπουδαιότατον ἀντικείμενον τῆς ἡμετέρας γνώσεως καὶ λογικῆς λατρείας. 168
» 4 Πῶς ἄν τις εἰς τελειοτέραν ἐπίγνωσιν τοῦ Θεοῦ ἀφίκοιτο. 170
» 5 Ὅτι ἐκ τῶν θείων Γραφῶν ἡ τοῦ Θεοῦ μεγαλωσύνη τρανώτατα διδάσκεται. 172
» 6 Ὅτι καὶ ἐκ τῶν λόγων τῶν σοφῶν καὶ ἁγίων ἀνδρῶν. 173
» 7 Πῶς ἡ τοῦ Θεοῦ ἐπίγνωσις τῇ ὀφειλομένῃ αὐτῷ λατρείᾳ συνέχεται. 176
» 8. Περὶ τῆς εἰς τὸν Θεὸν ὀφειλομένης εὐσεβείας τε καὶ λατρείας. 177
» 9. Περὶ τῆς θρησκευτικότητος. 179
» 10. Συνέχεια τοῦ αὐτοῦ. 181
» 11. Πίστις, ὡς ἀπόδειξις τῆς θρησκευτικότητος καὶ καθῆκον τοῦ ἀνθρώπου πρὸς τὸν Θεόν. 182

Digitized by Google

§ 12. Τῶν τῆς πίστεως λόγων διαίρεσις. Σελ. 183
» 13. Ὅτι ἡ πίστις καθῆκον τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν καὶ γνώρισμα τῆς ὀφειλομένης αὐτῷ εὐσεβείας τε καὶ λατρείας. 184
» 14. Καθῆκον τοῦ πιστεύειν τοῖς θείοις λόγοις. 185
» 15. Περὶ τῶν τῆς πίστεως ἰδιωμάτων. 188
» 16 Περὶ τοῦ πότε δὴ τὸ καθῆκον τοῦ πιστεύειν ἄρχεται. 189
» 17 Ὅτι ὁμολογεῖν παῤῥησίᾳ τὴν πίστιν καθῆκον. 190
» 18 Ὅτι καὶ διεγείρειν καὶ ἀναζωοποιεῖν τὴν πίστιν ὀφείλομεν. 193
» 19. Περὶ τοῦ ὑπὲρ τῆς πίστεως ζήλου. 199
» 20. Περὶ τῶν ἐναντίων τῇ λογικῇ καὶ ὀρθῇ πίστει. 198
» 21. Περὶ τῆς πρὸς τὸν Θεὸν ἀγάπης, ὅτι καθῆκον καὶ δήλωσις τῆς αὐτῷ ὀφειλομένης εὐσεβείας τε καὶ λατρείας. 201
» 22. Ὅρος τῆς ἀγάπης, καὶ τρόπος, δι' οὗ αὕτη ἡ πρὸς τὸν Θεὸν φανεροῦται. 203
» 23. Περὶ τῶν ἰδιωμάτων τῆς πρὸς τὸν Θεὸν ἀγάπης. 204
» 24. Ὅτι ἡ πρὸς τὸν Θεὸν ἀγάπη ἀδιαλύτως τῷ τοῦ ἀνθρώπου τέλει συνδέδεται. 207
» 25. Ὅτι καθῆκον τὸ διεγείρειν καὶ ἀναῤῥιπίζειν συνεχῶς τὴν πρὸς τὸν Θεὸν ἀγάπην. 209
» 26. Περὶ τῶν μὴ προσηκόντων καὶ τῶν ἐναντίων τῇ πρὸς τὸν Θεὸν γνησίᾳ καὶ λογικῇ ἀγάπῃ. 211
» 27. Περὶ τῶν χαρακτήρων τῆς πρὸς τὸν Θεὸν γνησίας καὶ λογικῆς ἀγάπης. 212
» 28. Περὶ τοῦ θείου φόβου. 212
» 29. Πῶς ἄν τις τὸν τοῦ Θεοῦ φόβον κτήσαιτο. 215
» 30. Ὅτι δεύτερος χαρακτὴρ τῆς πρὸς τὸν Θεὸν ἀγάπης ἡ πρὸς τὴν ἐναργεστέραν γνῶσιν καὶ στενωτέραν κοινωνίαν μετὰ τοῦ Θεοῦ διηνεκὴς σπουδή. 216
» 31. Ὅτι τρίτος χαρακτὴρ αὐτῆς ἡ τῷ νόμῳ καὶ τῷ θελήματι αὐτοῦ πρόθυμος ὑπακοή. 217

Digitized by Google

§ 32. Ὅτι καὶ ἡ ἄδολος φιλαδελφία τέταρτος αὐτῆς χαρακτήρ. Σελ. 219
» 33 Ὅτι καὶ ἡ ἐπ' αὐτῷ ἀγαλλίασις καὶ χαρὰ καὶ ἡ ταύτης δήλωσις. 220
» 34, Περὶ ἐλπίδος ἐν γένει. 221
» 35. Περὶ τῶν ἀναγκαίων τῆς ἐλπίδος ἰδιωμάτων. 224
» 36. Ὅτι ἡ κατὰ Χριστὸν ἐλπὶς τῇ ἐπιτυχίᾳ τοῦ κρατίστου τέλους τοῦ ἀνθρώπου συνῆπται. 225
» 37. Περὶ τῶν ἐναντιουμένων τῇ κατὰ Χριστὸν ἐλπίδι. 226

ΚΕΦΑΛΑΙΟΝ Β'.

» 38. Περὶ τῆς ὁρατῆς θείας λατρείας. 230
» 39. Περὶ τῶν ἔργων τῆς θείας λατρείας. 232
» 40. Περὶ τῶν εἰδῶν τῆς ἐξωτερικῆς θείας λατρείας. 234
» 41. Περὶ τοῦ καθήκοντος τοῦ πράττειν ἀνελλιπῶς τὰ τῆς ἐξωτερικῆς θείας λατρείας, καὶ περὶ τῆς ἐκ τούτου ὠφελείας. 235
» 42. Περὶ διακρίσεως τῶν κατὰ τὴν θείαν λατρείαν πράξεων. 237
» 43. Περὶ προσευχῆς καὶ τῶν διαφόρων εἰδῶν καὶ τύπων αὐτῆς. 239
» 44. Περὶ τοῦ καθήκοντος τοῦ προσεύχεσθαι. 242
» 45. Περὶ τῆς νοερᾶς καὶ τῆς διὰ λόγων προφερομένης προσευχῆς. 243
» 46. Περὶ τοῦ πότε, καὶ ποῦ δεῖ μάλιστα προσεύχεσθαι. 245
» 47. Περὶ τοῦ ἐν τῇ προσευχῇ περισπασμοῦ. 247
» 48. Περὶ τῶν χριστιανικῶν ἑορτῶν. 250
» 49. Ὅτι μέγα καὶ σπουδαῖον ἡ τῶν ἑορτῶν τήρησις. 253
» 50. Ὅτι ἡ μὴ ἐκ πλεονεξίας μετρία καὶ ἥσυχος ἐνασχόλησις πρὸς διάχυσιν τοῦ πνεύματος καὶ ἀπέλασιν τῆς νωθρότητος οὐκ ἀθέμιτον. 255
» 51. Παράρτημα περὶ ὅρκου. 256
» 52. Διάκρισις τοῦ ὅρκου. 257
» 53. Περὶ ἐπιορκίας καὶ τῆς κατ' αὐτὴν ἁμαρτίας. 258
» 54. Περὶ τῶν θρησκευτικῶν εὐχῶν. 260

Digitized by Google

§ 55. Περὶ τῆς ἐν ταῖς εὐχαῖς ὀφειλῆς. Σελ. 263
» 56. Ὅτι αἱ τῶν ἀνηλίκων εὐχαὶ, καὶ αἱ τῶν ἐν ἀπροσδοκήτοις δεινοῖς περιπιπτόντων ἄκυροι λογίζονται. 264

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐν ᾧ τὰ εἰς ἑαυτὸν καθήκοντα διδάσκονται.

» 57. Εἰσαγωγή. 265
» 58. Περὶ τῆς εἰς ἑαυτὸν ὀφειλομένης τιμῆς καὶ ἀγάπης. 268
» 59. Περὶ τῶν τῆς γνησίας αὐτοτιμῆς καὶ αὐτοαγάπης χαρακτήρων. 269
» 60. Περιγραφὴ τῶν εἰς ἑαυτὸν καθηκόντων. 270
» 61. Περὶ τῶν εἰς ἑαυτὸν ἐν γένει καθηκόντων. 271
» 62. Περὶ τῆς αὐτοκτονίας, ὅτι ἀθέμιτον καὶ κακόηθες. 273
» 63. Περὶ τῶν εἰς τὴν αὐτοχειρίαν ἀγόντων. 275
» 64. Περὶ τῶν λεγομένων περὶ τούτου εἰς παραμυθίαν. 276
» 65. Ὅτι ὑπὸ τοῦ θείου νόμου ἡ αὐτοχειρία ἀπαγορεύεται. 277
» 66. Περὶ τῆς ἀξίας ἐν γένει τοῦ ζῆν. 279
» 67. Ἡ κατὰ τὴν πίστιν ἰδέα τῆς ζωῆς καὶ τοῦ θανάτου. 281
» 68. Περὶ τοῦ θετικοῦ καθήκοντος τοῦ τιθέναι τὴν ζωὴν ὑπὲρ τοῦ ἀγαθοῦ. 283
» 69. Περὶ τοῦ θανατιᾶν. 285
» 70. Περὶ τῆς ἀμύνης. 286
» 71. Ὅτι καθῆκον τῆς ὑγιείας καὶ τῆς ἀκεραιότητος τοῦ σώματος ἐπιμελεῖσθαι. 290
» 72. Περὶ τῆς ἐν ἀσθενείᾳ θεραπείας. 292
» 73. Ἕτερα καθήκοντα πρὸς τὸ σῶμα. 293
» 74. Περὶ τοῦ τίνα δεῖ προσεῖναι τῇ ἐργασίᾳ. 296
» 75. Πρὸς τί δεῖ κυρίως ταῖς δυνάμεσιν ἡμῶν χρῆσθαι. 299
» 76. Περὶ τῆς βρώσεως καὶ πόσεως. 300
» 77. Περὶ τῆς τοῦ σώματος περιβολῆς. 302
» 78. Περὶ τῆς οἰκήσεως καὶ τῶν ἄλλων τῶν πρὸς ἀνάπαυσιν ἀναγκαίων. 304

Digitized by Google

κή.

§ 79. Περὶ τῆς εὐπρεπείας καὶ τῆς ἀγαθῆς δόξης. Σελ. 307
» 80. Ὅτι τῇ γνησίᾳ καὶ λογικῇ φιλοτιμίᾳ ἡ φιλοδοξία ἀντίκειται. 310
» 81. Καθήκοντα πρὸς τὸ πνεῦμα. 311
» 82. Καθῆκον τῆς κατὰ θεωρίαν μορφώσεως τοῦ πνεύματος. 312
» 83. Περὶ τοῦ πῶς δεῖ μορφοῦσθαι τὸν νοῦν. 313
» 84. Ἐν τίσιν ὁ νοῦς μορφοῦται καὶ τελειοῦται. 315
» 85. Περὶ τῆς πρακτικῆς μορφώσεως τοῦ πνεύματος. 317
» 86. Περὶ τῆς ἰσχύος τῶν τῆς σαρκὸς ὀρέξεών τε καὶ παθήσεων ἐπὶ τῆς θελήσεως. 317

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐν ᾧ τὰ πρὸς τὸν πλησίον καθήκοντα ἐκτίθεται.
» 86. Ὅτι ἀγάπη θερμὴ καὶ εἰλικρινὴς πρὸς τὴν ἀνθρωπότητα, καὶ σέβας πρὸς αὐτὴν, ἐστὶν ἡ ψυχὴ καὶ τὸ πνεῦμα τῶν πρὸς τὸν πλησίον καθηκόντων. 320
» 87. Ἀκριβεστέρα ἔκθεσις τοῦ σεβασμοῦ καὶ τῆς ἀγάπης. 223
» 88. Περὶ τῶν κυριωτέρων τῆς ἀγάπης ἰδιωμάτων. 324
» 89. Περὶ τῆς ἀξίας αὐτῆς. 326
» 90. Περὶ τῶν τῆς ἀγάπης καρπῶν. 329
» 91. Περὶ τῶν τῇ ἀγάπῃ ἀντικειμένων. 330
» 92. Ἐνστάσεις τῶν τῆς ἀδελφικῆς ἀγάπης ὀλιγωρούντων. 332
» 93. Περὶ τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης. 333
» 94. Περὶ τοῦ τί ἰδίως ἀπαιτεῖ τὸ καθῆκον τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης. 335
» 95. Περὶ τοῦ τί ἡ φρόνησις περὶ τῆς ἔχθρας καὶ τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης ὑπαγορεύει. 337
» 96. Περὶ τοῦ κυριωτέρου καθήκοντος πρὸς τὸν πλησίον. 339
» 97. Περὶ τῆς ἀξίας καὶ τῆς ὠφελείας τούτου τοῦ καθήκοντος. 340
» 98. Πῶς ἂν τὸ καθῆκον τοῦτο, καὶ ἐν παίᾳ τάξει ἐπιτελοῖτο. 342

Digitized by Google

§ 99. Περὶ τῆς εἰς τὸ ἀγαθὸν προτροπῆς, καὶ τῆς ἀπὸ τῶν φαύλων ἀποτροπῆς. Σελ. 344
» 100. Ὅτι καὶ τῷ παραδείγματι οἰκοδομεῖν ὀφείλομεν τὸν πλησίον. 345
» 101. Περὶ τοῦ ἀποφατικοῦ τοῦ εἰρημένου καθήκοντος. 348
» 102. Περὶ τοῦ σκανδάλου. 350
» 103. Περὶ τοῦ καθήκοντος τῆς εἰλικρινείας καὶ ἀληθότητος. 351
» 104. Συνέχεια τοῦ αὐτοῦ. 353
» 105. Καθήκοντα πρὸς τὴν ζωὴν καὶ τὴν σωματικὴν ὠφέλειαν τοῦ πλησίον. 356
» 106. Περὶ τῆς ἀμύνης ὑπὲρ τῆς πατρίδος. 358
» 107. Τίνα τὰ εὐλογοφανῆ αἴτια τοῦ πολέμου. 359
» 108. Περὶ τῶν ἁμαρτημάτων τοῦ μὲν στρατιωτικοῦ πρὸς τοὺς ἀόπλους, τῶν δὲ πολιτῶν πρὸς τοὺς στρατιώτας. 364
» 109. Περὶ τῆς τῶν ἁμαρτημάτων κολάσεως. 362
» 110. Περὶ τῆς ἐν βίᾳ καταισχύνης καὶ κακώσεως. 367
» 111. Περὶ τῶν πρὸς ἐπανόρθωσιν τῆς ἐξ αὐτῶν ζημίας καθηκόντων. 369
» 112 Καθήκοντα τῆς εὐποιίας. 371
» 113. Περὶ τοῦ καθήκοντος τῆς εὐποιίας. 372
» 114. Πῶς ἄν τις εἰς τὴν εὐποιίαν προτρέποιτο. 375
» 115. Περὶ τῆς τῶν ἀσθενῶν θεραπείας. 376
» 116. Περὶ εἰρήνης καὶ ὁμονοίας. 377
» 117. Περὶ τῆς ὑπολήψεως τοῦ πλησίον. 379
» 118. Περὶ σπερμολογίας. 380
» 119. Περὶ τῶν κενῶν προφάσεων τῶν φιλοψόγων. 282
» 120. Περὶ τῶν ἐκ γενομένης βλάβης τῇ ἀγαθῇ τοῦ πλησίον ὑπολήψει καθηκόντων. 384

Digitized by Google

ΤΗΣ ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΗΘΙΚΗΣ ΜΕΡΟΣ Γ',

Ἰδιά τινα καθήκοντα πραγματευόμενον.

ΚΕΦΑΛΑΙΟΝ Α'.

§ 1. Περὶ κτήσεως καὶ τοῦ ἐπ' αὐτῇ δικαιώματος. Σελ. 388
» 2. Περὶ πορισμοῦ τῆς οὐσίας. 390
» 3. Συνέχεια τοῦ αὐτοῦ. 393
» 4. Περὶ τοῦ ἐκ τῶν συναλλαγμάτων δικαιώματος. 394
» 5. Περὶ τοῦ πῶς καὶ πότε τὴν ἀποζημίωσιν γίνεσθαι χρή. 398
» 6. Πῶς, καὶ πρὸς τίνα, καὶ ὑπὸ τίνων ἡ ἀποζημίωσις ὀφείλεται. 397
» 7. Περὶ τῶν κυριωτέρων καθηκόντων πρὸς τὴν τοῦ πλησίον περιουσίαν. 401
» 8. Περὶ κλοπῆς καὶ ἁρπαγῆς, καὶ τίνα τὰ φέροντα εἰς αὐτήν. 401
» 9. Περὶ τῆς ἐκ πλεονεξίας ἀπάτης καὶ τοῦ νοσφισμοῦ ἐν τοῖς συναλλάγμασι καὶ τοῖς ἐπιτηδεύμασι, καὶ τῆς τοκογλυφίας. 405
» 10. Περὶ τῶν ἐξ ἀνοίας γινομένων ὀφλημάτων, καὶ τῆς ἐθελουσίου ἐπαιτείας. 406
» 11. Περὶ τῆς λάθρα γινομένης αὐτομισθαποδοσίας. 408

ΚΕΦΑΛΑΙΟΝ Β'.

» 12. Περὶ τῆς ἐκ τοῦ γάμου σχέσεως καὶ τῶν ἐξ αὐτῆς καθηκόντων. 409
« 13. Περὶ τοῦ τέλους τοῦ γάμου. 412
» 14. Περὶ τῆς τοῦ γάμου ἀξίας. 413
» 15. Εἰ ἄρα καθῆκον πᾶσι γενικῶς τὸ τοῦ γάμου. 416
» 16. Περὶ τῶν ἐκ τοῦ γάμου δικαιωμάτων τε καὶ καθηκόντων. 418
» 17. Περὶ τῆς ὀφειλομένης ἀμοιβαίας πίστεως τῶν συζύγων. 421
« 18. Περὶ τῆς ἐν τῷ γάμῳ ὀφειλομένης φιλίας τε καὶ ἀγάπης τῶν συζύγων. 422

Digitized by Google

λά.
§ 19. Περὶ τῶν ἰδίως τῷ ἀνδρὶ καθηκόντων (Σελ. 425
» 20. Περὶ τῶν ἰδίως τῇ γυναικὶ καθηκόντων. 426
» 21. Κανόνες εἰς ἐκλογὴν συζύγου. 428
» 22. Περὶ τῆς βαζεύξεως. 430

ΚΕΦΑΛΑΙΟΝ Γ'.

» 23. Περὶ τῶν ἀμοιβαίων καθηκόντων α', τῶν γονέων πρὸς τὰ τέκνα, β', καὶ τῶν τέκνων πρὸς τοὺς γονεῖς. 431
» 24. Συνέχεια τοῦ αὐτοῦ. 434
» 25. Περὶ ὧν ἐν τῷ δευτέρῳ καιρῷ τῆς ἀγωγῆς ὀφείλουσι διδάσκειν τοὺς παῖδας. 436
» 26. Τὰ ἀφ' ὧν δεῖ φυλάττειν αὐτούς. 438
» 27. Περὶ τοῦ τρίτου χρόνου τῆς ἀγωγῆς. 439
» 28. Καθήκοντα τῶν παίδων πρὸς τοὺς γονεῖς. 442
» 29. Περὶ τῆς τοῦ οἰκοδεσπότου καὶ τῶν οἰκετῶν σχέσεως, καὶ τῶν ἐξ αὐτῆς ἀμοιβαίων καθηκόντων. 445

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ πολιτείας καὶ τῆς ἐξ αὐτῆ σχέσεως τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων πρὸς ἀλλήλους.

» 30. Ἰδιότης καὶ τέλος τῆς ἐν τῇ πολιτείᾳ σχέσεως. 450
» 31. Περὶ τῶν ὑπὸ τοῦ θείου λόγου παραγγελλομένων κατὰ τὴν πολιτικὴν σχέσιν. 451
» 32. Περὶ καθηκόντων τῶν πολιτῶν πρὸς τὴν πατρίδα καὶ τοὺς συμμάχους αὐτῆς. 453
» 33. Περὶ τῶν κυριωτέρων καθηκόντων τῶν ἡγεμόνων πρὸς τοὺς ἀρχομένους. 455
» 34. Περὶ τῶν καθηκόντων αὐτῶν πρὸς τὰς ἄλλας πολιτείας. 457

Digitized by Google

Τὸ βιβλίον τοῦτ' ὑπάρχει τοῦ
Καμπινίου Δεσποσσούνη τῆ
Δημητρούλης τῆς Προσυνι-
νίου, ἀφιερωθὲν παρ' αὐτοῦ
κυρίου Ἰωάννου Ἐμμ. Χαν-
τουλάκη ἀλευρ. οὗ καὶ πρὸ-
ου πατρὸς τῆς Μελίας Κυρί-
ου Μιχαηλοπουλίδου.

Ἐν Ἀθήναις τῇ 19.
Δεκεμβρίου 1867.

Ὁ Παναγιώτης Δεσποσσούνης
ὁ ἀφιερώσας.

Digitized by Google

ΤΗΣ

ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΗΘΙΚΗΣ

Μέρος Α'.

§. 1. *Ὅρος αὐτῆς.*

Ἡ κατὰ Χριστὸν ἠθικὴ ἐστιν ὑφήγησις ἐπιστημονικὴ πρὸς τὴν ἠθικὴν τελειότητα κατὰ τὰ ἐκ τοῦ θείου λόγου ἀξιώματα. Κατὰ τοῦτο δὲ καὶ πάσης ἄλλης ἐπιστήμης διαφέρει, καὶ αὐτῆς ἔτι τῆς κατὰ τὴν θύραθεν φιλοσοφίαν ἠθικῆς, ἥτις ἐκ μόνου τοῦ ἀνθρωπίνου λόγου τὰς ἀρχὰς αὐτῆς, πορίζεται.

§. 2. *Πηγαὶ τῆς κατὰ Χριστὸν ἠθικῆς.*

Ἡ κατὰ Χριστὸν ἠθικὴ μίαν καὶ μόνην κυρίως ἔχει πηγὴν, τὸν θεῖον λόγον, ἐξ οὗ πᾶσαν τὴν πρὸς οἰκοδομὴν ἑαυτῆς ἀναγκαίαν ὕλην πλουσίως ἀρύεται. Ὑπὸ δὲ τὸν θεῖον λόγον ἐννοεῖται πᾶσα γνῶσις καὶ διδασκαλία, ἣν ηὐδόκησεν ὁ Θεὸς διὰ τὴν ἄφατον αὐτοῦ πρὸς ἡμᾶς ἀγάπην μεταδοῦναι ἡμῖν, ἵνα περὶ πολλῶν πραγμάτων πρὸς τὴν ἡμετέραν σωτηρίαν ἀναγκαίων φωτίσῃ ἡμᾶς σαφέστερόν τε καὶ τελειότερον, ἢ ὅσον δυνάμεθα κατανοῆσαι περὶ αὐτῶν ἐκ μόνου τοῦ φυσικοῦ φωτὸς τοῦ λογικοῦ. Τοῦ δὲ θείου λόγου τὸ μὲν ἔφθασεν εἰς ἡμᾶς γραπτὸν, τὸ δ' ἐκ παραδόσεως· ἀμφότερα δὲ περιέχουσι πλῆθος νῦν μὲν δογμάτων, νῦν δὲ ἐντολῶν, χρησίμων ἀμφοτέρων πρὸς διόρθωσιν τοῦ τε φρονήματος καὶ τοῦ

Digitized by Google

βίου ἡμῶν. Καὶ περὶ μὲν τοῦ γραπτοῦ λόγου ἀποφαίνεται ὁ θεῖος Παῦλος ὅτι « πᾶσα Γραφὴ θεόπνευστος, καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος. » (α)

Περὶ δὲ τῆς ἀγράφου παραδόσεως λέγει ὁ ὑψιπέτης ἀετὸς τῆς θεολογίας Ἰωάννης· « Ἔστι δὲ καὶ ἄλλα πολλὰ, ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ (6).

Πάλιν δὲ γραπτὸς λόγος τοῦ Θεοῦ λέγεται οὐ μόνον ὁ ὑπὸ τῶν θεοπνεύστων Ἀποστόλων τοῦ Κυρίου ἐν τῷ Εὐαγγελίῳ καὶ τοῖς λοιποῖς βιβλίοις τῆς Καινῆς Διαθήκης παραδοθεὶς, ἀλλὰ καὶ ὁ ἐν τοῖς τῆς Παλαιᾶς Διαθήκης ὑπὸ τῶν ἁγίων Προφητῶν λαληθεὶς, οὗ τινος καὶ αὐτὸς ὁ σωτὴρ καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ οἱ θεοκήρυκες αὐτοῦ Ἀπόστολοι ὡς θείου λόγου ἐμνημόνευον.

Ὁ δὲ ἐκ παραδόσεως θεῖος λόγος ἐστὶν ὁ μὴ ἐγγράφως, ἀλλὰ διὰ ζώσης φωνῆς παρὰ τῶν Ἀποστόλων διδαχθεὶς, καὶ φθάσας οὕτως εἰς ἡμᾶς. Εὑρίσκεται δὲ τὰ νῦν ά, ἐν τοῖς τῶν ἀρχαίων πατέρων καὶ διδασκάλων συγγράμμασι· β', ἐν τοῖς ὅροις καὶ ταῖς ἀποφάσεσι τῶν ἁγίων συνόδων· γ', ἐν τοῖς ἀνέκαθεν καθολικῶς παραδεδεγμένοις ὑπὸ τῆς ἐκκλησίας ἤθεσι καὶ ἐθίμοις. Πάντα γὰρ ταῦτα ἐκ τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ πνεύματος τοῦ Θεοῦ προῆλθον, καὶ πρὸς τὴν τῶν ἀνθρώπων ὠφέλειαν ἐγνώσθησαν, καὶ ἐν τῇ ἐκκλησίᾳ διετηρήθησαν.

(α) Β'. Πρὸς Τιμοθ. γ'. 15. 16.
(6) Ἰωάν. κά. 24.

Digitized by Google

Ἐκ πάντων οὖν τούτων ἐπιμελῶς συλλέγεται ἡ πρὸς τὴν οἰκοδομὴν τῆς κατὰ Χριστὸν ἠθικῆς ἐπιστήμης ἀναγκαία ὕλη.

§. 3. *Μέθοδος τοῦ σπουδάζειν τὴν ἐπιστήμην ταύτην.*

Διττῶς δύναται καὶ ἡ κατὰ Χριστὸν ἠθικὴ, ὡς καὶ πᾶσα ἄλλη ἐπιστήμη, θεωρηθῆναι, ἤγουν κατὰ τὴν ὕλην αὐτῆς, καὶ κατὰ τὸ σπουδάζον αὐτὴν πρόσωπον. Ἐκ μὲν οὖν τῆς ὕλης θεωρουμένη, τὸ κεφάλαιόν ἐστι πάντων τῶν ἠθικῶν ἀξιωμάτων μετὰ τῶν αἰτίων καὶ τῶν ἀποδείξεων αὐτῶν, ἅτινα συντελοῦσιν εἰς τὴν ἠθικὴν ἡμῶν τελειότητα· ἐκ δὲ τοῦ προσώπου, ἡ ἐπιστημονικὴ αὐτῶν γνῶσις. Καὶ ἡ μὲν ὕλη, ὅσον ἂν ᾖ καλῶς τε καὶ εὐμεθόδως ἐπεξειργασμένη, οὐδεμίαν δύναται παρέχειν ὠφέλειαν τοῖς ἀνθρώποις, ἐὰν μὴ γένηται διὰ συντόνου καὶ διηνεκοῦς σπουδῆς ἐπιστήμη τοῦ ἀνθρώπου, ἣν ὀφείλει καθ' ἑκάστην προάγειν ἐν ἑαυτῷ ἐξ ἐσωτερικῆς ἀγάπης καὶ ῥοπῆς εἰς αὐτὴν, καὶ δραστηρίως ἀσκεῖν ἐπὶ τοσοῦτον, μέχρις οὗ τὸ κατ' ἀντικείμενον τῆς ἐπιστήμης εἰς τελείαν πεποίθησιν τοῦ προσώπου ἀποβῇ. Ἡ γὰρ σύντονος καὶ διηνεκὴς μελέτη ἀ, πλατύνει ἐπὶ μᾶλλον καὶ μᾶλλον καὶ διορθοῖ καὶ τελειοποιεῖ τὰς ἰδέας καὶ γνώσεις· β', σχηματίζει καὶ σταθερὸν ἀπεργάζεται τὸ ἦθος· γ', ἐμποιεῖ δὲ καὶ ἕξιν τοῦ ἐκτιμᾷν κατ' ἀξίαν τὰ ἠθικὰ ἀξιώματα, καὶ τὰς ἀποδείξεις καὶ τὰ αἴτια αὐτῶν, καὶ ἐφαρμόζειν ταῦτα εἰς τὸν ἴδιον βίον, καὶ ἄλλοις μεταδιδόναι.

Οὐκ ἄρα ἐπιπολαίως τὴν ἐπιστήμην ταύτην σπουδαστέον, οὐδὲ πρὸς ἁπλῆν ἐπίδειξιν, ἀλλὰ μετ' ἀγάπης εἰλικρινοῦς καὶ προθυμίας ἐπιμελητέον, ἵνα πάντα τὰ διδάγματα ταύτης ἰδιοκτησία γίνωνται τοῦ πνεύματος ἑκά-

Digitized by Google

στου. Τὸ γὰρ μετὰ βίας καὶ παρὰ γνώμην ἐγχαραττόμενον τῇ μνήμῃ, καὶ μὴ διὰ τῆς σπουδαίας σκέψεως οἰκειοποιούμενον, ταχέως, ὡς ὁ καπνὸς ἐν τῇ ἀτμοσφαίρᾳ, διασκεδάννυται, συνήθως μηδὲν ἴχνος τῆς προτέρας αὐτοῦ ὑπάρξεως ἀπολεῖπον.

§. 4. *Τὸ τῆς ἐπιστήμης ὠφέλιμον καὶ ἀναγκαῖον.*

Ἐκ δύω τινῶν μάλιστα δηλοῦται τὸ τῆς ἐπιστήμης ταύτης ὠφέλιμον, ἤτοι ἀ, ἐκ τῆς ὑποθέσεως αὐτῆς, καὶ β′, ἐκ τοῦ τέλους πρὸς ὃ τείνει. Καὶ ὑπόθεσιν μὲν ἔχει τὴν λεπτομερῆ παράστασιν τῆς τοῦ ἀνθρώπου σχέσεως πρὸς τὸν Θεὸν καὶ πρὸς ἅπαν τὸ ὁμόφυλον, ὡς ἐκ τῆς συνεχείας τοῦ λόγου δηλωθήσεται, ἔτι δὲ καὶ τὴν ἔκθεσιν τῶν κατὰ τὴν σχέσιν ταύτην πρακτέων ἢ φευκτέων ὑπὸ παντὸς ἀνθρώπου καὶ ἐν πάσῃ περιστάσει τοῦ βίου. Πρὸς δὲ τοῦτο πραγματεύεται ἰδίως ἀ, περὶ τῆς γενέσεως τοῦ ἀνθρώπου· β′, περὶ τῶν χαρισμάτων αὐτοῦ· γ′, περὶ τῆς ὑψηλῆς ἀξίας καὶ τοῦ προορισμοῦ αὐτοῦ· δ′, περὶ τῶν χρησίμων αὐτῷ μέσων, καὶ περὶ τῶν κωλυμάτων, ὧν τὰ μὲν δεῖ προσεκτικῶς φεύγειν, τὰ δὲ μετὰ θάρρους ὑπερβάλλειν ἢ ἐξομαλύνειν, ἵνα ἐπὶ μᾶλλον καὶ μᾶλλον εἰς τὸν ὑψηλὸν αὐτοῦ προορισμὸν προσεγγίζῃ. Τί δ' ἄλλο ἢ ὠφελιμώτερον ἢ προυργιαίτερον ἂν εἴη παντὶ ἀνθρώπῳ, ἢ τὸ ὀρθῶς καὶ βασίμως περὶ πάντων τούτων διδαχθῆναι καὶ ἀκριβῶς ἐπίστασθαι ταῦτα;

Τέλος δὲ σκοπιμώτατον, πρὸς ὃ ἡ κατὰ Χριστὸν ἠθικὴ ἀφορᾷ, ἔστι τοῦτο, ὁδηγῆσαι τὸν ἄνθρωπον διὰ τῆς διδασκαλίας ταύτης εἰς τὴν ἠθικὴν αὐτοῦ τελειότητα, ἥτις ἐστὶν ἡ πρὸς τὸν Θεὸν ἐξομοίωσις καὶ ἡ ἕνωσις αὐτοῦ μετ' αὐτοῦ. Αὕτη δὲ ἐστὶ καὶ τῆς ἀνθρωπότητος

Digitized by Google

ὁ ὕψιστος προορισμὸς καὶ τὸ ἔσχατον τέλος. Οὐ μόνον δὲ λόγοις ψυχροῖς διδάσκει τὸ τέλος τοῦτο ἡ κατὰ Χριστὸν ἠθικὴ, ἀλλὰ καὶ αἴτια ἰσχυρότατα ἐπάγει, ἵνα πείσῃ αὐτὸν ἐπιμελεῖσθαι καὶ μανθάνειν καὶ σπεύδειν πάσῃ δυνάμει πρὸς αὐτό. Καὶ τὸ σπουδαῖον ἄρα καὶ ἡ μεγάλη ἀξία τῆς ἐπιστήμης ταύτης εἰσὶ λόγοι ἀποχρῶντες, ἵνα πάντες ἐπιμελῶνται μάλιστα περὶ τῆς ἀναπτύξεως καὶ διαδόσεως αὐτῆς. Ἔτι δὲ, ὡς τῷ ἐσχάτῳ τέλει τοῦ ἀνθρώπου στενῶς συνδεδεμένης, ὅσῳ μᾶλλον ὀλιγωροῦσιν, ἢ καὶ παντάπασι καταφρονοῦσιν αὐτῆς, τοσοῦτον εἰς θηριώδη ἀγροικίαν, καὶ εἰς κτηνώδη ὑλισμὸν ἐκπίπτουσι, πόρρω τοῦ ἐσχάτου τέλους αὐτῶν ἀποπλανώμενοι· ἡ δ' ἐντεῦθεν γεννωμένη πάσῃ τῇ ἀνθρωπότητι ζημία ἀμέτρητός τε καὶ ἀναρίθμητος ἐστί. Διὰ τοῦτο οὐδέποτε οὐδένα οὔτε κοινῇ οὔτε ἰδίᾳ ὀλιγωρεῖν ἔδει τῆς σπουδῆς ταύτης, ἢ ἀδιαφορεῖν πρὸς τὴν γνῶσιν αὐτῆς, τοῖς πᾶσι γὰρ διαφέρει, καὶ πάντες ὀφείλουσι μανθάνειν τάγε οὐσιώδη αὐτῆς

ΤΗΣ ΚΑΘΟΛΟΥ ΗΘΙΚΗΣ

ΚΕΦΑΛΑΙΟΝ Α'.

§. 1. *Προϋπόμνησις πρὸς κατανόησιν τῆς καθολικῆς ἀρχῆς.*

Ὥσπερ ἐν πάσῃ ἐπιστήμῃ, ἵνα ᾖ κυρίως τοιαύτη, ἀπαιτεῖται πάντως μία τις καθολικὴ ἀρχὴ, ἄλλως γὰρ παύει τοῦ εἶναι ἐπιστήμη, οὕτω καὶ ἐν τῇ κατὰ Χριστὸν ἠθικῇ τοιαύτη τις καθολικὴ ἀρχὴ ἀπαιτεῖται, ἥτις ἔσται ὡς βάσις, ἐφ' ἧς ἅπαν τὸ σύστημα ἐποικοδομεῖται

Digitized by Google

καὶ ὡς κέντρον, ἐξ οὗ προέρχεται, καὶ εἰς ὃ αὖθις ἐπανακάμπτει τὸ πᾶν. Δεῖ δὲ ταύτην καὶ ἀκράδαντον μένειν ἀπὸ πάσης σοφιστικῆς προσβολῆς, καὶ ὡς τοιαύτην ὑπὸ παντὸς φίλου τῆς ἀληθείας ἀνομολογεῖσθαι.

Ἀλλ' ὑπάρχει ἄραγε ἐν τῷ θείῳ λόγῳ τοιαύτη τις ἀρχή; καὶ εἰ ὑπάρχει, ποία τις ἄρα ἐστί; Παντὶ τῷ μετὰ προσοχῆς ἀναγινώσκοντι τὰς θείας γραφὰς οὐ χαλεπὸν συνιδεῖν, ὅτι πᾶσαι αἱ ἐν αὐταῖς ἠθικαὶ γνῶμαι, ὅσον ἂν ἄλλως ἀπαντῶνται διεσπαρμέναι, εἰς ἓν καὶ μόνον κοινὸν κέντρον περιστρέφονται, προέρχονται ἐξ αὐτοῦ καὶ εἰς αὐτὸ ἐπανέρχονται, δηλαδὴ μία τις καθολικὴ ἀρχὴ ὑπόκειται πάσαις ὡς βάσις, ἥτις ῥητῶς μὲν οὐδαμοῦ ἐκφράζεται, δηλοῦται δὲ οὕτω σαφῶς, ὥστε ἀδύνατον μὴ ῥᾳδίως αὐτὴν πάντα τινὰ διαγνῶναι. Ταύτην ἐδήλωσεν ὁ Ἰησοῦς Χριστὸς σαφέστατα, ὅτε εἶπεν, " Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς· ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς " (α).

Ἐνταῦθα ὑπετυπώθη σαφῶς ἡ καθολικὴ ἀρχὴ, ἥτις ὑπόκειται ὡς βάσις πάντων τῆς κατὰ Χριστὸν ἠθικῆς τῶν κανόνων· ἔστι δὲ αὕτη ἡ πρὸς τὸν Θεὸν ἐξαίρετος ἡμῶν σχέσις καὶ ἡ πρὸς τὸ ὁμόφυλον· διὰ γὰρ ταύτην ἀναγκαῖον ἡμῖν καθίσταται, ἵνα ἐν τῇ ἐλευθέρᾳ ἡμῶν διαγωγῇ ὅρον τινὰ σταθερὸν φυλάττωμεν διὰ παντὸς πρὸς αὐτά.

§ 2. Δηλοῦται δὲ ἡ τοιαύτη ἐξαίρετος ἡμῶν σχέσις

(α) Ματθ. ε. 44.

Digitized by Google

ἐκ τῆς κοινῆς ἡμῶν γενέσεως· β', ἐκ τῶν φυσικῶν χαρισμάτων, οἷς τυγχάνομεν κατηρτισμένοι· γ', ἐκ τῆς ὑψηλῆς ἀξίας καὶ τοῦ τέλους, εἰς ὃ ἐκλήθημεν παρὰ τοῦ Θεοῦ. Ἐκ γὰρ τούτων ἀποδείκνυται ἡ μὲν πρὸς τὸν Θεὸν σχέσις ἡμῶν τοιαύτη, οἵα ἡ τοῦ παιδὸς πρὸς τὸν φιλόστοργον καὶ κηδεμονικὸν αὐτοῦ πατέρα, τοῦ τεχνουργήματος πρὸς τὸ τεχνούργημα, καὶ τῆς εἰκόνος πρὸς τὸ ἀρχέτυπον· ἡ δὲ πρὸς τὸ ὁμόφυλον, οἵα ἡ τῶν γνησίων ἀδελφῶν τῶν ἀφ' ἑνὸς καὶ τοῦ αὐτοῦ πατρὸς πρὸς ἀλλήλους.

§. 3. Περὶ τῆς ἐκ τοῦ Θεοῦ γενέσεως τοῦ ἀνθρώπου.

Ἀπόδειξις ἐκ τοῦ Θείου Λόγου.

Τὸ ἀρχαιότατον βιβλίον τῶν θείων ἀποκαλύψεων παρέχει τὰς ἐφεξῆς λύσεις περὶ τοῦ προκειμένου ζητήματος. «Εἶπεν ὁ Θεὸς, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα » ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ ἐποίησεν ὁ Θεὸς τὸν » ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν » καὶ θῆλυ ἐποίησεν αὐτοὺς, καὶ εὐλόγησεν αὐτοὺς ὁ » Θεὸς λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώ» σατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς. » (α)

Καὶ αὖθις κατωτέρω, «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν» (β).

(1) Γεν. ά, 26-28.
(2) Γεν. β'. 7.

Digitized by Google

Κατὰ τοῦτο καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, καὶ ἐξηγησάμενος ἡμῖν τὸν Θεὸν (α), ἐδίδαξεν ὑπ' οὐδεμίαν ἄλλην εἰκόνα θεωρεῖν αὐτὸν, ἢ ὑπὸ τὴν εἰκόνα τοῦ κοινοῦ πατρὸς, μηδ' ἄλλην προσωνυμίαν ἀποδιδόναι αὐτῷ, ἢ τὴν τοῦ πατρός. «Οὕτω προσεύχεσθε, εἶπε, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς» (β).

Καὶ ἀλλαχοῦ ἐντέλλεται, « Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς.» (γ) Ἐννοητέον δ' ἐνταῦθα τὸ *πατὴρ* κατὰ τὴν ὑψίστην αὐτοῦ σημασίαν, ἤτοι ποιητὴς καὶ δημιουργὸς καὶ πρωταίτιος ἡμῖν τοῦ εἶναι καὶ τοῦ ζῆν· «ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν» (δ)· ἐντεῦθεν καὶ ὁ θεῖος Παῦλος ἐπάγει τὸ συμπέρασμα, ὅτι οἱ πάντες ὑπάρχομεν γένος τοῦ Θεοῦ (ε).

Ὁ ἄνθρωπος ἄρα ἐστὶ τὸ τοῦ Θεοῦ καὶ δημιουργοῦ ἄριστον τεχνούργημα, δηλ. ἀριστούργημα τῆς παντοδυναμίας, τῆς σοφίας καὶ τῆς πρακτικῆς αὐτοῦ ἀγαθότητος, πεπλασμένον μὲν ἐκ τοῦ χοὸς κατὰ τὸ σῶμα, ἐζωοποιημένον δὲ κατὰ τὸ πνεῦμα τῇ πνοῇ τῆς ζωῆς, ἵνα ὑπάρχῃ ἐπὶ τῆς γῆς τὸ ὁρατὸν αὐτοῦ ἀφομοίωμα. Οἷον ὕψος τῆς τοῦ ἀνθρώπου κλήσεως! Οὗτος μεταξὺ τῶν ἀναριθμήτων κτισμάτων εὑρίσκεται, εἰς ὃν οἱ δύο κόσμοι ὁ σωματικὸς καὶ ὁ πνευματικὸς συνενοῦνται, περιέχων καὶ τοὺς δύο ἐν ἑαυτῷ.

Ὁ μακάριος Παῦλος περιλαμβάνει τὸ πᾶν ἐν τοῖς

(α) Ἰωάν. α. 18. (β) Ματθ. ϛ'. 9.
(γ) Ματθ. κγ'. 9. (δ) Πράξ. ιζ'. 28.
(ε) Πράξ. ιζ'. 29.

Digitized by Google

ἐφεξῆς· « Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, ὁ διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα... ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προτεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν » (α). Τὰ πάντα ἐκ τοῦ Θεοῦ εἰσὶν, ὁ ἄνθρωπος καὶ πάντα τὰ ἐν αὐτῷ, καὶ πᾶν, ὅ,τι ἂν ἴδιον ἑαυτοῦ ἀνομάζῃ, εἴτε σωματικὸν εἴτε πνευματικόν. Ἐκ τούτου καταφαίνεται ἤδη ἡ ἐξιδιασμένη σχέσις τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν, καὶ πρὸς τὸ ὁμόφυλον· ἀλλ' ἡ αὐτὴ δηλοῦται πρὸς τούτοις καὶ ἐκ τῶν ποικίλων αὐτοῦ φυσικῶν χαρισμάτων.

§. 4. *Περὶ τῶν διαφόρων χαρισμάτων τοῦ ἀνθρώπου.*

Τὰ ὑπὸ τοῦ Θεοῦ δεδωρημένα τῷ ἀνθρώπῳ χαρίσματα διαιροῦνται εἰς σωματικὰ καὶ εἰς πνευματικὰ, καὶ ἐκ μὲν τῶν σωματικῶν διακρίνεται μάλιστα τὸ ὄρθιον τῆς στάσεως, καὶ τῶν διαφόρων μελῶν τὸ εὔχρηστον καὶ εὔκαμπτον πρὸς πᾶσαν ἐργασίαν καὶ τέχνην, ἔτι δὲ τὸ τῶν πέντε αἰσθήσεων, δι' ὧν τὴν γνῶσιν πάντων τῶν ἐκτὸς ἡμῶν αἰσθητῶν κτώμεθα, καὶ αἱ ποικίλαι δὲ ὁρμαὶ αἱ τῆς κλίσεως καὶ τῆς ἀποστροφῆς, αἱ πρὸς τὴν διατροφὴν καὶ τὴν συντήρησιν ἡμῶν συντελεστικαὶ, τῷ σώματι ἐμπεφύκασι. Τῶν δὲ πνευματικῶν τὰ κράτιστά εἰσι, πρῶτον μὲν τὸ γνωστικὸν, ἤγουν ὁ νοῦς ὡς δύναμις τοῦ γινώσκειν· δεύτερον δὲ ἡ ἐλευθέρα θέλησις ἢ τὸ αὐτεξούσιον, ἤτοι ἡ δύναμις τοῦ αἱρεῖσθαι καὶ ὁρίζειν τὴν ἑαυτοῦ ἐνέργειαν. Ὅτι δὲ πέφυκεν ἐν ἡμῖν τοιαύτη δύναμις, δῆλον μὲν καὶ ἐκ τῆς συνειδήσεως παραινούσης ἀεὶ πρὸ τῆς πράξεως τί τὸ πρακτέον καὶ τὸ μὴ πρακτέον, μετὰ δὲ τὴν πρᾶξιν ἐπι-

(α) Πραξ. ιζ'. 26.

Digitized by Google

δοκιμαζούσης ἢ καὶ ἀποδοκιμαζούσης τὸ πεπραγμένον κατὰ τὴν αὐτοῦ ἰδιότητα· δῆλον δὲ καὶ ἐκ τῆς θείας γραφῆς, ἥπερ καὶ ἠθικῶν παραγγελμάτων πλῆθος περιέχει, καὶ ῥητῶς διδάσκει, ὅτι «ὁ Θεὸς ἐξ ἀρχῆς ἐποίησε τὸν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ· ἐὰν θέλῃς, φησὶ, συντηρήσεις ἐντολὰς .... παρέθηκέ σοι πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου· ἔναντι ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν εὐδοκήσῃ, δοθήσεται αὐτῷ» (α).

§. 5. *Περὶ τοῦ τέλους, εἰς ὃ ἐκλήθη ὁ ἄνθρωπος.*

Ἐπεὶ τοίνυν ἀμφότερα τό τε γνωστικὸν καὶ τὸ αὐτεξούσιον ἀναπτύσσεσθαι καὶ τελειοποιεῖσθαι ἐπ᾽ ἄπειρον πέφυκε, δῆλον ὡς οὐ πρὸς τὸν σκοπὸν μόνον τοῦ προσκαίρως κατὰ τὸν ἐπὶ γῆς βραχὺν βίον διαλάμψαι ἐδωρήθησαν τῷ ἀνθρώπῳ, ἀλλὰ πρὸς ἄλλο ὑψηλότερόν τε καὶ εὐγενέστερον τέλος. Ποῖον δὲ τοῦτο; Ἄμεσον μὲν καὶ ἐγγύτατον, ἡ ὀρθὴ γνῶσις τῶν πραγμάτων, καὶ ἡ ταύτῃ σύμφωνος ὀρθὴ πρᾶξις· ἔμμεσον δὲ καὶ ἀπώτερον, ἡ κατὰ τὸ φρονεῖν καὶ πράττειν τελεία ἐξομοίωσις ἡμῶν πρὸς τὸν Θεόν. Τὸ δὲ δεύτερον τοῦτο διὰ τοῦ πρώτου ἐπιτυγχάνεται, ὅσον ἐν τῷ παρόντι βίῳ ἐνδέχεται. Διδασκόμεθα δὲ πάλιν καὶ ταῦτα ἔκ τε τοῦ θείου λόγου, καὶ ἐκ τῆς τῶν χαρισμάτων αὐτῶν ἰδιότητος.

Ὁ μὲν θεῖος λόγος οὕτω λέγει, «Καὶ εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν, καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν» (β).

(α) Σειράχ. ιέ. 14—18.
(β) Γεν. ά. 27.

Digitized by Google

Καὶ τὸ « Γίνεσθε ἅγιοι, ὅτι κἀγὼ ἅγιός εἰμι, ἐγὼ κύριος ὁ Θεὸς ὑμῶν » (α). Ἔστι δὲ ἁγιωσύνη κατὰ τὸν λόγον τῆς γραφῆς, ὁ παντάπασιν ἀνεπίληπτος τρόπος τοῦ ἐνεργεῖν, ἐκ τῆς ὀρθῆς γνώσεως γεννώμενος, καὶ ἀμετάτρεπτος καὶ ὅμοιος ἑαυτῷ πάντοτε διαμένων.

Εἰς τοιαύτην ἁγιωσύνην προσεκαλοῦντο ἐν τῇ ἐρήμῳ οἱ υἱοὶ τοῦ Ἰσραήλ· εἰς τοιαύτην προσκαλεῖ καὶ ἡμᾶς πάντας ὁ Σωτὴρ ἡμῶν, ὅταν λέγῃ, « Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι » (β). Οὕτω καὶ ὁ θεῖος Παῦλος διδάσκει· « Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ ὡς τέκνα ἀγαπητά » (γ).

Ἐκ τούτων οὖν πρόδηλον γίνεται, ὅτι πάντες ἡμεῖς ἐσμὲν προωρισμένοι καὶ κεκλημένοι προσεγγίζειν ἀεὶ τῇ τοῦ Θεοῦ ἁγιωσύνῃ καὶ τελειότητι. Τοῦτο ἐστὶ τὸ ὕψιστον καὶ ἔσχατον ἡμῶν τέλος, πρὸς ὃ ἀδιαλείπτως δεῖ σπεύδειν.

§ 6. Ἵνα δὲ καὶ γινώσκωμεν αὐτὸ καὶ σπεύδωμεν εἰς αὐτό, βοηθοῦσιν ἡμῖν τὰ εἰρημένα χαρίσματα, δηλαδὴ, τὸ γνωστικὸν καὶ τὸ αὐτεξούσιον· διὰ μὲν γὰρ τοῦ νοὸς δυνάμεθα προσεγγίζειν τῷ Θεῷ κατὰ τὴν γνῶσιν καὶ τὴν σοφίαν αὐτοῦ· διὰ δὲ τοῦ αὐτεξουσίου κατὰ τὴν ἄμεμπτον καὶ πάσης τροπῆς ὑπερτέραν ἀγαθότητα καὶ ἁγιωσύνην αὐτοῦ. Πρὸς κατόρθωσιν δὲ τούτου ἀπαιτεῖται ἀ, τελεία, ὅσον ἐνδέχεται, καὶ ἐναργὴς γνῶσις τοῦ Θεοῦ· β', ἀκριβὴς καὶ πλατεῖα, ὅσον δίδεται, γνῶσις τῆς πρὸς τὸν Θεὸν καὶ τῆς πρὸς τὸν πλησίον σχέσεως ἡμῶν·

(α) Λευϊτ. ιά. ά. 44.
(β) Ματθ. έ. 48.
(γ) Ἐφες. έ. 1. ἰδὲ καὶ Πέτρου Β' ά. 1—14.

Digitized by Google

γ', σπουδαία καὶ ἀκλόνητος γνώμη παρὰ τῆς θελήσεως, ἵνα ἐκεῖνο μόνον διὰ παντὸς θέλωμεν, ὅπερ κρίνεται σύμφωνον καὶ ἁρμόδιον τῇ εἰρημένῃ σχέσει, καὶ διὰ τοῦτο δ', ἐπιμελὴς ἀνάπτυξις καὶ ἑκούσιος γύμνασις καὶ χρῆσις ὀρθὴ πασῶν τῶν δυνάμεων καὶ χαρισμάτων τῶν πρὸς τοῦτο κυρίως δοθέντων ἡμῖν παρὰ τοῦ δημιουργοῦ ἡμῶν Θεοῦ. Ἐπεὶ δὲ τὸ μέγιστον κώλυμα εἰς αὐτὸ ὑπάρχει ἡ σὰρξ, ἀπαιτεῖται προσέτι διὰ τοῦτο ε', διηνεκὴς ἐπαγρύπνησις εἰς τὴν σάρκα, καταστολὴ μετὰ φρονήσεως τῶν ὁρμῶν αὐτῆς, καὶ ἀγὼν μετὰ καρτερίας κατὰ τοῦ θελήματος καὶ τῶν ἐπιθυμιῶν αὐτῆς, ὅταν εἰς ἄδικόν τι παροτρύνωσιν ἡμᾶς.

Διὰ τούτων δυνάμεθα ἀνυψωθῆναι εἰς τὴν ὑψηλὴν ἀξίαν τῆς θείας εἰκόνος, εἰς τὴν τελείαν ἀξίαν τῶν τέκνων τοῦ Θεοῦ, εἰς τὴν πραγματικὴν ἐξομοίωσιν πρὸς τὸν Θεόν. Διὰ τοῦτο καὶ φαίνονται τὰ διάφορα χαρίσματα, εἴτε σωματικὰ, εἴτε ψυχικὰ, πρὸς τὴν κτῆσιν τούτου τοῦ μεγίστου θησαυροῦ δωρηθέντα ἡμῖν, καὶ ἐκ τῆς ἀγαθῆς αὐτῶν χρήσεως ἤρτηται ἡ ἀσφαλὴς ἐπίτευξις τοῦ ὑψίστου τέλους, εἰς ὃ προωρίσθημεν καὶ ἐκλήθημεν παρὰ τῆς πατρικῆς ἀγαθότητος τοῦ Θεοῦ.

Ἐκ τῶν μέχρι τοῦδε εἰρημένων καταφαίνεται ἤδη εὐκρινέστερον τὸ ὅλον τῆς σχέσεως ἡμῶν πρὸς τὸν Θεὸν καὶ πρὸς ἀλλήλους. Ὁ Θεός ἐστιν οὐ μόνον ὁ δημιουργὸς καὶ πατὴρ ἡμῶν, παρ' οὗ ἔχομεν οἱ πάντες καὶ τὸ ζῆν καὶ τὸ εἶναι καὶ πᾶν τὸ ἐν ἡμῖν ἀγαθὸν καὶ ἐξαίρετον, οὐ μόνον ἐστὶ τὸ Α, ἤγουν τὸ κέντρον, ἐξ οὗ προέρχονται πάντα, ἀλλὰ καὶ τὸ Ω, ἤγουν τὸ τέρμα, εἰς ὃ καὶ ἐν ᾧ πάλιν ἐπανακάμψουσι τὰ πάντα· ἅπας γοῦν ὁ πνευματικὸς κόσμος διὰ τῆς πρὸς αὐτὸν ἐξομοιώσεως

Digitized by Google

ἐπανελεύσεται εἰς αὐτὸν, καθὼς ποτε ἐξῆλθεν ἐξ αὐτοῦ. Τοῦτό ἐστι τὸ πανάγιον αὐτοῦ θέλημα καὶ ἡ ἐντολή· πρὸς τοῦτο προώρισε τὰς δυνάμεις καὶ τὰ χαρίσματα, ὅσα πραγματικῶς παρατηροῦμεν ἐν ἡμῖν αὐτοῖς· πρὸς τοῦτο τείνει καὶ πᾶσα ἡ πάνσοφος οἰκονομία, ἣν ἀπὸ τῆς ἀρχῆς τῆς δημιουργίας μέχρι τοῦδε κατὰ καιροὺς φιλανθρώπως ὑπὲρ ἡμῶν καὶ ἐν ἡμῖν ᾠκονόμησεν. Οἵας εὐγνωμοσύνης ὀφειλέται ἐσμὲν πρὸς αὐτὸν διὰ ταῦτα! Διὸ καὶ ἀδύνατον ἀδιαφορεῖν αὐτὸν, ὅπως ἂν πολιτευώμεθα, εἴτε πρὸς αὐτὸν, εἴτε πρὸς ἀλλήλους· καθάπερ ὁ ἐπίγειος πατὴρ οὐ δύναται ἀδιαφορεῖν περὶ τῆς πρὸς ἑαυτὸν ἢ καὶ τῆς πρὸς ἄλληλα τῶν τέκνων αὐτοῦ διαγωγῆς.

§. 7. Οἱ πρωτόπλαστοι ἔζων κατ' ἀρχὰς ὡς ἔπρεπε τῇ εἰρημένῃ σχέσει, καὶ διὰ τοῦτο καὶ τὸ φρόνημα καὶ ἡ διαγωγὴ αὐτῶν ἦσαν δίκαια καὶ ἅγια, κατὰ τὴν μαρτυρίαν τῆς ἁγίας Γραφῆς, καὶ ἐν ὅσῳ διέμενον οὕτω, μακάριοι διετέλουν. Μὴ ὄντες δὲ κατ' ἀνάγκην τοιοῦτοι, ἀλλ' ἐξ ἀρχῆς τὸ αὐτεξούσιον ἔχοντες, ἠδύναντο καὶ μένειν ἐν τῷ Θεῷ τῷ ποιητῇ αὐτῶν, καὶ ἀποστῆναι ἀπ' αὐτοῦ καὶ διαῤῥῆξαι τὴν πρὸς τὸν Θεὸν σχέσιν αὐτῶν, τραπέντες μᾶλλον ἐπὶ τὰ αἰσθητά. Τοῦτο δὲ καὶ διδασκόμεθα ἐκ τῆς θείας ἀποκαλύψεως ὅτι ἀληθῶς ἐγένετο (α)· Οἱ γενάρχαι, τῷ αὐτεξουσίῳ καταχρώμενοι, κατεφρόνησαν τῆς παρὰ τοῦ Θεοῦ δοθείσης αὐτοῖς σωτηρίου ἐντολῆς, καὶ ἥμαρτον διαῤῥήξαντες ἀληθῶς τὴν πρὸς τὸν Θεὸν σχέσιν αὐτῶν. Ἐξ ἐκείνου δὲ τοῦ χρόνου στερηθέντες τῆς μακαριότητος καὶ τῆς ἀθανασίας, ἔζων ζωὴν πρόσκαιρον μυρίοις πάθεσι

(α) Γεν. γ'. 1—7.

Digitized by Google

καὶ δεινοῖς ὑποκειμένην· « Καὶ ἔγνωσαν (λέγει ἡ θεία Γραφὴ), ὅτι γυμνοὶ ἦσαν, καὶ ἔῤῥαψαν φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα » (α)· Προῆλθον· δὲ ἐκ τῆς ἁμαρτίας ταύτης ταῦτα μάλιστα.

Α'. Ἡ πρότερον μεταξὺ τῶν ἀνθρώπων καὶ τοῦ Θεοῦ οἰκειοτάτη ἀναστροφὴ ἔπαυσεν εὐθὺς, καὶ οἱ ἄνθρωποι κατέστησαν τέκνα ὀργῆς.

Β'. Ἀποκλίναντες ἀπὸ τοῦ Θεοῦ ὡς ἀπὸ τοῦ κέντρου αὐτῶν, ἠχμαλωτίσθησαν κατὰ κράτος εἰς τὰς αἰσθήσεις, ποιοῦντες τὰ θελήματα τῆς σαρκός. (δ'.)

Γ'. Διὰ τοῦ χωρισμοῦ ἐκείνου ἀπὸ τοῦ Θεοῦ, τὸ μὲν γνωστικὸν τοῦ ἀνθρώπου ἐπληρώθη ἀπάτης καὶ ἀγνοίας, ἡ δὲ θέλησις ἐδεσμεύθη εἰς μόνα τὰ αἰσθητὰ κατὰ τὸ θέλημα τῆς σαρκὸς, ὥστε οὐκέτι ἐπὶ τὰ κρείττω ἀνυψωθῆναι δύναται, ἐὰν μὴ αὖθις ὑπὸ κρειττονος ἀντιλήψεως βοηθῆται.

Δ'. Καὶ αὐτὸ δὲ τὸ ἀνθρώπινον σῶμα ὑπέπεσεν ἐξ ἀνάγκης τῇ διηνεκεῖ μεταβολῇ καὶ τῇ φθορᾷ καὶ διαλύσει κατὰ τὰ πρόσκαιρα καὶ φθαρτὰ, οἷς πρόσκειται ἡ σάρξ.

Καὶ τοιαῦτα μὲν τὰ ἐκ τῆς παρακοῆς τῶν πρωτοπλάστων· ἐκ δὲ τούτων πάλιν ἄλλο σμῆνος κακῶν προῆλθε, τῶν μὲν φυσικῶν, τῶν δὲ ἠθικῶν, ὑφ' ὧν ἐξ ἐκείνου τοῦ χρόνου οἱ ἀπόγονοι αὐτῶν πάντες κατεπιέζοντο, καὶ ἔτι μέχρι τοῦδε καταπιέζονται, ἐξαχρειωθέντων διὰ τῆς ἀποπτώσεως ἀπὸ τοῦ Θεοῦ πάντων τῶν κατ' αὐτούς.

§. 8. *Περὶ τῆς μεταδόσεως τῆς φθορᾶς.*

Ἐπεὶ δ' οἱ πρωτόπλαστοι ἦσαν οἱονεὶ ῥίζα καὶ στέ-

(α) Γέν. γ', 7. (β) Ἐφεσ. β', 3.

Digitized by Google

λεχος, ἐξ οὗ ἀνεφύησαν ὡς τοσοῦτοι βλαστοὶ πάντες οἱ λοιποὶ τῶν ἀνθρώπων, δωρηθείσης αὐτοῖς παρὰ τοῦ Θεοῦ καὶ τῆς κατασκευῆς καὶ τῆς ἐσωτερικῆς δυνάμεως τῆς πρὸς τοῦτο ἀναγκαίας, δῆλον ὅτι, εἰ ἐκεῖνοι, μὴ ἁμαρτήσαντες, διέμενον ἐν τῇ μακαρίᾳ ἐκείνῃ μετὰ τοῦ Θεοῦ σχέσει, τότε καὶ ἡμεῖς, ὡς ἀπόγονοι αὐτῶν, ἦμεν ἂν συμμέτοχοι τῆς ἐκείνων μακαριότητος, καθάπερ μετὰ τὴν ἔκπτωσιν αὐτῶν κληρονόμοι ἐξ ἀνάγκης τῆς ἀθλιότητος ἐκείνων ἐγενόμεθα. Πῶς γὰρ ἂν εἴη ῥίζης ἐφθαρμένης βλαστὸς ὑγιής;

Διὰ τοῦτο καὶ ἡ θεία Γραφὴ παρέστησε πάντας ὁμοίους τοῖς γενάρχαις αὐτῶν· δηλ. ὡς φύσει τῇ θείᾳ ὑποκειμένους ὀργῇ, καὶ πόρρω τοῦ Θεοῦ καὶ τῆς ἐν Θεῷ ζωῆς ἀφεστηκότας (α), ὡς αἰχμαλώτους τῷ θελήματι τῆς σαρκὸς, καὶ πάντοτε κατὰ τὴν ἀρέσκειαν αὐτῆς ἐνεργοῦντας (β), ὡς πεπωρωμένους τὸν νοῦν καὶ τὴν καρδίαν, « Ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· » (γ) ὡς τῷ κράτει τοῦ θανάτου ὑποκειμένους, « Ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον » (δ)· ὡς δεομένους τοὺς πάντας ὁλικῆς ἀναγεννήσεως, ἵνα δυνηθῶσιν εἰσελθεῖν πάλιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. » (ε)

(α) Ἐφ. β'. 3. (β) Αὐτόθι.
(γ) Ρωμ. α'. 21.
(δ) Ρωμ. ε'. 12.
(ε) Ἰωαν. γ'. 8.

Digitized by Google

Ὁ θεῖος Παῦλος περιγράφει πάντα ταῦτα ἐν τούτοις· « Οὐκ ἔστι δίκαιος οὐδὲ εἷς, οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· ἰὸς ἀσπίδος ὑπὸ τὰ χείλη αὐτῶν, ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει· ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα, σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν. Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν. » (6)

Ἡ εἰκὼν αὕτη παρίστησιν ἀκριβῶς τοὺς μήπω διὰ τῆς χάριτος τοῦ Θεοῦ ἀναγεννηθέντας ἐκ τῆς πίστεως, ἢ καὶ ἐκπεσόντας πάλιν· οἱ γὰρ τοιοῦτοι γίνονται ὅλως φίλαυτοι, καὶ ποταποὶ δοῦλοι τῆς σαρκός.

§. 9. *Ἡ ἐπανόρθωσις τῆς ἀνθρωπότητος διὰ τῆς ἐνσάρκου οἰκονομίας.*

Ἡ ἐκ τῆς πτώσεως ἐπανόρθωσις τῆς ἀνθρωπότητος γίνεται μόνον ἐκ τοῦ Θεοῦ, ὡς ἰδιαιτέρα εὐεργεσία. Ὁ Θεὸς μὲν ἦν τὸ καταφρονηθέν· ἀλλ' ὅμως αὐτὸς πρῶτος ἐξέτεινε τὴν χεῖρα, ἵνα πάλιν ἀνορθώσῃ τὸν παραπεσόντα. Καὶ ἤρξατο μὲν αὕτη ἡ θεία οἰκονομία εὐθὺς ἀπὸ τῆς τοῦ ἀνθρώπου παραπτώσεως, ἐτελειώθη δὲ διὰ τῆς εἰς τὸν κόσμον παρουσίας τοῦ υἱοῦ τοῦ Θεοῦ.

Καθάπερ δὲ οἱ καρποὶ τῆς ἁμαρτίας κατὰ μικρὸν ἐφάνησαν πρῶτον μὲν εἰς τὸ πνεῦμα, ἐκεῖθεν δὲ καὶ εἰς τὸ σῶμα μετέβησαν, καὶ ἐπὶ μᾶλλον καὶ μᾶλλον καὶ εἰς αὐτὰ τὰ περὶ τὸν ἄνθρωπον ὡς προζύμη τὴν ζύμωσιν

(6) Ῥωμ. γ'. 10, πρβλ. Ψαλ. ιγ'. 3. νγ'. 3. ℓ. 9. ρμ'. 3. ℓ. 7. Παροιμ. ά. 16. Ἡσαΐ. νθ'. 7.

Digitized by Google

εἰς τὰ πάντα μετέδωκαν· οὕτω καὶ τὴν ἐπανόρθωσιν ἔδει ἄρξασθαι μὲν ἀπὸ τοῦ πνεύματος, ὕστερον δὲ καὶ εἰς τὸ σῶμα προβῆναι· ἀλλὰ τὸ σῶμα ὡς φθαρτὸν οὐκ ἂν ἄλλως ἀναγεννηθείη, ἢ μετὰ τὴν τελείαν αὐτοῦ διάλυσιν, ὡς νέας δημιουργίας εἰς τοῦτο δεόμενον.

Καὶ καθάπερ διὰ τῆς γεννήσεως καὶ τῆς ἀγωγῆς διεδάθησαν εἰς πάντας ἀνθρώπους τὰ ἐκ τῆς ἁμαρτίας κακὰ ὡς κληρονομία, οὕτω πάλιν καὶ τὰ τῆς ἐπανορθώσεως ταύτης μεταδοθῆναι δεῖ δι' ἰδίας τινὸς ἀναγεννήσεως καὶ ἀγωγῆς, ἣν ἡτοίμασεν ὁ Θεὸς πρὸς τοῦτο.

Ἐνεργεῖται δὲ ἡ ἀναγέννησις αὕτη, α', διά τινος ἐπιτηδείας εἰς τοῦτο διδασκαλίας, β', διὰ τῶν πρακτικῶν ἐντολῶν, γ', δι' ἐξαιρέτων καὶ ὑψηλοτέρων βοηθημάτων. Ἡ μὲν γὰρ διδασκαλία τὸ σκότος καὶ τὴν ἀπάτην τὰ τῇ διανοίᾳ ἡμῶν ἐνοικήσαντα ἀπελαύνει, νέον διαχέουσα φῶς· αἱ δὲ πρακτικαὶ ἐντολαὶ δεικνύουσιν εἰς τὴν θέλησιν ἡμῶν τὴν εἰς τὰ θελήματα τῆς σαρκὸς δεδουλωμένην, πολλῷ κρείττονα πράγματα, ἵνα ταῦτα προαιρῆται καὶ ζητῇ· τὰ δὲ ὑψηλότερα βοηθήματα ἀμφοτέρων τούτων, ἤτοι καὶ τοῦ νοὸς καὶ τῆς θελήσεως, ἀντιλαμβάνονται, τοῦ μὲν, ἵνα δέχηται καὶ στέργῃ τὸ ἐκ τῆς διδασκαλίας καθαρὸν φῶς, τῆς δὲ, ἵνα πρὸς τὰ κρείττονα ῥέπῃ καὶ εἰς αὐτὰ διαμένῃ ἀκλόνητος. Πάντα δὲ ταῦτα ἐδωρήθησαν ἡμῖν παρὰ τοῦ Θεοῦ ἐν τῇ ἀποκαλύψει, καὶ ἐν τῷ νόμῳ, καὶ ἐν τοῖς ὑπὸ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τεταγμένοις μυστηρίοις τῆς χάριτος, οἷς ἐπιμελῶς χρώμενοι πᾶσιν, ἀπαλλατόμεθα μὲν κατὰ μικρὸν ἀπὸ τῆς δουλείας τῆς σαρκὸς, προβαίνομεν δὲ εἰς τὴν τελείαν ἐλευθερίαν τοῦ Πνεύματος, ἐν ᾗ ὄντες πρὸ τῆς παραπτώσεως οἱ πρωτόπλαστοι, ἀῤῥήτου μακαριότητος ἀπήλαυον.

Digitized by Google

§. 10 *Τίς ἡ δουλεία τῆς σαρκός;*

Δουλεία τῆς σαρκὸς ὀνομάζεται ἡ εἰς μόνα τὰ τῇ σαρκὶ ἀρέσκοντα προσκόλλησις, δι' ἣν οὐδὲν ἄλλο ὑψηλότερον ἢ εὐγενέστερον διανοεῖταί τις, ἢ πῶς ἂν τὸ θέλημα αὐτῆς πράττοι. Ἡ δὲ τοιαύτη ῥοπὴ κατισχύσασα τοῦ ἀνθρώπου, γίνεται ἰδία τις ἕξις ἐν αὐτῷ, ἀ, ὅσῳ μακρότερον διαμένει ὑπὸ τὴν δεσποτείαν αὐτῆς ἀμέριμνος· ϐ, ὅσῳ συχνότερον τῷ θελήματι αὐτῆς ὑπακούει, καταφρονῶν δι' αὐτὸ τῶν κρειττόνων τῆς ἀνθρωπότητος συμφερόντων. Ἔστι δὲ ἡ τοιαύτη δουλεία ἢ ὁλικὴ ἢ μερική. Ὁλικὴ μὲν, ὅταν τις μόνοις τοῖς θελήμασι προσέχων τῆς σαρκὸς, πάντα ἄλλον ὑψηλότερον σκοπὸν περιορᾷ. Ταύτην ὑπαινίττεται ὁ θεῖος Παῦλος, ὅταν λέγῃ· « Ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν· » Ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω, » τοῦτο πράσσω· ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ » (α).

Ἡ ὁλικὴ ἄρα δουλεία ἐστὶν ἡ τελεία κατίσχυσις τῆς σαρκὸς κατὰ τοῦ πνεύματος· ἡ δὲ μερικὴ, ἐπειδάν τις κατά τινα μὲν μόνον ὑπακούῃ, κατ' ἄλλα δὲ πρὸς κρείττονα τέλη τῷ θελήματι αὐτῆς ἀνθιστῆται. Καὶ ἐν ἐκείνῃ μὲν ὁ τοῦ ἀνθρώπου βίος οὐδαμῶς εὑρίσκεται κρείττων τοῦ τῶν κτηνῶν, ἔστι δ' ὅτε καὶ χείρων καὶ αἰσχίων, διαφέρει δὲ μόνον, ὅτι πρὸς τῇ κτηνωδίᾳ καί τινα σπινθῆρα τοῦ λογικοῦ διατηρεῖ, ἀλλὰ καὶ τοῦτο εἰς ὑπηρεσίαν τῆς σαρκός· ἐν δὲ τῇ μερικῇ δουλείᾳ, κἂν μὴ ζῇ ὁ ἄνθρωπος ἐντελῶς βίον κτηνώδη, ζῇ ὅμως βίον ἄστατον, πρὸς τοὺς καιροὺς ἀεὶ μεταβαλλόμενον. Τοσούτῳ δὲ μᾶλλον κατάκριτος ἐφ' ἑκατέρᾳ τῇ δουλείᾳ καὶ ἀναπολόγητος μένει ὁ ἄνθρωπος, ὅσῳ πλειό-

(α) Ῥώμ. ζ. 14.

Digitized by Google

νων ἔλαχε χαρισμάτων, ἵνα τῆς τοιαύτης αἰσχρᾶς δουλείας ἀπαλλαγείς, εἰς τὴν τοῦ πνεύματος ἀρθῆ ἐλευθερίαν. Διὰ τοῦτο καὶ ὁ Σωτὴρ ἡμῶν ἐδίδασκε λέγων· » Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη, » καὶ εὐρύχωρος ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, » καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς (α). »

Τὸ δωρηθὲν ἡμῖν λογικὸν καὶ τὸ αὐτεξούσιον ἀναδείκνυσιν ἡμᾶς ἐν μέρει ἱκανοὺς τῆς τοιαύτης δουλείας ἀπαλλαγῆναι· εἰ γὰρ πρὸς τούτοις καὶ κρείττονος δεόμεθα βοηθείας, τῆς παρὰ τοῦ Θεοῦ χάριτος, ἀλλὰ καὶ αὕτη δαψιλὴς παντὶ τῷ σπεύδοντι εἰς τὴν πνευματικὴν ἐλευθερίαν μεταδίδοται. « Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· » τοὺς πάντας προσκαλεῖ ὁ Σωτὴρ ἡμῶν, « Ἄρατέ, φησι, τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν (β)· » Οὕτω διδάσκει καὶ ὁ θεῖος αὐτοῦ Ἀπόστολος· « Ἄρα οὖν, ἀδελφοὶ, ὀφειλέται ἐσμὲν οὐ τῇ » σαρκὶ, τοῦ κατὰ σάρκα ζῆν. Εἰ γὰρ κατὰ σάρκα ζῆτε, » μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ » σώματος θανατοῦτε, ζήσεσθε. Ὅσοι γὰρ Πνεύματι » Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ (γ). » Τὸ δὲ ζῆν καὶ τὸ ἀποθνήσκειν ἐνταῦθα ἠθικῶς ἐκλαμβάνονται, ἤτοι ὁ μόνοις προσέχων τοῖς θελήμασι τῆς σαρκὸς, αὐτὸς ἀποθνήσκει κατὰ τὴν ὑψηλοτέραν ἠθικὴν ζωὴν, ὡς τῆς σαρκὸς εἰς μόνην τὴν ἑαυτῆς εὐπάθειαν ἀφορώσης, καὶ οὐδέποτε εἰς τὰ κρείττω καὶ ὑψηλότερα.

Ἐκ τούτων καὶ τῶν τοιούτων λόγων τῆς θείας ἀπο-

(α) Ματθ. ζ'. 13. (β) Ματθ. ια'. 28.
(γ) Ῥωμ. η'. 12 — 15.

Digitized by Google

καλύψεως προτρεπόμεθα οἱ πάντες, ὡς λογικοὶ καὶ τῷ αὐτεξουσίῳ κεκοσμημένοι, ἀπαλλαγῆναι μὲν ἀπὸ τῆς δουλείας τῆς σαρκὸς, εἰς δὲ τὴν ἐλευθερίαν τοῦ πνεύματος ἀνέλθειν, ἐν ᾗ τῶν μὲν ἀθεμίτων τῆς σαρκὸς θελήσεων γενναίως καταφρονοῦμεν, τὸ δὲ φῶς τοῦ λογικοῦ διὰ παντὸς ὁδηγὸν τοῦ βίου ἔχομεν· οὕτω δὴ καὶ εἰς τὸν Θεὸν ἐπανελθεῖν δυνάμεθα, οὗτινος ἀπέστημεν, ὑπήκοοι τῇ σαρκὶ γενόμενοι. Πολλῶν δὲ πόνων καὶ ἀγώνων δεῖταί τις, ἵνα τὴν τοιαύτην ἑαυτῷ ἐλευθερίαν περιποιήσηται.

§. 11. *Τίς ἡ τοῦ πνεύματος ἐλευθερία;*

Ἡ τοῦ πνεύματος ἐλευθερία, ἥτις καὶ ἠθικὴ ἐλευθερία καλεῖται, ἀντιθέτως ἔχει πρὸς τὴν τῆς σαρκὸς δουλείαν. Ἔστι γὰρ φρόνημα τοῦ ἀνθρώπου, καθ' ὃ ἕπεται μὲν ἀεὶ τῇ τοῦ λογικοῦ ὁδηγίᾳ ἐν ταῖς πράξεσιν αὐτοῦ, οὐδέποτε δὲ ταῖς ἀλόγοις ὁρμαῖς τῆς σαρκός. Διαφέρει δ' αὕτη τῆς προειρημένης, ὅτι αὕτη ἐστὶν ἡ αὐτὴ τῇ ἄλλως ὀνομαζομένῃ ἀρετῇ ἢ ἠθικῇ τελειότητι, ἐφ' ὅσον τυγχάνει ἐν τῷ παρόντι βίῳ ἐφικτή.

Τὴν πρὸς τὴν ἐλευθερίαν ταύτην σπουδὴν συνίστησι τοῖς αὐτοῦ μαθηταῖς πολλάκις ὁ Κύριος· « Ἐὰν ὑμεῖς μείνητε, ἔλεγεν, ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μου ἐστὲ, καὶ γνώσεσθε τὴν ἀλήθειαν· καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς. » (α)

Οὐδεὶς δὲ ἀγνοεῖ, ὅτι τὰ πλεῖστα τῆς τοῦ Σωτῆρος ἡμῶν διδασκαλίας ἔτεινον εἰς τὴν ἐξήγησιν καὶ διατράνωσιν τῆς ἡμετέρας σχέσεως πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον, καὶ τῶν κατὰ ταύτην τὴν σχέσιν πρακτέων ἢ φευκτέων. Πᾶς μὲν οὖν ὁ γινώσκων ἐναργῶς τὴν σχέσιν ταύτην, γινώσκει ἀτεχνῶς τὴν ἀλήθειαν· ἡ γὰρ σχέ-

(α) Ἰωάν. η. 31.

Digitized by Google

σις αὕτη οὐκ ἔστι κενὸν τῆς φαντασίας ἀνάπλασμα, ἀλλὰ πραγματικόν τι ἐκ τῆς γενέσεως, καὶ τῶν φυσικῶν χαρισμάτων, καὶ τοῦ ἐσχάτου τέλους ἡμῶν γεννώμενον. Πᾶς δ' ἔτι ὁ κατὰ τὴν σχέσιν ταύτην διάγων τὸν βίον, οὐκ ἔτι πράττει κατὰ τὰς ὀρέξεις τῆς σαρκὸς, ἀλλὰ κατὰ τὴν ὑφήγησιν τοῦ λογικοῦ, καὶ ἐλευθεροῦται ἄρα ἀπὸ τῆς δουλείας τῆς σαρκός. Οὕτως ἀπαλλάττουσα τῆς δουλείας τὸν ἄνθρωπον ἡ ἀλήθεια, ἀνάγει αὐτὸν εἰς τὴν ἐλευθερίαν τῶν τέκνων τοῦ Θεοῦ· διὰ τοῦτο λέγει ὁ Ἀπόστολος (α)· « Οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος. »

§. 12. *Πῶς ἔχουσι πρὸς τὴν σχέσιν ταύτην αἱ τοῦ ἀνθρώπου πράξεις.*

Τῶν ἀνθρωπίνων πράξεων αἱ μὲν ἁρμόττουσι τῇ ἡμετέρᾳ πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον σχέσει, καὶ συντελοῦσιν εἰς αὐτὴν, καὶ ἀπαιτοῦνται μάλιστα παρ' αὐτῆς· αἱ δ', ἐξ ἐναντίας, ἀντιβαίνουσιν αὐτῇ, καὶ ὅλως ἄχρηστοι εἰσὶ, μᾶλλον δὲ καὶ διαλυτικαὶ γίνονται τῆς τοιαύτης σχέσεως· ἄλλαι δὲ τελευταῖον φαίνονται ἀδιάφοροι καὶ ἀμφιῤῥεπεῖς κατὰ τὴν ἐσωτερικὴν τοῦ πράττοντος διάθεσιν, καὶ κατὰ τὸν ὑποκείμενον αὐταῖς σκοπόν· γεννᾶται δὲ ἡ διάκρισις αὕτη ἀμέσως· ἁ, ἐκ τῆς ἀϊδίου σχέσεως τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον, καὶ β', ἐκ τῆς φυσικῆς αὐτῶν τῶν πράξεων ἰδιότητος.

Αἱ μὲν οὖν ἁρμόδιαι εἰς τὴν σχέσιν ταύτην, καὶ εἰσὶ καὶ λέγονται ἀγαθαί· αἱ δὲ πρὸς ταύτην ἀντιβαίνουσαι

(6) Β'. Κορ. γ'. 17.

Digitized by Google

καὶ εἰσὶ καὶ λέγονται κακαί· ἀδιάφοροι δὲ, ὅσαι καὶ ἁρμόττειν δύνανται, καὶ ἀντιβαίνειν αὐτῇ κατὰ τὴν τοῦ πράττοντος προαίρεσιν.

§. 13. Καλεῖται δὲ ἐν γένει ἡ τοιαύτη ἀγαθότης καὶ ἡ κακία τῶν ἀνθρωπίνων πράξεων ἀρχικὴ καὶ οὐσιώδης, ὡς πρὸ παντὸς ἄλλου θείου ἢ ἀνθρωπίνου νόμου θεωρητέα. Καὶ ἁμαρτάνουσιν ἄρα οἱ λέγοντες, ὅτι τὸ ἀγαθὸν ἢ κακὸν τῶν ἀνθρωπίνων πράξεων ἐκ τῆς αὐτῶν συμφωνίας ἢ ἐναντιότητος πρὸς τοὺς καθεστῶτας νόμους κρίνεται. Δεῖ δὲ ταύτην μάλιστα πανταχοῦ ὡς βάσιν τῆς ἠθικῆς νομοθεσίας ὑποκεῖσθαι, ἐὰν οἱ νόμοι αὐτῆς ἀγαθοὶ καὶ δίκαιοι ἔσεσθαι μέλλωσιν. Ἵνα τοίνυν ὀρθῶς τε καὶ ἀσφαλῶς τὸ ἀγαθὸν ἢ κακὸν ἑκάστης πράξεως κρίνηται, παρατηρητέον ἁ, τὴν ἀναλλοίωτον ἡμῶν σχέσιν πρὸς τὸν Θεὸν καὶ πρὸς τὸ ὁμόφυλον· β', τὴν ἐσωτερικὴν καὶ φυσικὴν ἰδιότητα αὐτῶν τῶν πράξεων. Τούτων γὰρ τῶν δύο παραβαλλομένων πρὸς ἄλληλα καὶ σταθμιζομένων, γνωρίζεται ἀσφαλῶς, εἰ ἡ κρινομένη πρᾶξις ἀγαθή ἐστιν ἢ κακὴ, ἢ ἀδιάφορος. Ὥστε τὰ δύο ταῦτα ἀποτελοῦσι τὴν πρώτην ἀρχὴν, καθ' ἣν τὸ ἀγαθὸν, ἢ τὸ κακὸν, ἢ τὸ ἀδιάφορον πάσης πράξεως ἐκτιμᾶσθαι καὶ ὁρίζεσθαι χρή. Καλεῖται δὲ διαφόρως ὑπὸ διαφόρων συγγραφέων ἡ ἀρχὴ αὕτη· ὁ μὲν γὰρ μακάριος Παῦλος ὀνομάζει αὐτὴν, « Νόμον γραπτὸν ἐν τῇ καρδίᾳ πάντων ἡμῶν (α) »· ἄλλοι δὲ, αἰώνιον τοῦ Θεοῦ νόμον (β), καὶ ἄλλοι, νόμον τῆς φύσεως, ὡς ἐπὶ τῆς φύσεως τοῦ Θεοῦ καὶ τῆς ἀνθρωπότητος στηριζόμενον, ἢ ἐπὶ τῆς ἀναλλοιώτου σχέσεως ἡμῶν πρὸς αὐτόν. Κληθείη δ' ἂν μᾶλλον ὁ ὕψι-

(α) Ῥωμ. β'. 15.

(β) Αὐγουστ.

Digitized by Google

στος λόγος καὶ ἡ βάσις καὶ ἡ πηγὴ παντὸς νόμου· ἐπειδὴ πάντες οἱ νόμοι θεῖοί τε καὶ ἀνθρώπινοι, οὐδέν εἰσιν ἄλλο, ἢ παραφυάδες τινὲς ἢ ῥύακες ἐκ τῆς πρωτίστης ταύτης ἀρχῆς, ὡς ἐκ κοινῆς ἀπορῥέοντες πηγῆς, εἰ δὲ μὴ, οὐδεμίαν δύνανται ἔχειν ἠθικὴν ἀξίαν.

Ἡ ἀρχὴ ἄρα αὕτη οὐ μόνον ἡ Λυδία λίθος ἐστὶ, πρὸς ἣν δεῖ πάσας τὰς ἀνθρωπίνους πράξεις δοκιμάζειν, ἀλλὰ καὶ τὸ ἰσχυρότατον αἴτιον πρὸς τὴν διόρθωσιν αὐτῶν. Ἐφ' ὅσον μὲν γὰρ ἐπιμελεῖταί τις ἁρμόττειν τὰς ἑαυτοῦ πράξεις τῇ ῥηθείσῃ ἀρχῇ, τέκνον τοῦ Θεοῦ ἀληθῶς δείκνυται, καὶ ἐν τῇ ἀληθεῖ αὐτοῦ ἀξίᾳ διαμένει· ἐὰν δὲ πράττῃ ἐναντία τῆς ἀρχῆς ταύτης, ἀδόκιμος γίνεται. Ἔστι δὲ καὶ ἀσφαλεστάτη ἡ ἀρχὴ αὕτη καὶ διὰ παντὸς ἀναλλοίωτος, ὥσπερ καὶ ἡ φύσις τοῦ Θεοῦ καὶ τῆς ἀνθρωπότητος, καὶ ἡ τούτων πρὸς ἀλλήλας σχέσις, ἐξ ἧς γεννᾶται, ἀκράδαντος καὶ ἀναλλοίωτος διαμένει.

ΚΕΦΑΛΑΙΟΝ Β'.

§. 14. *Περὶ νόμου καὶ τῶν διαφόρων αὐτοῦ διαιρέσεων.*

Νόμος ἐν γένει σημαίνει παράγγελμα, προστακτικὸν μὲν, ὧν ἐν καιρῷ δεῖ ποιεῖν, ἀπαγορευτικὸν δὲ, ὧν οὐ δεῖ ποιεῖν, μετ' ἀπειλῆς ζημίας, εἰ μὴ κατὰ σκοπὸν ἐκτελοῖτο ὑπὸ τῶν, οἷς ἐπιβάλλεται.

Ἐντεῦθεν δηλοῦται πρῶτον μὲν, ὅτι μεταξὺ τῆς καθολικῆς ἀρχῆς τῆς ἠθικῆς καὶ τοῦ νόμου μεγάλη διαφορὰ ὑπάρχει· ὁ μὲν γὰρ ἓν μόνον εἶδος πράξεων ἀφορᾷ, καὶ περὶ τούτων ὁρίζει τὸ πρακτέον, ἢ μὴ πρακτέον· ἡ δὲ καθολικὴ ἀρχὴ ἐστι πάσης ἀνθρωπίνης πράξεως ἐν γένει ἡ στάθμη· εἶτα δ', ὅτι τὸν μὲν νόμον τρία τινὰ οὐσιώδη περιέχειν ἀνάγκη, ἤγουν ἀ, ἐντολὴν ὁριστικὴν τοῦ πράττειν τι ἢ τοῦ ἀπέχειν ἀπό τινος· β', σπουδαίαν ἀπαίτησιν τοῦ

Digitized by Google

ὑπακούειν τῇ δοθείσῃ ἐντολῇ γ', αἰτιολογίαν ἰσχυρὰν, ὑφισταμένην εἰς τὴν ἐπαγγελίαν μεγάλων ὠφελειῶν, ἐὰν ἀληθῶς τηρῆται, καὶ εἰς τὴν ἀπειλὴν ζημίας, ἐὰν τοὐναντίον ἀθετῆται. Καὶ τοῦτο δ' ἀπαραίτητον ἐν παντὶ νόμῳ κρίνεται· χωρὶς γὰρ τούτου οὐδὲ τὰ δύο πρῶτα φυλάττονται, οὐδὲ τιμῶνται, ὅσον δεῖ. Τρίτον δὲ ὁ νόμος εἴη ἂν ἡ προστακτικὸς τοῦ πρακτέου, ἢ ἀπαγορευτικὸς, συνεπάγων καὶ τὴν τῆς ζημίας ἀπειλὴν ἐπὶ τῇ παραβάσει, ὡς αἴτιον.

§. 13. *Περὶ τοῦ καθολικοῦ νόμου τῆς ἠθικῆς.*

Ὁ καθολικὸς νόμος διαφέρει τῆς καθολικῆς αὐτῆς ἀρχῆς, ὡς εἴρηται. Ἡ μὲν γὰρ ἐστὶν ὁ ὕψιστος καὶ ἔσχατος ἠθικὸς λόγος, δι' ὃν τῶν ἀνθρωπίνων πράξεων αἱ μὲν καὶ εἰσὶ καὶ κρίνονται ἀγαθαὶ ὑπὸ παντὸς λογικοῦ ἀνθρώπου, αἱ δὲ τοὐναντίον καὶ εἰσὶ καὶ ὑπὸ παντὸς λογικοῦ ἀνθρώπου λογίζονται φαῦλαι. Ὁ δὲ νόμος ἕπεται μετ' αὐτὴν ἐντελλόμενος τὰς μὲν πράττειν, τὰς ἀγαθὰς, τὰς δὲ μὴ πράττειν, τὰς φαύλας. Περιλαμβάνει δὲ πᾶσαν ἀνθρωπίνην πρᾶξιν, ὁρίζων ἐν γένει τὸ πρακτέον, καὶ πάντα ἄλλον κατὰ μέρος ἠθικὸν νόμον ἐν ἑαυτῷ περιέχων.

Οὗτος ὁ καθολικὸς νόμος ἐκφράζεται ὧδέ πως. Α'. Πᾶν ὅ,τι σύνοιδας πρέπον τῇ ἡμετέρᾳ πρὸς τὸν Θεὸν καὶ τῇ πρὸς τὸ ὁμόφυλον σχέσει, τοῦτο πράττε ἀεὶ καὶ πανταχοῦ ἐπιμελῶς, ὡς τὸ ἀληθῶς καὶ ἀπολύτως ἀγαθόν. Ὅ,τι δὲ γινώσκεις ἀντιβαῖνον τῇ εἰρημένῃ σχέσει, τοῦτο φεῦγε, ὡς τὸ ἀληθῶς καὶ ἀπολύτως κακόν.

Β'. Μηδὲν πρὸς εὐπάθειαν ἢ ὄφελος πρόσκαιρον, ἢ πρὸς ἀποφυγὴν προσκαίρου ζημίας πράττε κατ' ἀθέτησιν τοῦ νόμου τούτου, φεῦγε δὲ μηδὲν πρὸς τὴν ἀκριβῆ αὐτοῦ φυλακήν.

Digitized by Google

Συμφωνεῖ δὲ μάλιστα τῇ καθολικῇ ἀρχῇ ὁ καθολικὸς οὗτος νόμος, καὶ ἐν τῇ πράξει εἰς ἐκείνην χρὴ διηνεκῶς ἀφορᾶν· ἀπαντᾶται δὲ συχνότατα καὶ ἐν τῇ θείᾳ γραφῇ, ἀλλὰ κατ' ἄλλον τύπον καὶ κατ' ἄλλην φράσιν. Οἷον τό: « Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν· » (α) ἔκκλινον ἀπὸ κακοῦ, ἤτοι ἀπὸ τοῦ τῇ εἰρημένῃ σχέσει ἀντιβαίνοντος καὶ διαλύοντος ταύτην· τοῦτο γὰρ καὶ μόνον ἐστὶ τὸ κακόν· ποίησον ἀγαθόν, ἤγουν τὸ πρέπον τῇ σχέσει ταύτῃ· τοῦτο γὰρ καὶ μόνον ἐστὶ τὸ ἀγαθόν.

Ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐνετείλατο οὕτως· « Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου, αὕτη ἐστὶν ἡ πρώτη καὶ μεγάλη ἐντολή· δευτέρα δὲ ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· » (β) Προσκολλήθητι τῷ Θεῷ ἐν ἀγάπῃ θερμῇ καὶ καθαρᾷ, αὐτὸς γάρ ἐστι τὸ ἄκρον ἀγαθὸν, καὶ παντὸς ἀγαθοῦ ἡ πηγὴ ἡ ἀένναος, προσκολλήθητι αὐτῷ ὡς υἱὸς πατρὶ φιλοστόργῳ, σεβόμενος καὶ ἀγαπῶν αὐτὸν, καὶ πιστεύων αὐτῷ, καὶ ὑπακούων τῷ παναγίῳ αὐτοῦ θελήματι· αὐτὸς γάρ ἐστι πατήρ σου, ὃς ἐποίησέ σε κατ' εἰκόνα αὐτοῦ, καὶ ἐκάλεσε, καὶ προώρισεν εἰς τὴν πρὸς αὐτὸν ἐξομοίωσιν. Πράττε τοίνυν διὰ παντὸς κατὰ τὸ πρέπον τῇ ἁγίᾳ ἐκείνῃ σχέσει. Ἡ δὲ δευτέρα ἐντολὴ διακελεύεται· « Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. » Ὅσπερ αὐτὸς ἔχεις πρὸς τὸν Θεὸν, οὕτω καὶ ὁ ἀδελφός σου, οἱ πάντες γένος ἐσμὲν τοῦ Θεοῦ. (γ) Διὰ τὸ σέβας ἄρα καὶ τὴν ἀγάπην καὶ ὑπακοὴν, ἅπερ ὀφείλομεν τῷ Θεῷ τῷ κοινῷ

(α) Ψαλμ. λγ'. 15. καὶ Α'. Πέτρ. γ'. 11.

(β) Ματθ. κβ'. 37.

(γ) Πραξ. ιζ'. 28.

Digitized by Google

ποιητὴ ἡμῶν καὶ πατρὶ, δέον καὶ τοὺς ἀνθρώπους, ὡς τέκνα τοῦ αὐτοῦ πατρὸς καὶ ἀδελφοὺς ἡμῶν ἀγαπᾷν, μετὰ φιλανθρωπίας καὶ δικαιοσύνης διάγοντες πρὸς αὐτοὺς, ὡς καὶ ἡ ἀξία καὶ ἡ κλῆσις αὐτῶν ἀπαιτεῖ, καὶ ἡ σχέσις ἡμῶν πρὸς αὐτούς. Ἐκ τούτου δηλοῦται, ὅτι ἡ θεία γραφὴ οὐ μόνον ἀπαιτεῖ παρ᾽ ἡμῶν, ὅπερ καὶ ὁ ἐκτεθεὶς καθολικὸς νόμος, ἀλλὰ καί τι πλέον, ἤγουν, τὸ μετὰ χαρᾶς καὶ προθυμίας διάγειν, ὡς πρέπει τῇ εἰρημένῃ σχέσει.

§. 16. Καθὼς δὲ ἡ πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον ἡμετέρα σχέσις, οὕτω καὶ ὁ ἠθικὸς νόμος, οὐ κενόν ἐστι τῆς φαντασίας ἀνάπλασμα, ἀλλὰ σταθερόν τι καὶ πραγματικὸν ὡς τῇ σχέσει ἐκείνῃ ἐπερειδόμενος καὶ πληρέστατα μετ᾽ αὐτῆς συμφωνῶν κατὰ πάντα.

§. 17. Καθὼς δὲ πᾶς νόμος ἠθικὸς, οὕτω καὶ ὁ καθολικὸς τῆς ἠθικῆς νόμος φέρει μεθ᾽ ἑαυτοῦ τὸ αἴτιον, ὅπερ πείθει καὶ ἐνισχύει εἰς τὴν αὐτοῦ ἐπιμελῆ ἐκπλήρωσιν· Ἤγουν ἐφ᾽ ὅσον οὐ βούλεταί τις ὑπακούειν αὐτῷ, καὶ ἀκολουθεῖν αὐτοπροαιρέτως, οὐδεμία ὑπάρχει ἰδιαιτέρα κοινωνία μεταξὺ αὐτοῦ καὶ τοῦ Θεοῦ, οὔτε ἐλπὶς οὐδεμία πρὸς ἐπίτευξιν τῆς ὑψηλῆς αὐτοῦ κλήσεως, ἀλλ᾽ ἔτι ἀπέχει μακρὰν τοῦ Θεοῦ, ζῶν βίον πρόσκαιρον καὶ τυχαῖον, ὅμοιος τῷ ἀσώτῳ υἱῷ, ὅστις ἔφυγε μακρὰν τῆς πατρικῆς αὐτοῦ οἰκίας, καὶ κατηνάλωσεν ἐν τῇ ἀλλοδαπῇ πᾶσαν αὐτοῦ τὴν οὐσίαν. (α) Ἐκ τούτου γεννᾶται ἡ ἀδιάλειπτος ἐσωτερικὴ ταραχὴ καὶ ἐπαχθὴς πρὸς ἑαυτὸν δυσαρέσκεια, κολάζουσα αὐτὸν διηνεκῶς· τοὐναντίον δὲ, ὅσῳ μᾶλλον ὑπακούει τῷ νόμῳ τούτῳ, καὶ ἀτεχνῶς διάγει κατ᾽ αὐτὸν, τοσούτῳ καὶ ἐπαισθητότερον ἐπιδίδωσι ἁ, κατὰ τὴν ἐσωτερικὴν αὐτοῦ

(α) Λουκ. ιέ. 13.

Digitized by Google

ἀξίαν· β', κατὰ τὴν καθ' ἑαυτὸν εὐχαρίστησιν· γ', κατὰ τὴν εὐδοκίμησιν ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων· δ', κατὰ τὴν ἰδιαιτέραν καὶ πραγματικὴν ἐξομοίωσιν πρὸς τὸν Θεόν· ε, κατὰ τὴν φαιδρὰν ἐλπίδα περὶ τῆς μελλούσης αἰωνίου αὐτοῦ καταστάσεως. Ὅλως δὲ ἡ σταθερὰ καὶ ἀκριβὴς ἐκπλήρωσις τούτου τοῦ νόμου, περιποιεῖ τῷ ἀνθρώπῳ σταθερὸν καὶ πολύτιμον χαρακτῆρα, οἷος καὶ αὐτὸς ὁ νόμος, ἐφ' οὗ θεμελιοῦται. Καὶ αἱ ἐπαπειλούμεναι ἄρα ζημίαι ἐκ τῆς ἀθετήσεως τούτου τοῦ νόμου, καὶ αἱ ἐκ τῆς ἀκριβοῦς αὐτοῦ ἐκπληρώσεως προσδοκώμεναι ποικίλαι ὠφέλειαι, ἀναγκάζουσιν ἐσωτερικῶς πάντα ἄνθρωπον, ὅταν σπουδαίως ἀναλογίζηται ταύτας, ἵνα πιστῶς αὐτῷ ὑπακούῃ καὶ τηρῇ αὐτόν. Διττὰ τοίνυν τὰ αἴτια, ὡς ἐκ τῶν εἰρημένων δηλοῦται, τὰ μὲν προτρεπτικὰ, ἐνισχύοντα εἰς τὴν πρόθυμον ὑπακοὴν καὶ τήρησιν τοῦ νόμου, ὡς δεικνύοντα τὰς ἐκ ταύτης μεγάλας ὠφελείας· τὰ δὲ ἀποτρεπτικὰ ἀπὸ τῆς ἀθετήσεως αὐτοῦ, ὡς δηλοῦντα τὰς ἐκ ταύτης ἐπαπειλουμένας μεγάλας ζημίας. Λαμβάνονται δὲ ἔκ τε τῆς βάσεως τοῦ νόμου αὐτοῦ, καὶ ἐκ τῶν ἀφεύκτως τῷ ἀνθρώπῳ συμβαινόντων κατὰ τὴν διέπουσαν τὰ πάντα θείαν πρόνοιαν, ἐκ τῆς ὑπακοῆς, ἢ τῆς παραβάσεως τούτου τοῦ νόμου.

§. 18. *Πῶς δεῖ ἔχειν πρὸς τὸν ἠθικὸν νόμον.*

Τοὺς κατὰ νόμον ἐν τῷ φανερῷ μόνον διάγοντας καὶ οὐχὶ ἐξ ἀγάπης τοῦ νόμου, ἀλλὰ διὰ τὴν ἐξ αὐτοῦ προσδοκωμένην ὠφέλειαν, ὡς ἐποίουν οἱ πάλαι Φαρισαῖοι, ἀπεδοκίμαζεν ὁ Κύριος ἡμῶν, λέγων· ὅτι τοιαύτη κατ' ἐπιφάνειαν χρηστὴ διαγωγὴ χωρὶς ἀγαθῆς προαιρέσεως, οὐδενὸς ἀξία κρίνεται παρά γε τῷ Θεῷ. Διὸ καὶ τοῖς ἑαυτοῦ μαθηταῖς διεκελεύετο, λέγων· «Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς

Digitized by Google

τὸ θεαθῆναι αὐταῖς· εἰ δὲ μήγε μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς » (α). Τοῦτ' ἔστι, προσέχετε, ἐπειδὰν τὰς ἐντολὰς τοῦ νόμου ποιῆτε, μὴ εἰς τὴν παρὰ τῶν ἀνθρώπων δόξαν καὶ τιμὴν ἢ τὸ ἐξ αὐτῶν πρόσκαιρον κέρδος ἀποβλέπητε, ἀλλὰ πρὸς αὐτὸ μόνον τὸ ἀγαθὸν καὶ δίκαιον, καὶ δι' αὐτὸ ἀγαπᾶτε καὶ πράττετε αὐτὰ, διότι ἀγαθὸν καὶ δίκαιον. Τῇ δὲ ἐντολῇ ταύτῃ τοῦ Σωτῆρος καὶ ὁ καθολικὸς νοῦς τῶν ἀνθρώπων συναινεῖ. Ἐκεῖνον γὰρ μόνον οἱ πάντες ὀρθῶς πράττειν νομίζουσι, καὶ τιμῶσιν, ὃν ἂν γνῶσι μόνῳ μὲν τῷ ἐκ τῶν αὐτοῦ ἔργων ἀγαθῷ προσέχοντα, πάντα δ' ἄλλον φιλαυτίας σκοπὸν ἀπωθοῦντα· ὥσπερ καὶ τοὐναντίον, βδελύσσονται καὶ πανταχοῦ καταφρονοῦσιν ὡς ῥυπαροῦ καὶ αὐτιδανοῦ, ὃς ἂν γνωσθῇ ἐν τῇ πράξει τοῦ ἀγαθοῦ οὐδὲν ἄλλο ζητῶν, ἢ κέρδος πρόσκαιρον τῆς αὐτοῦ φιλαυτίας, καὶ πρὸς τοῦτο χρώμενος τῷ ἁγιωτάτῳ πάντων τῶν ἐν ἀνθρώποις, ἤτοι τῇ ἀρετῇ.

Ὅταν οὖν τὸν ἠθικὸν νόμον ἐκπληρῶμεν, προσεκτέον μόνον εἰς τὸν ἔσχατον τοῦ νόμου τούτου σκοπὸν, τοῦτ' ἔστιν εἰς τὴν ἀμώμητον ἁγιότητα ἢ ἐξομοίωσιν ἡμῶν πρὸς τὸν Θεόν· ἡ δὲ τοιαύτη ῥαπὴ τῆς θελήσεως ἐστὶ κυρίως ἡ ἀγαθὴ διάθεσις, ἣν ἔχειν ἀεὶ καὶ διατηρεῖν πρὸς τὸν ἠθικὸν νόμον ὀφείλομεν, κἂν ποτε ἐκλείπῃ, ἢ γοῦν ὑφίηται, ἐπιμελητέον τῆς ἀνακτήσεως καὶ ἀνακαινίσεως αὐτῆς. Καλεῖται δὲ ἐν γένει ἀγαθὴ προαίρεσις, καὶ θεωρεῖται ἢ κατ' ἐνέργειαν ἢ καθ' ἕξιν, τὸ μὲν, ἐπειδὰν ἐπιχειροῦντές τι, εὐθὺς εἰς τὸν τοῦ καθολικοῦ νόμου σκοπὸν ἀφορῶμεν, καὶ πρὸς αὐτὸν πράττωμεν ἣν ἐπιχειροῦμεν πρᾶξιν· τὸ δὲ, εἰ ἐξ ἀρχῆς τοιαύτη ἐδόθη ῥοπὴ τῇ θελήσει, καὶ ἀδιαλείπτως ἐν ἡμῖν διαμένει. Ἐπιμελητέον δὲ μάλιστα τῆς τοιαύτης ἀγαθῆς προαιρέσεως

(α) Ματθ. ς' α.

Digitized by Google

ὡς ἀναπληρούσης ἐν ἑκάστῃ τῶν ἀνθρωπίνων πράξεων καὶ τὴν προτέραν, ὅπου ἂν μὴ δυνατὸν ᾖ ἀνεγεῖραι αὐτήν. Γνωστὸν γὰρ ἐκ πείρας, ὅτι καὶ ὁ σπουδαιότατος τῶν ἀνθρώπων, ὁ ἀδιαλείπτως ἀγωνιζόμενος προσπελάζειν εἰς τὸν πρὸς ὃν αὐτοῦ ὅρον, οὐ δύναται καθ' ἑκάστην ἐπιχείρησιν ἀφορᾷν εἰς τὸν τοῦ ἠθικοῦ νόμου σκοπὸν, ἵνα κατ' αὐτὸν τὴν προαίρεσιν ἀπευθύνῃ, ἀρκεῖ δὲ, ὅτι διεύθυνεν αὐτὴν ἅπαξ εἰς τοῦτο, ἡ δὲ τοιαύτη τάσις καὶ εἰς πᾶν ἐπιχείρημα αὐτοῦ μεταδίδοται, ἐὰν μόνον ὑπάρχῃ καθ' ἑαυτὸ οὐσιωδῶς ἀγαθὸν καὶ δίκαιον. Τὸ γὰρ κυριώτατον, πᾶσαι αἱ πράξεις ἡμῶν, ὅσον ἂν ὦσι καθ' ἑαυτὰς ἀγαθαὶ, μόνον διὰ τῆς εἰρημένης ἀγαθῆς προαιρέσεως λαμβάνουσιν ἠθικὴν ἀξίαν, καὶ ἠθικὴν ἀγαθότητα. Μαρτυρεῖ μου τὸν λόγον ὁ θεῖος Παῦλος λέγων· «Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι (α). » Διαφέρει γὰρ ὅλως ἡ τῆς πράξεως ἠθικὴ ἀγαθότης καὶ ἀξία, τῆς, ἣν ὠνομάσαμεν οὐσιώδη ἀγαθότητα, αὕτη μὲν γὰρ, ὡς εἴρηται, εἰς τὸ τῆς πράξεως ἁρμόδιον πρὸς τὴν μετὰ τοῦ Θεοῦ καὶ τοῦ ὁμοφύλου σχέσιν ἡμῶν θεωρεῖται, ἡ δὲ ἠθικὴ ἀγαθότης καὶ ἀξία εἰς τὸ αἴτιον τὸ προάγον τὴν πρᾶξιν. Ὅταν οὖν θεωρῆται ἡ πρᾶξις, καὶ γνωρίζηται ὡς προσήκουσα τῇ ἡμετέρᾳ πρὸς τὸν Θεὸν καὶ πρὸς τὸ ὁμόφυλον σχέσει, καὶ διὰ τοῦτο πράττηται, τότε καὶ ἠθικῶς ἀγαθή ἐστι, καὶ ἠθικὴν ἀξίαν κέκτηται. Ἀλλὰ καὶ τοὐναντίον, ὅταν

(α) Α'. Κορ. ιγ'. 1. καὶ ἑξῆς.

Digitized by Google

θεωρῇ μὲν τὸ πρὸς τὴν εἰρημένην σχέσιν ἀνάρμοστον τῆς πράξεως, ἀλλ' ὅμως πράττῃ αὐτὴν, τότε ἡ πρᾶξις αὕτη ἀποκαθίσταται ἠθικῶς κακὴ ἢ κακοήθης. Τὸ μὲν γὰρ πρῶτον ἀσφαλὲς παρέχει τεκμήριον ἀγαθῆς ὑπὲρ τοῦ ἠθικοῦ νόμου προαιρέσεως· τὸ δὲ δεύτερον κακῆς καὶ διεστραμμένης γνώμης περὶ αὐτοῦ. Ἀλλὰ καὶ πράξεις οὐσιωδῶς ἀγαθαὶ ὑπὸ τῶν μὴ ἀγαθὰ προαιρουμένων περὶ τοῦ ἠθικοῦ νόμου πραττόμεναι πρὸς τέλη ὅλως πρόσκαιρα καὶ γήϊνα, οὐδεμίαν κέκτηνται ἠθικὴν ἀγαθότητα καὶ ἀξίαν. Καὶ κακὰς μὲν οὐκ ἂν εἴποι τις τὰς τοιαύτας, εἰ μή τις ὑπόκειται σκοπὸς φαῦλος, νομίμους δ' ἴσως καὶ θεμιτάς. Ἠθικῶς δὲ κακαὶ γίνονται αἱ οὐσιωδῶς ἀγαθαὶ πράξεις, ἐπειδὰν πρὸς φαῦλον σκοπὸν πράττωνται· αἱ δὲ οὐσιωδῶς κακαὶ οὐδέποτε εἰς ἀγαθὰς διὰ τὴν ἀγαθὴν προαίρεσιν μεταβάλλονται. Μόνον γὰρ τὸ οὐσιωδῶς ἀγαθὸν, καὶ ἐξ ἀγαθῆς προαιρέσεως γινόμενον, ὑπάρχει καὶ ἠθικῶς ἀγαθὸν, τὸ δὲ μὴ ἐξ ἀγαθῆς προαιρέσεως, ὅσον ἂν ᾖ οὐσιωδῶς ἀγαθὸν, οὐδεμίαν κέκτηται ἠθικὴν ἀξίαν. Τὸ δὲ οὐσιωδῶς κακὸν, κἂν ἐκ συναρπαγῆς μόνον καὶ οὐχὶ ἐκ προαιρέσεως πράττηται, οὐ μόνον οὐδεμίαν ἔχει ἠθικὴν ἀξίαν, ἀλλὰ καὶ εἰς ἀτιμίαν ἀποβαίνει καὶ ἠθικὴν εὐθύνην τοῦ ἀνθρώπου, κατά γε τὸ εἶδος τῆς συναρπαγῆς αὐτοῦ. Τὸ δὲ οὐσιωδῶς κακὸν καὶ μετὰ κακῆς προαιρέσεως γινόμενον ἐκ μίσους πρὸς τὸν ἠθικὸν νόμον, τοῦτο ἐστὶ τὸ κάκιστον καὶ μέγιστον τῶν ἐν ἀνθρώποις ἁμαρτημάτων.

Οὐκ ἔστι δὲ κατὰ πᾶσαν πρᾶξιν εὐθέως εἰς τὸν τοῦ ἠθικοῦ νόμου τελικὸν σκοπὸν ἀφορᾶν· πολλαὶ γὰρ τῶν ἀνθρωπίνων πράξεων πλαγίως καὶ ἐμμέσως μόνον εἰς αὐτὸν ἀναφέρονται, καὶ τοιαῦται τυγχάνουσιν αἱ κληθεῖσαι παρ' ἡμῶν ἀδιάφοροι, ἀλλ' ἐν ταῖς τοιαύταις ἀρκεῖ ἡ ἅπαξ βοηθεῖσα τῇ προαιρέσει ῥοπὴ καὶ τάσις

Digitized by Google

πρὸς τὸ τοῦ ἠθικοῦ νόμου τέλος. Οἷον ἐσθίομεν βρώματα, καὶ πίνομεν ποτὰ, ἵνα τὸ ζῆν διατηρήσωμεν· τὴν δὲ ζωὴν διατηρεῖν, ὅσον ἐνδέχεται, ἐπιμελούμεθα, ἵνα πράττωμεν, κατὰ τὴν ἐντολὴν τοῦ ἠθικοῦ νόμου, ὅσον τὸ δυνατὸν, πλείονα ἀγαθὰ, διὰ δὲ τούτου ἐπὶ μᾶλλον εἰς τὴν πρὸς τὸν Θεὸν ἐξομοίωσιν προβαίνωμεν. Ἐνταῦθα θεωρεῖται τὸ ἔμμεσον καὶ ἐλιγμός τις, ἀναγκαῖον δὲ μόνον κατὰ ταῦτα, πᾶσαν προηγουμένην πρᾶξιν, καὶ πάντα σκοπὸν τοιαῦτα εἶναι, ὥστε ἐπὶ τέλους ῥᾳδίως ὑποχωρεῖν τῷ τοῦ ἠθικοῦ νόμου ἐσχάτῳ τέλει.

§ 19. *Περὶ τῆς τοῦ ἀνθρώπου ἀξίας.*

Ἀξία ἐν γένει λέγεται τὸ ἀληθὲς πλεονέκτημα, ἐφ' ᾧ ὁ κεκτημένος δόξης καὶ τιμῆς δικαίως ἀντιποιεῖται. Τῆς δὲ ἀξίας τοῦ ἀνθρώπου, τὸ μέν ἐστιν ἔμφυτον, οἷον ἡ ἐξαίρετος αὐτοῦ γένεσις ἀπὸ τοῦ Θεοῦ, τὰ ἐξαίρετα χαρίσματα, οἷς ἐκοσμήθη, καὶ ἡ κλῆσις, εἰς ἣν κέκληται παρὰ τοῦ Θεοῦ· τὸ δὲ ἐπίκτητον, οἷον ἡ ὀρθὴ καὶ πρέπουσα χρῆσις τῶν θείων δωρημάτων, καὶ αἱ δι' αὐτῆς πρόοδοι εἰς τὴν ἀληθῆ ἐξομοίωσιν αὐτοῦ πρὸς τὸν Θεόν. Καὶ ἡ μὲν ἔμφυτος, θαυμαστὸν ὅσον ἔχει τὸ μέγεθος καὶ τὸ ὕψος· δι' αὐτῆς γὰρ ὁ ἄνθρωπος πάντων τῶν ἐπὶ τῆς γῆς κτισμάτων διακρίνεται. Ταύτην καὶ ὁ Δαυὶδ θεωρῶν, ἐνθουσιᾷ, καὶ πρὸς τὸν Θεὸν ἀποτεινόμενος λέγει, « Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; » Εἶτα πάλιν ἀποκρινόμενος λύει τὴν ἀπορίαν· « Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. » (α)

(α) Ψαλμ. η'. 4—6.

Digitized by Google

Καὶ κατ' αὐτὴν μὲν ἴσαι πάντες ἄνθρωποι ἀλλήλοις εἰσίν. Ἡ δὲ ἐπίκτητος τοσούτῳ μείζων προβαίνει, ὅσῳ ἐπιμελέστερον ἀνέπτυξέ τις σκοπίμως τὰ ἑαυτοῦ χαρίσματα, καὶ προσηκόντως ἐχρήσατο, ἵνα τῇ ἱερᾷ πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον αὐτοῦ σχέσει τὸ ἱκανὸν ποιήσῃ· διὰ γὰρ ταύτης καὶ τοῦ πλησίον διακρίνεται ἕκαστος καὶ ὑπερέχει. Ἀλλὰ καὶ ἀπόλλυται πολλάκις καὶ κατὰ κράτος ἐκλείπει ἡ τοιαύτη ἀξία, ἐὰν ἡ ἄχρηστα ὅλως ἀπολείπῃ τὰ ἑαυτοῦ χαρίσματα, παρορῶν τὴν ἱερὰν ἐκείνην σχέσιν, ἢ κακῶς αὐτοῖς χρώμενος τὰ ἐναντία αὐτῇ πράττῃ. Περὶ τούτων ἔλεγεν ὁ Σωτὴρ ἡμῶν· « Αὕτη δ' ἐστὶν ἡ κρίσις (ἤτοι ὁ λόγος τῆς κατακρίσεως πολλῶν) ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς, ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα.» (α)

Ὀφείλει τοίνυν πᾶς τις, μᾶλλον δὲ πρώτιστον καὶ μέγιστον παντὸς ἀνθρώπου χρέος φαίνεται τὸ γινώσκειν προσηκόντως καὶ τιμᾷν καὶ σέβεσθαι τὴν ἑαυτοῦ ἀξίαν, τήν τε ἔμφυτον καὶ τὴν ἐπίκτητον, καὶ μὴ μόνον μὴ ὀλιγωρεῖν αὐτῆς, ἀλλὰ καὶ διὰ παντὸς ἐπιμελεῖσθαι, τοῖς ἑαυτοῦ χαρίσμασιν ὀρθῶς χρώμενον, ἐπαύξειν καὶ μεγαλύνειν ταύτην, μέχρις ἂν ἀπαυγάζῃ ὁρατῶς πως ἐκ τοῦ προσώπου αὐτοῦ ἄσπιλον καὶ λαμπρὸν τὸ ἐντελὲς τοῦ Θεοῦ ἀπεικόνισμα. Ἀλλ' ὁμολογητέον, ὅτι τὸ χρέος τοῦτο ὑπὸ πολλῶν πολλαχῶς καὶ διηνεκῶς ἀθετεῖται, ὥςτε πολλοῖς καὶ νῦν ἔτι ἁρμόττει τὸ δαυϊτικόν· « Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς. (β)» Πολλοὶ φαίνονται ἐπίτηδες καὶ αὐτοπροαιρέτως εἰς ἐξύβρισιν καὶ τῆς ἑαυτῶν καὶ τῆς τῶν ἄλλων ἀξίας ὁρμῶντες χάριν τῶν σωματικῶν ἡδανῶν καὶ συμφερόντων·

(α) Ἰωάν. γ'. 19.

Digitized by Google

Ἐκ δὲ τούτου μυρία τοῖς ἀνθρώποις γίνονται πάθη καὶ ἀταξίαι καὶ ταλαιπωρίαι. Διὸ καὶ ἀναγκαῖον κρίνεται φραγμόν τινα τῇ ὕβρει καὶ ἀκολασίᾳ ὑπὸ ἀνωτέρας ἐξουσίας τίθεσθαι, ἵνα μὴ ἡ κοινωνία τῶν ἀνθρώπων, μᾶλλον δὲ αὐτὴ ἡ ἀνθρωπότης ἀπόληται εἰς τὸ παντελές. Ὁ φραγμὸς οὗτός εἰσιν οἱ νόμοι οἱ τὴν διαγωγὴν τῶν ἀνθρώπων ὁρίζοντες, καὶ ποινὰς τοῖς παραβαίνουσιν ἐπάγοντες.

§. 20. *Τίνι προσήκει νομοθετεῖν ;*

Τὸ διὰ νόμου ὁρίζειν τὴν τοῦ ἀνθρώπου ἐνέργειαν κυρίως μὲν καὶ κατὰ πρῶτόν ἐστι τοῦ Θεοῦ, εἶτα δὲ καὶ τῶν κατὰ τὴν αὐτοῦ πρόνοιαν λαχόντων ἐπαγρυπνεῖν ὑπὲρ τῶν ἄλλων καὶ μεριμνᾷν· οἵοί εἰσι ά, οἱ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας προεστῶτες, καὶ β', οἱ τῶν ἐθνῶν ἀρχηγοί. Καὶ περὶ μὲν τοῦ πρώτου οὐδεὶς ἂν ἐρίσειεν, ἐὰν γινώσκῃ τὸν Θεὸν, καὶ τὸν θεῖον αὐτοῦ λόγον, ὅτι καὶ ἐξουσίαν ἔχει ὡς κύριος πάντων νομοθετεῖν, καὶ ἀτεχνῶς ἐνομοθέτησεν. Ἐν αὐτῷ γὰρ τῷ θείῳ λόγῳ πλῆθος ἐντολῶν περιέχεται, ὧν αἱ μὲν ὑπὸ τοῦ Μωϋσέως καὶ τῶν προφητῶν, αἱ δὲ ὑπ' αὐτοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐκηρύχθησαν τοῖς ἀνθρώποις εἰς ὑπακοήν. Περὶ δὲ τοῦ δευτέρου, εἰ καὶ τοῖς ἀνθρώποις ἔξεστι τὴν τῶν ἄλλων ἐλευθέραν διαγωγὴν διὰ νόμων ὁρίζειν, μαρτυρεῖ ἥ τε τοῦ καθολικοῦ νοῦ ἀπόφανσις, καὶ οἱ λόγοι τῆς θείας ἀποκαλύψεως. Περὶ μὲν οὖν τῶν τῆς ἐκκλησίας προεστώτων οἴδαμεν, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ θεμελιωτὴς καὶ ἡ κεφαλὴ τῆς ἐκκλησίας, ἔδωκε τὴν ἐξουσίαν ταύτην τοῖς ἑαυτοῦ μαθηταῖς, εἰπών· « Καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς· » (α) εἶχε δ' ἀναντιῤῥήτως τὴν ἐξουσίαν τοῦ νομοθετεῖν

(α) Ἰωάν. κ'. 21.

Digitized by Google

ἐν τῇ ἐκκλησίᾳ αὐτὸς, κατὰ τὸ « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς » (α)· μετέδωκεν ἄρα ταύτην διὰ τῶν εἰρημένων λόγων καὶ τοῖς μαθηταῖς. Καὶ ἀληθῶς μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου οἱ Ἀπόστολοι ἐχρήσαντο τῇ ἐξουσίᾳ ταύτῃ, ὡς ἐκ τοῦ ἐν ταῖς Πράξεσιν (β) ἱστορουμένου φαίνεται. Οὐ γὰρ ἂν ἐν γένει ἡ εὐταξία τῶν τῆς ἐκκλησίας μελῶν συνετηρεῖτο, εἰ μὴ οἱ προεστῶτες αὐτῆς τὴν ἐξουσίαν εἶχον πρὸς τοὺς καιροὺς ὁρίζειν τε καὶ παραγγέλλειν τὰ δέοντα. Τὸ δ' αὐτὸ καὶ περὶ τῶν ἀρχηγῶν τῶν λαῶν ἰσχύει· εἰ γὰρ μὴ καὶ οὗτοι τοιαύτην εἶχον ἐξουσίαν, οὐδὲ ἐν τῇ κοινωνίᾳ ὑπῆρχεν ἂν ἡ ἀναγκαία εὐταξία τε καὶ ἀσφάλεια. Ἀνεγνώρισε δὲ τὴν ἐξουσίαν ταύτην ἐν τοῖς ἡγεμόσι καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ διὰ τοῦτο ἐνετείλατο ὑπακούειν τοῖς αὐτῶν παραγγέλμασι καὶ ταῖς διαταγαῖς· « Ἀπόδοτε οὖν, φησὶ, τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ· » (γ) ὁ δὲ θεῖος Παῦλος λέγει, « Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω· οὐ γάρ ἐστιν ἐξουσία εἰμὴ ἀπὸ Θεοῦ· ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρίμα λήψονται » (δ). Ἐν τούτοις ἐξηγεῖται σαφῶς, ὅτι πᾶσα νόμιμος ἐξουσία κατ' εὐδοκίαν τοῦ Θεοῦ ὑπάρχει. Ἀλλὰ καὶ τίς ἀμφιβάλλειν δύναται, ἐὰν πιστεύῃ εἰς τὴν ὑπερτάτην τοῦ Θεοῦ πρόνοιαν, τὴν ἀεὶ τὰ πάντα μέχρι καὶ τῶν ἐλαχίστων πανσόφως καὶ παναγάθως διέπουσαν, ὅτι καὶ ὑπὲρ τῶν πολλῷ σπουδαιοτέρων, οἷά εἰσιν ἡ ζωὴ καὶ ἡ εὐδαιμονία τῶν ἐθνῶν καὶ τῶν ἡγεμόνων, ἐπαγρυπνεῖ; Ἀναντιῤῥήτως ἡ αὐτὴ ὑπερτάτη πρόνοια καὶ νῦν ἔτι ἀναβιβάζει εἰς τοὺς θρόνους καὶ καταβιβάζει οὓς τινας

(α) Ματθ. κή. 18. (β) Πραξ. κ. 1—29. (γ) Ματθ. κ 5'. 21.
(δ) Ῥωμ. ιγ'. 1. 2. ἰδὲ καὶ Α' Πέτρ. β'. 13.

Digitized by Google

βούλεται. Πόσον δὲ καὶ ἐν τούτῳ ἀκατάληπτα τὰ κρίματα τοῦ Θεοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ!

§. 21. *Ὅτι ὑπακούειν ὀφείλομεν τοῖς νομοθετουμένοις.*

Γνωσθέντος δ' ἅπαξ παρὰ τῇ νομίμῳ ἀρχῇ τοῦ δικαιώματος τοῦ νομοθετεῖν, οὐκ ἔτι λείπεται ἀμφιβολία περὶ τοῦ χρέους τῶν ἀρχομένων, ἵνα τοῖς δοθεῖσι νόμοις ὑπακούωσι. Πρὸς τί γὰρ τὸ τοιοῦτο δικαίωμα καὶ ἡ ἐξουσία, εἰμὴ καὶ ὑπακούειν ὤφειλον οἱ ἀρχόμενοι; Ἡ θεία Γραφὴ λέγει· « Ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν, οἱ δὲ ἀνθεστηκότες κρίμα ἑαυτοῖς λήψονται. » Ἡ δὲ ὀφειλὴ αὕτη οὐδέν ἐστιν ἄλλο, ἢ ἡ βεβαία γνῶσις τοῦ θελήματος τοῦ νομοθέτου, καὶ ἡ ἐκ ταύτης γινομένη ἐσωτερικὴ κατανάγκασις τοῦ ὑπακούειν τοῖς νομοθετηθεῖσιν. Ἵνα δὲ τοιαύτη ἐγγένηται τοῖς ἀρχομένοις ἠθικὴ κατανάγκασις, ἀπαιτεῖται, ἐκ μὲν τοῦ νομοδότου, ἀποχρῶσα γνωστοποίησις καὶ ἐξήγησις τοῦ σπουδαίου αὐτοῦ θελήματος· ἐκ δὲ τῶν ὑπηκόων, γνῶσις ἀκριβὴς ταύτης· καὶ ἡ μὲν γνωστοποίησις τοῦ θελήματος τῆς ἀρχῆς καλεῖται διακήρυξις τοῦ νόμου, ἐγγράφως ἢ διὰ λόγου γινομένη· ἰσχύει δὲ πᾶς νόμος ἀπὸ τῆς ὥρας μόνον τῆς διακηρύξεως αὐτοῦ· εἰ μή τινα ἄλλον χρόνον αὐτὸς ὁρίζει ὁ νόμος, καθ' ὃν ἰσχύειν ἄρχεται. Ἡ δὲ ἐκ τῆς ἐκδόσεως αὐτοῦ γινομένη τοῖς ἀρχομένοις ὀφειλὴ, εἰ μὲν ἐκ τῆς συνειδήσεως γεννᾶται, ὅτι τὸ εὔλογον καὶ δίκαιον ὑπόκειται τῷ νόμῳ ὡς βάσις, καλεῖται ἐσωτερικὴ· ἐξωτερικὴ δὲ, εἰ ἐκ τῆς ἰδέας τῆς ἐπὶ τῇ παραβάσει αὐτοῦ ἀπειλουμένης ζημίας, ἢ ἀπὸ τοῦ ἐκ τῆς ἐκπληρώσεως αὐτοῦ προσδοκωμένου κέρδους προέρχεται· εἰ δὲ ἐξ ἀμφοτέρων τῶν εἰρημένων, σύμμικτος. Εὐθὺς, δηλαδὴ, μετὰ τὴν γνῶσιν τοῦ θελήματος τῆς ἀρχῆς, τοῦ ἐν τῷ νόμῳ ἑρμηνευομένου, ἐφίστησι πᾶς τις τὸν νοῦν, ἢ ἐπὶ τὸ εὔλογον

Digitized by Google

καὶ δίκαιον τοῦ παραγγελλομένου, ἢ ἐπὶ τὴν ἀπειλουμένην ζημίαν, ἐὰν μὴ πραχθῇ, ἢ καὶ ἐπ' ἀμφότερα· καὶ πανταχόθεν αἰσθάνεται ἑαυτὸν ἠθικῶς διαζόμενον ἐπιμεληθῆναι τοῦ παρὰ τῆς ἀρχῆς παραγγελλομένου· ἄλλως γὰρ, ἢ ἐναντίον πράττει τοῦ λογικοῦ, ἢ ἐμπίπτει εἰς τὴν ποινήν· ἀμφοτέροις δὲ τούτοις οἰκοθεν ἡ τοῦ ἀνθρώπου φύσις ἀνθίσταται. Καὶ ἐντεῦθεν ἡ ἐσωτερικὴ κατανάγκασις ἡ ὀφειλὴ τοῦ ὑπακούειν τοῖς καθεστῶσι νόμοις· ἥπερ οὕτω σπουδαιοτέρα γίνεται, ὅσῳ κρεῖττον τὸ περὶ οὗ ὁ νόμος κρίνεται, ἢ μείζων ἡ ἐπὶ τῇ ἀθετήσει τοῦ νόμου ἐπικειμένη ζημία. Ἡ ὀφειλὴ ἄρα τοῦ ὑπακούειν τοῖς ὑπὸ τῆς νομίμου ἀρχῆς διὰ νόμου παραγγελλομένοις ἐξ αὐτῶν γεννᾶται τῶν νόμων, ὡς ἐκ τῶν εἰρημένων δηλοῦται.

§. 22. *Ὅρια τῆς νομοθετικῆς ἐξουσίας.*

Τῆς νομοθετικῆς ἐξουσίας ἡ μέν ἐστι θεία, ἡ δ' ἀνθρωπίνη, ὡς εἴρηται· τῆς δ' ἀνθρωπίνης ἡ μὲν ἐκκλησιαστικὴ, ἡ δὲ πολιτικὴ, ἡ δὲ καὶ πατρική. Τὴν μὲν οὖν ἀνθρωπίνην ὁρίοις τισὶν ἀνάγκη περιορίζεσθαι, ἃ μὴ δύναιτο κατὰ τὸ δοκοῦν ὑπερπηδᾶν· ἄλλως γὰρ εἰς καταδυναστείαν ἐκτρέπεται, καθ' ἣν οἱ ἀρχόμενοι πᾶσαν ἀφαιροῦνται τὴν ἑαυτῶν προσωπικότητα καὶ ἀξίαν, ὡς μηχανὴ ἄψυχος καὶ ὄργανον ἁπλοῦν ἐν ταῖς χερσὶ τοῦ δυνάστου ὄντες, ὅπερ οὐδεὶς ἂν ἀνάσχοιτο. Διὰ τοῦτο καὶ τὸ νομοθετεῖν καὶ τὸ πείθεσθαι τοῖς νομοθετουμένοις ὑπό τινας ὅρους ἀεὶ ἐξ ἀμοιβαίας συγκαταθέσεως τῆς τε ἀρχῆς καὶ τῶν ἀρχομένων διαγραπτέον. Περιορίζεται δὲ ἡ νομοθετοῦσα ἀρχὴ ἁ, κατὰ τὰς πράξεις, ὅσαι οὐκ ἄνευ ἰδίας συγκαταθέσεως ἐπιτάττεσθαι ἢ ἀπαγορεύεσθαι πεφύκασι· β', κατὰ τὴν φυσικὴν δύναμιν, ὥστε δυνατὰ εἶναι τὰ παραγγελλόμενα πράττεσθαι· γ', κατὰ τὸ

Digitized by Google

τέλος, πρὸς ὃ ἡ νομοθεσία. Καὶ κατὰ μὲν τὰς πράξεις περιορίζεται ἡ νομοθετικὴ ἐξουσία, διότι πάντας τοὺς τὰ πρακτέα διακελεύοντας νόμους παραφυάδας εἶναι δεῖ τοῦ καθολικοῦ νόμου, τοῦ ἐκ τῆς σχέσεως ἡμῶν πρὸς τὸν Θεὸν καὶ πρὸς τὸ ὁμόφυλον προϊόντος, καὶ μηδὲν ἐναντίον ἐκείνῳ παραγγέλλειν, εἰ δε μὴ, πρὸς βλάβην καθίστανται τῆς τε ἀξίας καὶ τῆς κλήσεως τοῦ ἀνθρώπου· ἅμα δ' ὡς τοιοῦτοι γνωσθέντες, καὶ πᾶσαν αὐτῶν τὴν ἰσχὺν ἀπώλεσαν. Οὐ γὰρ μόνον οὐκέτι τοῖς τοιούτοις νόμοις ὑπακούειν ὀφείλει οὐδείς, ἀλλὰ καὶ τοὐναντίον, μηδαμῶς ἐκπληρῶσαι αὐτοὺς πειρᾶσθαι. Οὐδεμία γὰρ ἀρχὴ ἡ ἐξουσία δικαιοῦται τὰ παρὰ τὴν ἀξίαν καὶ τὴν κλῆσιν τοῦ ἀνθρώπου ἐντέλλεσθαι. Μόνος δὲ, κυρίως εἰπεῖν, ὁ καθολικὸς νόμος, ὡς ὅλος λογικὸς καὶ τῇ τοῦ Θεοῦ καὶ τῇ τοῦ ἀνθρώπου φύσει ἐπερειδόμενος, κέκτηται ἀναγκαίως ἐν ἑαυτῷ τὴν ὑποχρέωσιν τοῦ πείθεσθαι αὐτῷ πάντας, οἱ δὲ λοιποὶ νόμοι παρ' αὐτοῦ δανείζονται ταύτην, ἐφ' ὅσον ἐξάγονται ἐξ αὐτοῦ ὡς γνήσιαι παραφυάδες. Ἐξαγγέλλεται δὲ ἡ ὀφειλὴ αὕτη δι' αἰσθημάτων, νῦν μὲν ἡδέων, νῦν δὲ ἀλγεινῶν ἀεὶ ταῖς πράξεσι παρεπομένων, ἀλλ' οὐκ ἐν τούτοις ἡ ὀφειλὴ ὑφίσταται, ἀλλὰ προηγεῖται αὐτῶν, καὶ ἔστιν ἡ ἐσωτερικῶς ἑκάστοτε παραγινομένη τῷ ἀνθρώπῳ ὁρμὴ καὶ βία τις εἰς τὸ πρᾶξαί τι ἢ ἀποστῆναί τινος.

§ 23. Κατὰ δὲ τὴν φυσικὴν δύναμιν περιορίζεται ἡ νομοθετοῦσα ἀρχὴ, ἵνα δυνατὰ ὦσι τὰ παραγγελλόμενα ἐκτελεῖσθαι. Ὁ δ' ὅρος οὗτος ὑπ' αὐτῆς τῆς φύσεως τίθεται· ὃ γὰρ οὐ δύναταί τις γινώσκειν, τοῦτο οὐδὲ ποιῆσαι δύναται, ἄρα οὐδ' ἐν τῇ τῶν ἀνθρώπων ὑπάρχειν δύναται νομοθεσίᾳ. Διὰ τοῦτο αἰσθήματά τε καὶ φρονήματα καὶ ἐπιθυμίαι ἐσωτερικῶς ἐν τῇ ψυχῇ διατηρούμενα, οὐκ ἄν ποτε ὑπ' οὐδεμιᾶς ἀρχῆς οὔτ' ἐπιτάττοιντο, οὔτ' ἀπαγορεύοιντο· μόναι γὰρ αἱ πράξεις ἐπιτάττονται ἢ ἀπα-

Digitized by Google

γορεύονται, περὶ δ' ἐκείνων μόνῳ προσήκει τῷ τὰς καρδίας ἐτάζοντι καὶ κατ' ἀξίαν ἕκαστον ἀμειψομένῳ κρίνειν. Οὕτω δὲ καὶ ὑπὸ τοῦ τόπου καὶ ὑπὸ τῶν προσώπων, καὶ ὑπ' ἄλλων τινῶν περιστάσεων περιορίζεται ἡ νομοθετικὴ ἐξουσία. Οἷον ἡ μὲν ἐκκλησιαστικὴ ἀρχὴ μόνοις τοῖς μέλεσι τῆς ἐκκλησίας νομοθετεῖ, ἡ δὲ πολιτικὴ μόνοις τοῖς ὑπηκόοις καὶ τοῖς ἐν τῇ χώρᾳ αὐτῆς οἰκοῦσιν. Ἐντεῦθεν καὶ οἱ νόμοι εἰς τοπικοὺς καὶ εἰς προσωπικοὺς διῄρηνται, καὶ οἱ μὲν, ἐν ᾧ κεῖνται, φυλακτέοι παρὰ πάντων εἰσὶ τῶν ἐνοικούντων καὶ παροικούντων, οἱ δὲ, πανταχοῦ, ὅπου ἂν ὦσι τὰ πρόσωπα, εἰς ἃ οἱ νόμοι ἀφορῶσιν.

§. 24. Ἔτι δὲ περιορίζεται ἡ νομοθετικὴ ἐξουσία καὶ ὑφ' οὗ προτίθεται τέλους, οἷον, ἡ μὲν ἐκκλησιαστικὴ τὴν πρόοδον τῆς ἀνθρωπότητος εἰς τὸν προορισμὸν αὐτῆς προτίθεται διὰ τῆς διαδόσεως καὶ στερεώσεως τῆς εἰς Χριστὸν πίστεως, ἡ δὲ πολιτικὴ, τὴν κοινὴν ἀσφάλειαν καὶ εὐταξίαν, καὶ τὴν τῆς δικαιοσύνης ἀπονομήν. Τὰ μὲν οὖν πρὸς τὸ τέλος ἑκατέρας συντελοῦντα, ταῦτα καὶ κελεύειν δεῖ ποιεῖν, τῶν δ' ἐναντίων ἀπέχειν, τὰ δ' ἄλλα τῇ ἑκάστου προαιρέσει ἐᾷν. Εἰ γὰρ πάντα περιλαβεῖν ἐπείγεται ἡ νομοθετικὴ ἀρχὴ, εἰς δεσποτείαν διαστρέφεται τυραννικὴν, προτιθεμένην μόνον ἐπιθεῖναι φορτία βαρέα καὶ δυσβάστακτα ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων (α). Ἡ νομοθετικὴ ἄρα ἀρχὴ τῶν ἀνθρώπων πολλαχῶς περιορίζεται, καὶ ὅσῳ σπουδαιότερον ἐπιμελεῖται ἐμμένειν ἐντὸς τῶν ὁρίων αὐτῆς, τοσούτῳ προσφιλεστέρα τε καὶ σεβαστοτέρα τυγχάνει τοῖς ἀρχομένοις, ὅπου δ' ἂν αὐθαιρέτως τὰ φυσικὰ ὅρια ὑπερπηδᾷ, ἐπαχθὴς καὶ μισητὴ καθίσταται.

(α) Ματθ. κγ'. 4.

Digitized by Google

§. 25. *Περὶ ἀκυρώσεως τῶν πολιτικῶν νόμων.*

Ὁ μὲν καθολικὸς νόμος, ὡς τῇ ἀναλλοιώτῳ φύσει τοῦ Θεοῦ καὶ τοῦ ἀνθρώπου ἐπερειδόμενος, ἀναλλοίωτος διὰ παντὸς καὶ ἀκήρατος διαμένει, οὐδέποτε οὐδαμῶς ἀκυρωθῆναι δυνάμενος· οὕτω καὶ πάντα τὰ ἐξ αὐτοῦ εἰς κανονισμὸν τῶν βιωτικῶν πραγμάτων λαμβανόμενα πορίσματα, ἅτινα ὡς ἴδιοι ἠθικοὶ νόμοι θεωροῦνται, πρός τε τὴν πρᾶξιν ἀεὶ τοῦ ἀπολύτως ἀγαθοῦ, καὶ τὴν ἐξάλειψιν τοῦ ἀπολύτως κακοῦ ἀποβλέποντες, καθάπερ καὶ αὐτὸς ὁ καθολικὸς νόμος. Εἰ δέ τι τούτοις κατὰ καιρὸν προσετέθη, ἵν' ἐπιμελέστερον πράττοιντο, τοῦτο μὲν ἐν ἄλλῳ καιρῷ ἀκυρωθῆναι δύναται, αὐτὰ ὁὲ οὐδέποτε οὐδαμῶς ἀκυροῦνται, ἀλλὰ κύρια διαμένουσιν. Οἱ δὲ καθαρῶς πολιτικοὶ νόμοι οἱ τὰ βιωτικὰ πράγματα κανονίζοντες, καὶ μεταβάλλονται πρὸς τοὺς καιροὺς, καὶ ὅλως ἄκυροι μένειν δύνανται· οἷον ἀ, ὅταν τὸ δι' αὐτῶν σκοπούμενον ἢ ἀνέφικτον ᾖ, ἢ μηκέτι τῷ κοινῷ ὠφέλιμον· β', ὅταν, τῶν καιρῶν μεταβληθέντων, ἡ περαιτέρω αὐτῶν ἰσχὺς βλάβην παρέχῃ τῷ κοινῷ. Γίνεται δὲ ἡ ἀκύρωσις ὑπὸ τῆς νομοθετικῆς ἐξουσίας ἢ καταλυούσης αὐτῆς αὐτοὺς ῥητῶς, ἢ τὴν ἀθέτησιν αὐτῶν μὴ κωλυούσης ἐντόνως.

§. 26. *Μέχρι τίνος ἰσχύει ἡ ὀφειλὴ τοῦ ἐκπληροῦν τοὺς καθεστῶτας πολιτικοὺς νόμους;*

Οἱ πάντες ὁμολογοῦσιν, ὅτι, ὅσον ἂν ὦσι σπουδαῖαι αἱ τοῦ πολιτικοῦ νόμου ἐντολαὶ, μόνον ἐν τοῖς ἐφεξῆς ἰσχύουσιν ὑποχρεῶσαι πρὸς τὴν ἐκπλήρωσιν αὐτῶν, κἂν κίνδυνος ζωῆς ἐπικέηται, κἂν ἄλλαι θυσίαι μεγάλαι ἀπαιτῶνται· ἦγουν ἀ, ὅτε τὸ παραγγελλόμενον πέφυκε τοιαύτην ἀπαιτεῖν θυσίαν· β', ὅτε ἡ διατήρησις ἢ ἡ κα-

Digitized by Google

θαίρεσις τοῦ ἀγαθοῦ πολιτεύματος ἐκ τῆς φυλακῆς ἢ τῆς παραβάσεως τῆς δοθείσης ἐντολῆς ἤρτηται· γ', ὅπου τὸ τῆς ἐντολῆς τέλος κρεῖττον καὶ ζωῆς καὶ περιουσίας εὑρίσκεται. Τότε γὰρ ἡ ὀφειλὴ τῆς ἐκπληρώσεως οὕτω τυγχάνει μεγάλη καὶ ἀπαραίτητος, ὥστε καὶ τὸ ζῆν καὶ τὴν κτῆσιν κινδυνευτέον πρὸς τὴν ἐκπλήρωσιν αὐτῆς. Καὶ τοιαύτας περιστάσεις σπάνιον μὲν, ἀλλ' οὐκ ἀδύνατον συγκυρῆσαι· ὅσῳ δὲ σπουδαιότερον τὸ τῆς δοθείσης ἐντολῆς τέλος, καὶ ὅσῳ χείρω καὶ ἐπιβλαβέστερα πάσῃ τῇ πολιτείᾳ τὰ ἐκ τῆς παραβάσεως τῆς ἐντολῆς κακὰ, τοσούτῳ μείζων καὶ ἡ ὀφειλὴ γίνεται τοῦ ἐκπληρῶσαι πιστῶς τὴν ἐντολὴν, κἂν τὰς μεγίστας δέῃ ὑποστῆναι ζημίας, κἂν τὸν θάνατον αὐτόν.

§. 27. *Τίσιν ἐπίκειται ἡ ὀφειλὴ τῆς ἐκπληρώσεως τῶν νόμων;*

Μόνοις τοῖς ἐν τελείᾳ χρήσει τοῦ λογικοῦ· ἀνήλικοι δὲ παῖδες ἢ φρενήρεις, καὶ ἀσθενεῖς καὶ μωροὶ, ἐν ὅσῳ οὕτως ἔχουσιν, οὐχ ὑπόκεινται τῇ ὀφειλῇ ταύτῃ. Ἐπεὶ δ', ὡς εἴρηται, καὶ χρόνος, καὶ τόπος, καὶ ἄλλαι περιστάσεις συνάπτονται ταῖς τοῦ νόμου ἐντολαῖς, δῆλον ὡς ἡ ὀφειλὴ τοῦ ὑπακούειν ὑπάρχει, ἔνθα ἂν ὁ καιρὸς καὶ ὁ τόπος καὶ ἡ δύναμις πρὸς τοῦτο συγχωρῇ, ὅπου δ' ἂν ταῦτα λείπῃ, ἐκεῖ καὶ ἡ ὀφειλὴ παύει. Δεῖ δὲ καὶ αὐτὴν τὴν νομοθετοῦσαν ἀρχὴν φυλάττειν τοὺς καθεστῶτας νόμους, ἵνα καὶ σύμφωνος τοῖς λοιποῖς μέλεσι τοῦ πολιτικοῦ σώματος εὑρίσκηται, καὶ μὴ τοὺς ἄλλους σκανδαλίζῃ, καὶ εἰς τὴν κοινὴν εὐδαιμονίαν συντελῇ. Δῆλος γὰρ, ὡς ὅσῳ μᾶλλον ἡ νομοθετικὴ ἀρχὴ τὰς ἐντολὰς τῶν νόμων ἀθετεῖ, τοσούτῳ ἀναγκαίως καὶ τὸ σέβας καὶ τὴν τιμὴν καὶ τὴν ἀγάπην ἀφαιρεῖται τῶν ἰδίων ὑπηκόων, καὶ οὐκ ἄν ποτε δυνηθείη οὕτως ἔχουσα, καί

Digitized by Google

τοι ἰσχυρὰ, κατορθῶσαι καὶ προαγαγεῖν, ὅσον ἔδει, τὸ ἀγαθόν. Φιλεῖ γὰρ ἀεὶ τὸ ὑπήκοον ἐξομοιοῦσθαι τοῖς ἄρχουσι.

Καὶ τὰ σιγῇ δὲ εἰσαχθέντα καὶ διὰ τοῦ χρόνου κατισχύσαντα ἔθιμα ἰσχὺν νόμου λαμβάνουσι, ά, εἰ καὶ νομίμως εἰσήχθη, β', εἰ τίμια, γ', εἰ πρὸς τὴν κοινὴν εὐδαιμονίαν συμβάλλεται. Καὶ νομίμως μὲν εἰσάγονται, ὅταν μὴ μετὰ βίας ἢ δόλου ἐκ τῆς ἀρχῆς ἢ τῶν ἀρχομένων εὑρίσκωνται παραδεδεγμένα. Τίμια δὲ, ἐὰν μηδεμία τῶν ἠθικῶν ἐντολῶν ἀθετῆται δι' αὐτῶν πρὸς ζημίαν τινῶν. Συντελεστικὰ δὲ τέλος εἰς εὐδαιμονίαν, ἐὰν μὴ ἐπαχθές τι καὶ βίαιον ἐξ αὐτῶν ἀποβαίνῃ εἴς τινα τῶν τῆς κοινωνίας μελῶν, πρὸς χάριν ἄλλων τινῶν. Καὶ οὕτω μὲν ἔχον τὸ ἔθιμον, εἰκότως ὡς ἐντολὴ νόμου θεωρεῖται, καὶ ἀναγκαῖον διατηρεῖσθαι. « Οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην » λέγει ὁ Σωτὴρ ἡμῶν (α)· ἄλλως δὲ, κἂν αἰῶνας ὅλους διαμένῃ, οὐδέποτ' ἂν ὡς ἐντολὴ νομισθείη· τὸ γὰρ μῆκος τοῦ χρόνου οὐδέποτε ἰσχύει τὸ ἄδικον καὶ κακὸν εἰς δίκαιον ἢ ἀγαθὸν μεταβαλεῖν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ καθηκόντων.

§. 28. *Ὅρος τοῦ καθήκοντος καὶ διαίρεσις καθολικὴ.*

Πᾶς ἠθικὸς νόμος εἰς τὴν τῶν ἀνθρωπίνων πράξεων διόρθωσιν ἀφορᾷ, καὶ ταύτην προτίθεται σκοπὸν ἄμεσον, ἔμμεσον δὲ καὶ ἀπωτέρω, τὴν τοῦ ἀνθρώπου ἠθικὴν τελειότητα καὶ τὴν ὑψίστην μακαριότητα. Περιέχει δὲ, ὡς εἴρηται, (β') ά, ἐντολὴν τοῦ πράττειν τι ἢ τοῦ ἀπέχειν ἀπό τινος· β', ἀπαίτησιν τοῦ πληροῦσθαι

(α) Ματθ. γ'. 15.
(β) Ἰδὲ §. 14.

Digitized by Google

τὴν δοθεῖσαν ἐντολὴν, καὶ γ', αἴτιον ἰσχυρὸν πρὸς τὴν ἐκπλήρωσιν αὐτῆς. Πᾶν τοίνυν τὸ ὑπὸ τοῦ ἠθικοῦ νόμου παραγγελλόμενόν ἐστι τὸ πραγματικὸν καθῆκον. Διττῶν δὲ οὐσῶν τῶν τοῦ νόμου ἐντολῶν, τῶν μὲν προστακτικῶν τοῦ πρακτέου, τῶν δὲ ἀπαγορευτικῶν τοῦ μὴ πρακτέου, διττὰ καὶ τὰ καθήκοντα ἐξ ἀρχῆς ἐλογίσθησαν, διαιρεθέντα εἰς καθήκοντα θετικὰ, καὶ εἰς καθήκοντα ἀποφατικὰ, τὰ μὲν ὡς ἐντολὴ τοῦ νόμου, ἵνα πράττηταί τι, τὰ δὲ ὡς ἐντολὴ νόμου τοῦ μὴ πράττειν τι. Ἡ διαίρεσις αὕτη καθολικὴ οὖσα, καὶ ἐπὶ πάσης ἄλλης ὑποδιαιρέσεως ἰσχύει. Καὶ τῶν μὲν θετικῶν καθηκόντων ἡ ἐκτέλεσις ὀφείλεται, ἅμα τοῦ καιροῦ καὶ τῆς δυνάμεως δοθέντων· τούτων δ' ἀπόντων, αἴρεται πᾶσα ὀφειλή· ἀδύνατον γὰρ ὂν χωρὶς τούτων ἐκτελεσθῆναι, οὐδεὶς ὀφειλέτης φαίνεται ἐπὶ τοῖς ἀδυνάτοις. Τῶν δὲ ἀποφατικῶν ἡ τῆς ἐκτελέσεως ὀφειλὴ εἰς ἀεὶ διαμένει, καίτοι οὐκ ἀπολύτως οὐδ' ἄνευ ἐξαιρέσεως καὶ αὕτη, ὡς κατωτέρω δειχθήσεται.

§ 29. *Ὑποδιαίρεσις τῶν καθηκόντων.*

Πᾶν ἐν γένει καθῆκον, ἢ ἀπόλυτόν ἐστιν, ἢ σχετικὸν, θεωρούμενον ἐκ τῆς γενέσεως αὐτοῦ. Ἀπόλυτον μὲν, ἐὰν ἐκ τῆς σχέσεως ἡμῶν τῆς πρὸς τὸν Θεὸν καὶ τῆς πρὸς τὸν πλησίον πηγάζῃ· σχετικὸν δὲ, ἐὰν ἐκ σχέσεων κατ' ἰδίαν προαίρεσιν συνισταμένων, ὅπερ, καὶ διαλυομένων ἢ μεταβαλλομένων ἐκείνων, συμμεταβάλλεται καὶ αὐτό· οἷον « Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς, ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστίν κ. τ. λ. » (α).

Διαιροῦνται δὲ καὶ κατὰ τὸ πρόσωπον, εἰς ὃ ἀναφέρονται, οὕτως, οἷον, ά, καθήκοντα πρὸς τὸν Θεὸν, β', καθήκοντα πρὸς ἑαυτὸν, καὶ γ', καθήκοντα πρὸς τὸ ὁμό-

(α) Α'. Κορινθ. ζ'. 39.

Digitized by Google

φυλον. Τὰ τρία ταῦτα Θεὸς, ἄνθρωπος ἐν ἡμῖν αὐτοῖς, καὶ ἄνθρωπος ἐκτὸς ἡμῶν ἐν τῇ τοῦ ὁμοφύλου ὑποστάσει, περιλαμβάνουσι πάντα τὰ τοῦ ἀνθρώπου καθήκοντα, μηδεμιᾶς ἄλλης δεόμενα διαιρέσεως. Μόνα δὲ τὰ πρὸς τὸ ὁμόφυλον καθήκοντα διαιρεθεῖεν ἂν ἔτι εἰς ὡρισμένα καὶ εἰς ἀόριστα, ἤ, ὅπερ ταυτόν ἐστιν, εἰς τὰ τῆς δικαιοσύνης, καὶ εἰς τὰ τῆς φιλανθρωπίας. Ἡ δὲ διαίρεσις αὕτη γεννᾶται ἐκ τῆς ἰδιότητος τῶν πρακτέων ἢ μὴ πρακτέων ἡμῖν πρὸς τὸ ὁμόφυλον, ἵνα ἡ πρὸς αὐτὸ σχέσις ἡμῶν διατηρηθῇ. Ἐπεὶ δὲ τὰ ὡρισμένα καθήκοντα ὡρισμένον ἔχουσιν ἐκπληρώσεως μέτρον, τὰ δὲ ἀόριστα, ἀόριστον, διὰ τοῦτο ἐκεῖνα μὲν καὶ ἀναγκαῖα καλοῦνται, καὶ τῇ βίᾳ ὑπόκεινται, ὅταν ὁ ὀφείλων ἐκπληρῶσαι αὐτὰ μὴ βούληται· ταῦτα δὲ οὐδαμῶς ἐκβιάζεσθαι πέφυκεν· οὐ γάρ τι ὡρισμένον ἔχουσιν, ἀλλὰ τῇ ἑκάστου συνειδήσει ἀφίενται, καὶ καθήκοντα συνειδήσεως καλοῦνται, καὶ μόνῳ τῷ καρδιογνώστῃ Θεῷ δώσει ἕκαστος τὰς περὶ τούτων εὐθύνας. Εἰ δέ τις διὰ τοῦτο νομίζει, ὡς ἧττον ὀφειλέτης τῆς ἐκτελέσεως αὐτῶν ἐστιν, ἀκουσάτω μετ' ἐπιστασίας τοὺς περὶ αὐτῶν λόγους τοῦ Κυρίου ἐκ τοῦ εὐαγγελίου (α), ἐν οἷς περὶ μόνων τῶν τῆς συνειδήσεως καθηκόντων λέγεται. Οὐδὲν ἄρα ἐκ τῆς διακρίσεως ταύτης ἡ ὀφειλὴ τῆς ἐκτελέσεως τῶν τῆς συνειδήσεως καθηκόντων ἐλαττοῦται, διὰ τὸ μὴ δύνασθαι ταῦτα ὑπὸ τῶν ἀνθρωπίνων δικαστηρίων ἐκβιασθῆναι. Ἐνώπιον γὰρ τοῦ καρδιογνώστου κριτοῦ ἴση καὶ ἡ αὐτὴ ἐπ' ἀμφοτέροις ἀπόκειται εὐθύνη. Διὸ λέγει ἡ θεία Γραφή· « Ὅστις ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος κ. τ. λ. (β).

(α) Ματθ. κέ. 31—36.
(β) Ἐπιστ. Ἰακώβου ϛ'. 10—11.

Digitized by Google

§. 30. *Περὶ διακρίσεως τῶν καθηκόντων.*

Τῶν ἀνθρωπίνων καθηκόντων τὰ μέν εἰσι μᾶλλον, τὰ δὲ ἧττον σπουδαῖα, καὶ διακρίνονται ά, ἐκ τοῦ ἰδίου τρόπου, καθ' ὃν ἡ ἐκπλήρωσις αὐτῶν ἀπαιτεῖται· β'. ἐκ τῆς ἰδιότητος τοῦ ἀπαιτουμένου, καὶ γ', ἐκ τοῦ ἀριθμοῦ καὶ τῆς χρείας καὶ τῆς ἀξιομισθίας τῶν, πρὸς οὓς ἀφορᾷ τὸ ἐκ τοῦ καθήκοντος γινόμενον. Ὅσῳ μὲν γὰρ σπουδαιότερόν τε καὶ αὐστηρότερον ἀπαιτεῖταί τι παρ' ἡμῶν, τοσούτῳ καὶ τὸ καθῆκον τοῦ ποιεῖν τὸ ἀπαιτούμενον σπουδαιότερόν τε καὶ ἱερώτερον, μᾶλλον δὲ καὶ ἀπαραίτητον κρίνεται, εἰ δὲ μὴ, δικαίως ἄν τις ἡγήσαιτο σπουδῇ χαριεντίζεσθαι τὴν νομοθετοῦσαν ἀρχὴν, ὅπερ ἄτοπον. Οἷον τὸ « ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε » (α)· καὶ τὸ « ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αἷμα αὐτοῦ ἐκχυθήσεται » (β), τῷ σπουδαίῳ τῆς ἀπαιτήσεως τρανώτατα δηλοῖ καὶ τὸ τοῦ καθήκοντος σπουδαῖον. Οὕτω καὶ ἡ τοῦ ἀπαιτουμένου ἰδιότης· ὅσῳ γὰρ τὸ ἀπαιτούμενον, ἢ ἀπαγορευόμενον ἔχεται μᾶλλον τῆς ἡμετέρας σχέσεως τῆς πρὸς τὸν Θεὸν καὶ τῆς πρὸς τὸν πλησίον, καὶ τῆς αὐξήσεως καὶ συντηρήσεως αὐτῆς, ἢ ἀντίκειται μᾶλλον καὶ διαρρήγνυσιν αὐτὴν, τοσούτῳ καὶ τὸ καθῆκον τοῦ ἐκτελέσαι τὸ ἀπαιτούμενον, ἢ φυγεῖν τὸ κωλυόμενον, σπουδαιότερον καὶ μείζονος λόγου ἄξιον ἀποβαίνει. Ἔτι δὲ καὶ τὸ ἐκ τῆς ἐκτελέσεως τοῦ καθήκοντος προσγινόμενον ἀγαθὸν, ἢ ἀπωθούμενον κακὸν, ὅσῳ ἂν ὦσι ταῦτα μείζονα καὶ σπουδαιότερα, τοσούτῳ καὶ τὸ καθῆκον. Ἀλλὰ καὶ ὁ ἀριθμὸς, καὶ ἡ χρεία, καὶ ἡ ἀξία τῶν προσώπων, εἰς ἃ τὸ ἐκ τῆς ἐκτελέσεως τοῦ καθήκοντος γινόμενον ἀναφέρεται, διακρίνει πολλάκις τὸ σπουδαῖον καὶ ὑπεροχι-

(α) Γενέσ. β'. 17.
(β) Γενέσ. θ'. 6.

Digitized by Google

κὸν τοῦ καθήκοντος. Οἷον τὰ πρὸς τὸν Θεὸν καθήκοντα σπουδαιότατα πάντων τῶν ἄλλων εἰσὶ, μετὰ δὲ ταῦτα ἔπονται τὰ πρὸς ἡμᾶς αὐτοὺς, καὶ τρίτον τὰ πρὸς τὸν πλησίον, ἐφ' ὅσον δηλονότι τυγχάνουσιν ἐξ ἴσου πάντα σπουδαῖα. Καὶ δικαίως μὲν κατὰ πᾶσαν ἡμῶν πρᾶξιν ὀφείλομεν ἀποβλέπειν πρῶτον εἰς τὸν Θεόν· αὐτὸς γάρ ἐστι τὸ ὕψιστον καὶ κράτιστον Ὄν, καὶ ἡ ἀρχικὴ πηγὴ, ἐξ ἧς πᾶν τὸ ἐν ἀνθρώποις ἀγαθὸν προῤῥέει· αὐτῷ ἄρα πρέπει καὶ ἡ παρὰ πάντων τῶν λογικῶν κτισμάτων πρώτη καὶ μεγίστη τιμὴ καὶ ἀγάπη καὶ θεραπεία. Ἐκ τούτου καὶ ἡ θεία ἐντολὴ « Ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου » (α), καλεῖται πρώτη καὶ μεγάλη ἐντολή. Εἶτα δὲ καὶ πρὸς τὸν ἄνθρωπον, ὡς εἰκόνα τοῦ Θεοῦ ζῶσαν, εἰ καὶ μήπω ἐνεργείᾳ, ἀλλά γε δυνάμει καὶ τῇ εἰς αὐτὸ αὐτοῦ κλήσει· διὸ καὶ ἡ ἐντολὴ « Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν » καλεῖται δευτέρα ὁμοία τῇ πρώτῃ. Δεῖ δὲ πρῶτον ἐν ἡμῖν αὐτοῖς ἀγαπᾶν καὶ τιμᾶν τὴν θείαν εἰκόνα καὶ τὴν ὑψηλὴν ἀξίαν τοῦ ἀνθρώπου καὶ τὴν κλῆσιν, καὶ προσηκόντως χρῆσθαι, εἶτα δὲ καὶ ἐν τῷ πλησίον. Ἔχουσι δὲ καὶ τὰ πρὸς τὸν πλησίον καθήκοντα ἐξαίρετόν τι. Πολλάκις γὰρ ἡ ἐκτέλεσις καθήκοντός τινος εἰς πλείους τῶν πλησίον ἡμῶν φέρει τὴν ὠφέλειαν. Ὅσῳ πλείους ἄρα εἰσὶν οἱ ὠφελούμενοι, καὶ ὅσῳ μείζονος ἀξίας τὸ γινόμενον αὐτοῖς ἀγαθὸν, τοσούτῳ σπουδαιότερον καὶ τὸ καθῆκον τοῦ ἐκτελέσαι τὴν ἐντολὴν, ὥσπερ καὶ τοὐναντίον, ὅσῳ πλείους εἰσὶν οἱ ἔκ τινος ἀπηγορευμένης πράξεως βλαπτόμενοι, καὶ ὅσῳ μεῖζον καὶ βλαβερώτερον τὸ ἐξ αὐτῆς κακὸν, τοσούτῳ πάλιν καὶ τὸ καθῆκον τοῦ ἀπέχειν αὐτῆς σπουδαιότερον. Οὕτω δὲ καὶ ἡ χρεία καὶ ἡ ἀξία τῶν, πρὸς

(α) Ματθ. κβ'. 31.

Digitized by Google

οὗς ἡ ἐκτέλεσις τοῦ καθήκοντος ἀφορᾷ· ὅσῳ γὰρ μείζων καὶ δεινοτέρα ἡ χρεία, ὁ δὲ καιρὸς καὶ ὁ τρόπος οὐχ ἥκιστα εἰς τὸ ποιῆσαι τὴν τοῦ καθήκοντος ἀπαίτησιν συμβάλλεται, τοσούτῳ καὶ τὸ καθῆκον μεῖζον καὶ σπουδαιότερον. Καὶ οὕτω μὲν ἐκτιμᾶται καὶ διακρίνεται τὸ σπουδαῖον καὶ ὑπεροχικὸν ἑκάστου καθήκοντος.

Σημειωτέον δὲ ά, ὡς οὐδὲ τὸ ἐλάχιστον τοῦ ἀνθρωπίνου βίου μόριον εὑρεθείη ἂν καθήκοντος ἄμοιρον. Εἰ γὰρ μὴ καιρὸς πράττειν τι πρὸς τὸν Θεὸν, ἔστιν ἀεὶ καιρὸς τοῦ πράττειν τι πρὸς τὴν ἀνθρωπότητα, κἂν δὲ μὴ ἔχῃ τις θετικὸν καθῆκον ἐκπληρῶσαι, τάγε ἀποφατικὰ καθήκοντα οὐδέποτε οὐδαμοῦ ἐκλείπει οὔτε καιρὸς οὔτε δύναμις τοῦ ἐκτελεῖν· καὶ γὰρ καὶ ἡ τοῦ κακοῦ φυγὴ ἐπ' ἀγαθῷ γινομένη, καθήκοντός ἐστιν ἐκπλήρωσις.

Ἔτι δὲ β', πολλῶν καθηκόντων ἡ ἐκπλήρωσις γενναιότητος δεῖται καὶ αὐστηρότητος πρὸς τὸ αἰσθητικὸν, καὶ χρήσεως τῆς ἡμετέρας περιουσίας καὶ τῶν δυνάμεων, καὶ ἄλλων θυσιῶν κ. λ. Ἀλλ' ὅσῳ μείζω τὰ ἀπαιτούμενα, καὶ ὁ σκοπὸς τῆς πράξεως γενναιότερος, τοσούτῳ καὶ ἡ τοῦ πράττοντος ἀξία μείζων καὶ ὑψηλοτέρα.

§. 31. *Περὶ αἱρέσεως τῶν καθηκόντων, ἐπειδὰν ἀλλήλοις συμπίπτωσι.*

Τοῦ ἀνθρώπου ἓν μόνον ἔργον ἐν ἑνὶ χρόνῳ δυναμένου ποιεῖν, οὐκ ἄν ποτε διάφορα συμπέσειαν καθήκοντα, ὥστε πολλὰ δεῖν ἅμα πραχθῆναι. Εἰ δέ ποτε τοιοῦτό τι συμβαίνει, αἱρετέον τὴν τοῦ σπουδαιοτέρου καὶ μᾶλλον κατεπείγοντος ἐκτέλεσιν, τοῦ δ' ἧττον σπουδαίου καὶ κατεπείγοντος εἰς ἄλλον καιρὸν ὑπερτιθέσθω. Ἵνα δὲ ἡ αἵρεσις ὀρθῶς γίνηται, ἐξεταστέον πρότερον ἐπιμελῶς τὴν σπουδαιότητα τοῦ πράγματος, καὶ ἀπροκαταλήπτως, ἀλλὰ καὶ χωρὶς

Digitized by Google

ἀγωνίας ἢ ἐπισπεύσεως μεγάλης. Εἰ δέ τις ὅλως ἀμηχανεῖ, καὶ οὐ δύναται διαγνῶναι τὸ σπουδαιότερον καὶ αἱρετώτερον, συμβουλευέσθω τοῖς ἐμπειροτέροις τε καὶ συνετωτέροις.

§. 32. *Περὶ τοῦ δικαιώματος.*

Ὁ τοῦ δικαιώματος ὅρος ἀντιθέτως πως ἔχει πρὸς τὸν τοῦ καθήκοντος· τὸ μὲν γὰρ, ὡς εἴρηται, ἡ ἐκ τῆς ἐντολῆς νόμου γεννωμένη ἠθικὴ ὀφειλή ἐστι τοῦ πρᾶξαί τι ἢ ἀπέχεσθαί τινος· τὸ δὲ δικαίωμά ἐστιν ἀκώλυτος ἐξουσία τοῦ πράττειν ἢ ἀφιέναι τι, μηδεμιᾶς ἰδίας ἐντολῆς προϋποχρεούσης εἰς τοῦτο. Ὁρίζεται μέντοι καὶ αὕτη ὁρίοις τισὶν, ἅτινα οὐδαμῶς ὑπερβαίνειν χρή. Τοιαύτης γὰρ καὶ ἴσης προσούσης ἑκάστῳ ἀκωλύτου ἐξουσίας, δύναμαι τῇ ἐμαυτοῦ ἐξουσία χρῆσθαι κατὰ τὸ δοκοῦν, ἐφ' ὅσον οὐ προσβάλλει τὴν τοῦ ἑτέρου, οὐδὲ κωλύει τὴν ἐκείνου ἐνέργειαν ἐπὶ τῇ αὐτοῦ ζημίᾳ.

Εἰσὶ δὲ καὶ τὰ δικαιώματα οὕτω ποικίλα, ὥσπερ καὶ τὰ καθήκοντα, διότι καὶ ταῦτα εἰς ἀπόλυτα καὶ εἰς σχετικὰ διαιροῦνται, καὶ τὰ μὲν ἀπόλυτα καὶ φυσικὰ καλοῦνται, τὰ δὲ σχετικὰ ἐπίκτητα· δηλοῖ δὲ ἡ διαίρεσις αὕτη τὴν πηγὴν, ἐξ ἧς τὰ δικαιώματα ταῦτα πηγάζουσι. Διαιροῦνται δ' ἔτι καὶ ἐκ τοῦ, περὶ ὃ στρέφονται, εἰς προσωπικὰ καὶ εἰς πραγματικὰ, καὶ ἔτι εἰς ὡρισμένα καὶ εἰς ἀόριστα. Καὶ τὰ μὲν ὡρισμένα συνεπάγονται τὴν ἐξουσίαν τοῦ ἀνθίστασθαι βιαίως τοῖς βλάπτειν ἢ κολούειν ταῦτα βουλομένοις, τὰ δ' ἀόριστα οὐδαμῶς. Καὶ τὰ μὲν φυσικὰ δικαιώματά εἰσιν ἐν πᾶσιν ἴσα καὶ τὰ αὐτά· ἴσοι γὰρ ἀρχῆθεν πάντες ἄνθρωποι ἀλλήλοις τῇ τε ἀξίᾳ καὶ τῷ προορισμῷ, οἷς ταῦτα ἐπερείδονται· τὰ δὲ ἐπίκτητα, οὕτω διάφορα καὶ ἄνισα, ὡς ἕκαστοι καὶ αἱ αὐτῶν σχέσεις, ἐφ' αἷς θεμελιοῦνται.

Digitized by Google

§. 33. *Περὶ τῆς χρήσεως τῶν δικαιωμάτων.*

Ἐπεὶ δὲ πολλάκις τὰ ἑκάστου δικαιώματα συμπίπτειν τε καὶ συγκρούεσθαι ἀλλήλοις συμβαίνει, ἑπόμενον ἂν εἴη συμβαίνειν ἐκ τούτου τοῖς ἀνθρώποις, εἰ μή τινα ὅρια αὐτοῖς ἐτίθεντο, πολέμους καὶ ἀλληλομαχίας διηνεκεῖς, ἐν αἷς ὁ ἰσχυρότερος κατακτῷτο ἂν ἀεὶ μεῖζον τὸ δικαίωμα ἐπὶ τοῦ ἀσθενεστέρου, ὥστε καὶ κατὰ κράτος ἐξουθενῆσαι αὐτὸν, ὅπερ ἐναντίον τῇ πρὸς τὸν Θεὸν καὶ τῇ πρὸς τὸ ὁμόφυλον σχέσει ὁμολογεῖται. Ὅπως οὖν μὴ τοῦτο γένηται, ὁρίζονται τὰ δικαιώματα ἢ ἐξ ἀμοιβαίας συμφωνίας, ἢ ἐκ τῆς νομοθετικῆς ἀρχῆς. Ἐπεὶ δ' ἡ ἀμοιβαία συμφωνία ῥᾳδίως διὰ τὴν πολλῶν μοχθηρίαν διαλύοιτ' ἄν, εἰ μή τις ὑπερτέρα δύναμις ἀμύνοιτο ὑπὲρ αὐτῆς, ἀναγκαῖον ἔν γε τοῖς σπουδαιοτέροις, ὑπὸ τῆς ὑπερτέρας ἐξουσίας προστατεύεσθαι. Τοῖς ὁποτέρως οὖν τεθεῖσιν ὁρίοις τῶν δικαιωμάτων ἐμμένειν πάντα τινὰ ἀναγκαῖον, καὶ μηδέποτε ἐξ ἰδιοτελείας ὑπεράλλεσθαι. Ἄλλως γὰρ ἡ πρᾶξις ἐναντία ἔσται τῷ πραγματικῷ δικαιώματι, καὶ ὁ πράττων οὕτω ἢ τῇ ἀμοιβαίᾳ συμφωνίᾳ φαίνεται ἄπιστος, ἢ τῆς νομοθετικῆς ἀρχῆς καταφρονητὴς, καὶ ἐφ' ἑκατέροις ἀξιόποινος καθίσταται κατὰ τὴν τῆς πράξεως σπουδαιότητα. Διττῶς δὲ γένοιτ' ἂν καὶ ἡ ὑπέρβασις, ἢ δόλῳ, ἢ βίᾳ, καὶ ἡ μὲν δόλῳ πραττομένη, ἀδικία καλεῖται, ἡ δὲ βίᾳ, κακούργημα, καὶ κακοῦργος ὁ πράξας, ὁ δὲ παθὼν, ἠδικημένος καὶ βεβλαμμένος.

§. 34. *Ὅρος τῆς δικαιοσύνης καὶ τῆς ἀδικίας.*

Τῷ μὲν ἐντὸς τῶν περιγεγραμμένων ὁρίων πράττοντι ὅ,τι καὶ ὅπως ἂν βούληται, οὐδεὶς ἀντιλέγειν δικαιοῦ-

Digitized by Google

ται· ὁ δὲ ὑπερβαίνων ταῦτα ἀδικεῖ, καὶ πάντως βλάπτει τινὰς δι' αὐτοῦ, ὅπερ ἀντίκειται τῇ πρὸς ἀλλήλους ἡμῶν σχέσει, ᾗ χρὴ διὰ παντὸς ἐμμένειν ὡς ἀδελφούς. Ἡ μὲν οὖν πρόθεσις καὶ σταθερὰ γνώμη τοῦ προσέχειν ἀεὶ τοῖς τοῦ πλησίον δικαιώμασιν, ἵνα μηδαμῶς πρὸς ἴδιον ὄφελος ἢ δι' ἔχθραν κολούῃ καὶ λυμαίνηται ταῦτα, δικαιοσύνη καλεῖται, καὶ δίκαιος ὁ οὕτω διάγων. Ἀδικία δ' ἐστὶν ἡ ταύτης ἐναντία γνώμη, καθ' ἣν μόνῳ τῷ ἰδίῳ κέρδει προσέχων, τῶν τοῦ πλησίον δικαιωμάτων ὀλιγωρεῖ. Καθάπερ οὖν τὰ δικαιώματα εἰς ὡρισμένα τε καὶ εἰς ἀόριστα διαιροῦνται, οὕτω καὶ ἡ δικαιοσύνη καὶ ἡ ἀδικία. Ἡ γὰρ περὶ μόνα τὰ ἀκριβῶς ὡρισμένα τοῦ πλησίον δικαιώματα στρέφεται, καὶ τούτοις προσέχει, ὅπως μὴ πρὸς ἴδιον ὄφελος ἢ πρὸς ἄλλο τι τέλος βλάψῃ πως ταῦτα, καὶ τότε ἐστὶ, κατὰ τὴν ὡρισμένην αὐτῆς ἔννοιαν, δικαιοσύνη, ἥτις καὶ πολιτικὴ δικαιοσύνη καλεῖται· ταύτην γὰρ μόνην ἡ πολιτικὴ ἀρχὴ ἀπαιτεῖ, καὶ τὸν ταύτην τηροῦντα δίκαιον νομίζει, τὰ δ' ἀόριστα δικαιώματα τῇ συνειδήσει ἑκάστου ἀφίησιν· ἢ καὶ αὐτὰ τὰ ἀόριστα ὡς ἱερώτατα θεωροῦσα σέβεται, καὶ οὐδαμῶς βλάπτειν ταῦτα βούλεται, καὶ τότε ἐστὶν ἡ λεγομένη καθολικὴ δικαιοσύνη, ἥτις καὶ χριστιανικὴ καλεῖται, διότι ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδίδαξεν, ὅτι ἐνώπιον τοῦ Θεοῦ οὐκ ἀρκεῖ μόνη ἡ τῶν ὡρισμένων δικαιωμάτων διατήρησις, ἀλλὰ καὶ ἡ τῶν ἀορίστων. Ὥστε δίκαιος, κατὰ τὴν αὐτοῦ θείαν διδασκαλίαν, δίκαιός ἐστιν ὁ πάντα τὰ δικαιώματα τοῦ πλησίον ὡρισμένα τε καὶ ἀόριστα ἐπίσης σεβόμενος καὶ τηρῶν, καὶ μηδὲν τούτων μηδαμῶς λυμαίνεσθαι στέργων. Πάντα μὲν οὖν τὰ εἰρημένα τὸ ἀποφατικὸν μόνον τῆς δικαιοσύνης παριστᾶσι, ὅπερ καὶ ὡς ἐν τύπῳ οὕτως ἂν λέγοιτο, « Τῶν ἀλλοτρίων ἀπέχεσθαι. » Ἔστι δ' αὐτῆς

Digitized by Google

καὶ θετικὸν τὸ « Τὸ οἰκεῖον ἑκάστῳ ἀπονέμειν. » Ἤγουν οὐκ ἀρκεῖ μόνον τὸ μὴ ἀφαιρεῖν τι τῶν τοῦ πλησίον, ἀλλὰ καὶ ἀποδιδόναι αὐτῷ προθύμως, ὅπερ αἰτεῖν παρ' ἡμῶν δικαιοῦται. Τὸ δὲ δικαίως παρ' ἡμῶν ἀπαιτούμενον εἴη ἂν, ἢ ἐκ δικαιώματός τινος, ἢ ἐκ γενομένης αὐτῷ παρ' ἡμῶν ζημίας. Ἐντεῦθεν καὶ ἡ τριττὴ τῆς δικαιοσύνης διαίρεσις εἰς συντηρητικὴν, τὴν τὰ ἀλλότρια τηροῦσαν καὶ μηδαμῶς αὐτῶν ἁπτομένην, εἰς ἀπονεμητικὴν, τὴν ἑκάστῳ τὸ οἰκεῖον ἀπονέμουσαν, καὶ εἰς ἀναπληρωτικὴν, τὴν ἐπί τινι βλάβῃ τῶν δικαιωμάτων ἀποζημιοῦσαν. Ἀλλὰ τὰ διάφορα ταῦτα μέρη οὐδὲν ἕτερον δηλοῦσιν οὐσιωδῶς, ἢ τὴν ποικίλην ἐνέργειαν μιᾶς καὶ τῆς αὐτῆς δικαιοσύνης, ἥτις ἐστὶν, ὡς εἴρηται, γνώμη σταθερὰ τοῦ τῶν ἀλλοτρίων ἀπέχεσθαι, καὶ ἀπονέμειν τὸ οἰκεῖον ἑκάστῳ, καὶ ἀναπληροῦν τὰς ὁπωσδήποτε γενομένας αὐτῷ παρ' ἡμῶν ζημίας.

§. 35. *Περὶ ἐπιεικείας καὶ αὐστηρότητος.*

Ἡ μὲν ἐπιείκεια παράκειται ὡς ἔγγιστα τῇ δικαιοσύνῃ, ἡ δ' αὐστηρότης τῇ ἀδικίᾳ. Ἐπιεικὴς μὲν γάρ ἐστι καὶ λέγεται ὁ κατὰ τὰς δικαίας αὐτοῦ ἀξιώσεις μέτριος καὶ μὴ ἀκριβοδίκαιος, καίπερ ἔχων τὸν νόμον βοηθὸν, ὥς φησιν Ἀριστοτέλης (α), ἀλλὰ συγκαταβατικὸς πρὸς τὴν ἀνθρωπίνην ἀσθένειαν. Εὐλόγως ἄρα ἡ ἐπιείκεια καὶ φειδὼ τῆς ἀνθρωπίνης ἀσθενείας λέγοιτ'

(α) Αὕτη ἐστὶν ἡ τοῦ ἐπιεικοῦς φύσις, ἐπανόρθωμα νόμου, ᾗ ἐλλείπει διὰ τὸ καθόλου . . . . Καὶ ἐπιεικὴς δὲ ὁ τῶν τοιούτων προαιρετικὸς καὶ πρακτικὸς, καὶ ὁ μὴ ἀκριβοδίκαιος ἐπὶ τὸ χεῖρον, ἀλλ' ἐλλαττωτικὸς, καίπερ ἔχων τὸν νόμον βοηθὸν, ἐπιεικής ἐστι, καὶ ἡ ἕξις αὕτη ἐπιείκεια, δικαιοσύνη τις οὖσα, καὶ οὐχ ἑτέρα τις ἕξις. Ἀριστοτέλ. Εὐδημ. βιβλ. δ'. κεφ. ἡ.

Digitized by Google

ἂν, ὅπου οὐκ ἂν ἄνευ ἀπηνείας τε καὶ καταπιέσεως τοῦ πλησίον τὸ ἀκριβῶς δίκαιον ἀπαιτοῖτο. Αὐστηρότης δ' ἐςὶν ἡ τοῦ δικαίου ἀπαραίτητος ἀπαίτησις, μηδόλως τὴν ἀνθρωπίνην ἀσθένειαν λογιζομένη. Διὸ καὶ ἀσπλαγχνία τίς ἐστιν ἡ ἀπανθρωπία. Ὥσπερ δὲ ἐπιεικής ἐστιν οὐ μόνον ὁ μὴ ἀκριβοδίκαιος, ἀλλ' ἐλαττωτικὸς τῶν κατὰ νόμον δικαίων, ἔνθα ἂν ἔχοι λαμβάνειν τι, ἀλλὰ καὶ ὁ πλέον τι τοῦ ὀφειλομένου διδοὺς ἐν τῇ ἀποδόσει τοῦ ὀφλήματος, ἀφορῶν ἀεὶ πρὸς τὴν τοῦ πλησίον ἀσθένειαν, οὕτω καὶ αὐστηρὸς καὶ ἀνεπιεικὴς οὐ μόνον ὁ τῶν κατὰ νόμον δικαίων αὐστηρὸς ἀπαιτητὴς, οὐδένα λόγον τῆς ἀνθρωπίνης ἀσθενείας ποιούμενος, ἀλλὰ καὶ ὁ δόλῳ ἢ τεχνάσμασιν ἀφαιρούμενος ἀεί τι, ὧν ἀποδοῦναι ὀφείλει. Οὕτως οὖν καὶ ἡ ἐπιείκεια θεωρουμένη εὑρίσκεται, περὶ μὲν ἃ δικαιοῦταί τις παρὰ τῶν ἄλλων αἰτεῖν, συγκατάβασις μετὰ συνέσεως, ἵνα μὴ ἡ νωθρία ἢ ἄλλη τις κακία ἐκ τῆς συγκαταβάσεως ὑποθάλπηται, περὶ ἃ δὲ ἀποδοῦναι ὀφείλει, ἀπόδοσις μετ' ἐλευθεριότητος. Ἡ δὲ ἀντίθετος αὐτῇ αὐστηρότης, οὕτω θεωρουμένη, ἐστὶν, ἐν οἷς μὲν δικαιοῦταί τις παρὰ τῶν ἄλλων αἰτεῖν, ἀκρίβεια ἀπαραίτητος, ἐν οἷς δ' ὀφείλει ἀποδοῦναι, γλισχρότης καὶ μικρολογία μετὰ δόλου, ἵνα ἀφέληταί τι, μηδὲν λογιζομένη τὴν τοῦ πλησίον ἀσθένειαν.

§. 36. *Περὶ τοῦ πῶς ἔχειν δεῖ τὴν δικαιοσύνην καὶ τὴν ἐπιείκειαν πρὸς ἀλλήλας.*

Τὴν ἐπιείκειαν δεῖ συμπαρομαρτεῖν ἀεὶ τῇ δικαιοσύνῃ, καὶ ἠπιόχειρα ταύτην ἀποδεικνῦναι ἐν πᾶσιν, ἅτινα ἢ αἰτεῖν δικαιούμεθα, ἢ ἀποδοῦναι ὀφείλομεν. Οὐδὲν γὰρ ἐν τοῖς ἀδελφοῖς προσήκει τὴν τοῦ γράμματος

Digitized by Google

ἀκρίβειαν κρατεῖν, ἀλλὰ τὸ ἐπιεικὲς καὶ ἐλευθέριον, εἰ δέ πού τινες τὴν ἀδελφικὴν σχέσιν ὅλως ἀποποιοῦνται, ἢ καὶ δοκοῦσιν, εὐγνωμόνων τυχόντες ἀπαιτητῶν, ἀποποιήσεσθαι ταύτην διανοεῖσθαι, οὐκ ἐπιεικείας οἱ τοιοῦτοι δέονται, ἀλλ᾽ αὐστηρότητος· καὶ ὅλως ὅπου ἂν ἡ ἐπιείκεια τὴν νωθρότητα μόνον, ἢ ἄλλην τινὰ κακίαν ὑποθάλψειν δοκῇ, ἐκεῖ ἀπαραιτήτως ἀκριβολογείσθω τὸ δίκαιον. Ἐπίσης γὰρ καὶ τὸ ἄγαν ἐπιεικὲς, ὥσπερ καὶ τὸ ἄγαν αὐστηρὸν γένοιτ᾽ ἂν τῆς ἀδελφικῆς σχέσεως καταστρεπτικὸν, τὸ μὲν τῇ ἐξ αὐτοῦ καταπιέσει, τὸ δὲ τῇ δι᾽ αὐτοῦ ὑποθαλπομένῃ νωθρίᾳ. Διὸ καὶ ἐν τούτοις φυλακτέον τὸ ἀναγκαῖον μέτρον, ὅπερ ἀεὶ τὰ πράγματα δεικνύουσιν.

§. 37. *Περὶ τῆς σχέσεως τῶν δικαιωμάτων πρὸς τὰ καθήκοντα.*

Τὰ δικαιώματα καὶ τὰ καθήκοντα οὕτως ἔχονται ἀλλήλων, ὥστε οὐδέτερον χωρὶς τοῦ ἑτέρου ἐννοεῖται. Ὅπου μὲν γάρ μοι καθήκει ποιῆσαί τι, ἐκεῖ ἕτερος δικαιοῦται αἰτεῖν παρ᾽ ἐμοῦ τὴν τοῦ καθήκοντος ἐκτέλεσιν, ὅπου δ᾽ ἐγὼ αἰτεῖν τι παρὰ τῶν ἄλλων δικαιοῦμαι, ἐκεῖ καθῆκον αὐτοῖς παρέχειν μοι τὸ ἀπαιτούμενον. Οὕτω δ᾽ ἔχονται ἀλλήλων τὰ δικαιώματα καὶ τὰ καθήκοντα, ὥσθ᾽ ἑκάστῳ μὲν τῶν καθηκόντων καὶ δικαίωμα ὁμοειδὲς ἀντιπαράκειται, ἑκάστῳ δὲ τῶν δικαιωμάτων καὶ ὁμοειδές τι καθῆκον, οἷον

τῷ μὲν ἀπολύτῳ καθήκοντι,	τὸ ἀπόλυτον δικαίωμα,
τῷ δὲ σχετικῷ καθήκοντι,	τὸ σχετικὸν δικαίωμα,
τῷ δὲ ἀκριβῶς ὡρισμένῳ καθήκοντι,	τὸ ἀκριβῶς ὡρισμένον δικαίωμα,
καὶ τῷ ἀορίστῳ καθήκοντι καὶ τἀνάπαλιν,	τὸ ἀόριστον δικαίωμα,

Digitized by Google

τῷ μὲν ἀπολύτῳ δικαιώματι ἀντιπαράκειται τὸ ἀπόλυτον καθῆκον,

τῷ δὲ σχετικῷ δικαιώματι τὸ σχετικὸν καθῆκον, καὶ τὰ λοιπὰ ὡσαύτως. Μέγα δὲ τοῦτο καὶ ἐν τῇ πράξει πρὸς ἀνεύρεσιν τῶν διαφόρων δικαιωμάτων τε καὶ καθηκόντων συμβάλλεται· τοῦ γὰρ δικαιώματος γνωσθέντος, αὐτίκα καὶ τὸ ἀντιπαρακείμενον καθῆκον γινώσκεται ἀσφαλῶς, καὶ τἀνάπαλιν. Ἀναγκαία δὲ οὖσα ἡ εὕρεσις αὕτη πρός τε τὰ ἴδια καὶ πρὸς τὰ ἀλλότρια πράγματα, ἐσκεμμένως ἀεὶ ἐπιχειρητέα καὶ εὐσυνειδήτως καὶ ἐλευθέρως. Οὐ γὰρ περὶ μικρῶν ὁ λόγος, ἀλλὰ περὶ καθηκόντων, ἅτινα δεῖ ἀκριβῶς ἐκπληροῦν, καὶ περὶ δικαιωμάτων, ὧν οὐ θέμις ὀλιγωρεῖν. Ἐκ γὰρ τούτων ἀμφοτέρων διατηρεῖται καὶ ἀκήρατος μένει ἡ πρὸς ἀλλήλους σχέσις ἡμῶν ὡς ἀδελφῶν τε καὶ τέκνων ἑνὸς καὶ τοῦ αὐτοῦ οὐρανίου πατρός. Ἐὰν γὰρ ἅπασαν τὴν ἀνθρωπότητα, ὡς οἰκίαν μίαν, ἥπερ καί ἐστι, θεωρήσωμεν, οἰκοδεσπότην μὲν κοινὸν καὶ κεφαλὴν πάντων εὑρίσκομεν τὸν Θεὸν, μέλη δὲ ταύτης πάντας καὶ ἕκαστον τῶν ἀνθρώπων, διὸ καὶ ἀδελφοὶ ἀλλήλων ἐσμὲν, τὰ δὲ ἀμοιβαῖα καθήκοντά τε καὶ δικαιώματά εἰσιν οἱ ἀγαθοὶ δεσμοὶ οἱ τὸ ὅλον συνέχοντες ἀδιάῤῥηκτον. Ἐὰν οὖν μήτε τὰ καθήκοντα ἐκτελῶνται, μήτε τὰ δικαιώματα τηρῶνται προσηκόντως, πάσχει τὸ ὅλον ἐκ τῆς ἑκάστῳ γινομένης ἀδικίας, ἥτις προϊοῦσα φθείρει πάντα καὶ ἀπόλλυσιν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

§. 38. *Περὶ συνειδήσεως καὶ τῶν διαιρέσεων αὐτῆς.*

Συνείδησίς ἐστιν ἐνέργεια τοῦ ἀνθρωπίνου νοὸς, δι' ἧς

Digitized by Google

τὸ ἀγαθὸν ἢ τὸ κακὸν ἑκάστης πράξεως κρίνει. Καὶ εἰ μὲν πρὸ τῆς πράξεως ἡ κρίσις γίνεται, προηγουμένη συνείδησις λέγεται, εἰ δὲ μετὰ τὴν πρᾶξιν, ἑπομένη. Τὸ λογικὸν δηλονότι οὐδέποτε ἀργεῖ, οὔτ' ἀδιάφορον ἐν ταῖς πράξεσι τοῦ ἀνθρώπου μένει, ἀλλ' ἀεὶ κρίνει ἀδεκάστως, πρὸ μὲν τῆς πράξεως, νουθετοῦν καὶ δεικνύον τὸ τῆς πράξεως ἀγαθὸν ἢ κακὸν, μετὰ δὲ ταύτην ἐπιδοκιμάζον ἢ καὶ ἀποδοκιμάζον αὐτὴν κατὰ τὴν αὐτῆς τῆς πράξεως ἰδιότητα. Ἵνα δὲ ἡ τοιαύτη τοῦ νοὸς κρίσις ὀρθῶς γίνηται, ἀναγκαίως ἀπαιτοῦνται αἱ ἑπόμεναι γνώσεις, ἁ, ἡ τῶν καθολικῶν καὶ εἰδικῶν ἑκάστου σχέσεων, β', ἡ τῆς ἰδιότητος τῶν πεπραγμένων ἢ πραχθησομένων· ἐκ γὰρ τούτων φωτιζόμενος ὁ νοῦς, κρίνει ἀσφαλῶς· διὸ καὶ ὅσῳ ἀκριβέστεραί τε καὶ ἐναργέστεραι αὗται, τοσούτῳ καὶ ἡ τοῦ νοὸς κρίσις ὀρθοτέρα τε καὶ ἀσφαλεστέρα. Καλεῖται δὲ ἡ κρίσις αὕτη, φωνὴ τῆς συνειδήσεως, καὶ ἡ μὲν πρὸ τῆς πράξεως, παραινετικὴ, ἡ δὲ μετὰ τὴν πρᾶξιν, καταδικαστικὴ ἢ ἐπαινετικὴ, τοῦτο μὲν, εἰ ἡ πρᾶξις κατὰ τὴν παραίνεσιν τῆς συνειδήσεως ἐγένετο, ἐκεῖνο δὲ, εἰ τοὐναντίον. Καὶ τῇ μὲν ἐπαινετικῇ φωνῇ τῆς συνειδήσεως παρέπονται ἀεὶ αἰσθήματα ἡδέα, ἅτινα καλοῦνται παραμυθία τῆς ἀγαθῆς συνειδήσεως, ἀλγεινὰ δὲ τῇ καταδικαστικῇ, ἅτινα κοινῶς μὲν λέγονται ἔλεγχοι καὶ τύψεις τῆς συνειδήσεως, παρὰ δὲ τῇ θείᾳ Γραφῇ « σκώληξ ἀκοίμητος, πῦρ ἄσβεστον, » κτλ. Πολλάκις γὰρ μετὰ τὴν κακὴν πρᾶξιν ἐπανερχόμενα, ἀνύποιστα γίνονται καὶ ποθεινὸν τὸν θάνατον καθιστᾶσιν.

§. 39. Εἴθισταί τισι τῶν ἀρχαιοτέρων καὶ ἐπίθετα συνάπτειν τῇ συνειδήσει λέγοντας, συνείδησιν ἀσφαλῆ, συνείδησιν πιθανὴν, ἀμφίβολον καὶ ἀπατηλήν· ἀλλὰ ταῦτα τῇ φωνῇ μᾶλλον τῆς συνειδήσεως ἢ τῇ συνει-

Digitized by Google

δήσει αὐτῇ ἁρμόττουσι. Καὶ ἀσφαλὴς μὲν συνείδησις λέγεται, ἐπειδὰν οἱ λόγοι, δι' οὓς ὁ νοῦς κρίνει ἀγαθὴν ἢ κακὴν πρᾶξίν τινα, γινώσκωνται ἐναργῶς οὕτως, ὥστε τὸ ἐναντίον ἀδύνατον νομίζεται· πιθανὴ δὲ, ἐπειδὰν οἱ λόγοι οὗτοι ὥσι μὲν ἰσχυροὶ, οὐχὶ δὲ καὶ ἐντελῶς ἀποχρῶντες· ἀμφίβολος, ἐπειδὰν ὁ νοῦς μὴ τολμᾷ κρίνειν ὁριστικῶς ἢ δι' ἔλλειψιν λόγων ἀποχρώντων, ἢ διὰ τὴν παρουσίαν ἄλλων ἀντιῤῥόπων· ἀπατηλὴ δὲ τελευταῖον, ἐπειδὰν ὁ νοὺς ὑπάρχῃ προκατειλημμένος ἐκ τῆς στρεβλῆς θεωρίας τῶν λόγων, οὓς ὑπολαμβάνει μὲν ὀρθοὺς, οὐκ εἰσὶ δὲ τοιοῦτοι. Συμβαίνει δὲ ταῦτα δι' ἔλλειψιν τῆς πρὸς ὁδηγίαν ἀναγκαίας γνώσεως· διὰ γὰρ ταύτην ἢ οὐδόλως δύναται κρῖναι τὸ ἀγαθὸν ἢ κακὸν τῆς πράξεως, ἢ κακῶς ὑπολαμβάνει τοὺς λόγους τοῦ ἀγαθοῦ ἢ τοῦ κακοῦ, καὶ οὕτως ἡ κρίσις σφαλερὰ, ἢ ἄδικος ἀποβαίνει.

§. 40. Διαιρεῖται δὲ κυρίως ἡ συνείδησις, ὡς κρίσις τοῦ νοὸς περὶ τῆς ἀγαθότητος ἢ τῆς κακίας τῶν ὑφ' ἡμῶν πραττομένων, ἀ, εἰς συνείδησιν εὐλαβῆ, καθ' ἣν ἀεί τις πρὸ τῆς πράξεως ἐπιμελῶς ἐξερευνᾷ τὴν ταύτης ἠθικότητα, προτιθέμενος, ἵνα ταύτῃ τῇ κρίσει σταθερῶς ὕστερον ἐμμένῃ, καὶ μὴ μόνον ἐν τοῖς μεγάλοις, ἀλλὰ κἂν τοῖς μικροῖς δοκοῦσι τὴν ἀσφάλειαν ἄνευ μικρολογίας ζητῇ, καὶ μόνον περὶ τὴν εὐθύτητα τῶν πράξεων ἀσχολῆται· β', εἰς πλατεῖαν, ἐπειδάν τις ὀλίγον περὶ τοῦ ἀγαθοῦ ἢ κακοῦ τῶν πράξεων φροντίζῃ, προσέχῃ δὲ μόνον τῇ ἐξ αὐτῶν προσκαίρῳ ὠφελείᾳ, καὶ πᾶν ὅ,τι φέρει κέρδος τι, τοῦτο καὶ ἀγαθὸν καὶ δίκαιον νομίζῃ· γ'. εἰς περιδεᾶ, ἐπειδάν τις ἐκ τῆς ἄγαν δειλίας οὐδενὶ λόγῳ πείθηται, ἀλλὰ πανταχοῦ ἁμαρτάνειν νομίζῃ. Αἱ μὲν οὖν τοιαῦται διαιρέσεις οὐχ ὅλως ἄχρηστοί εἰσιν ἐν τῇ πράξει, ὡς δειχθήσεται ἑπομένως.

Digitized by Google

§. 41. *Κανόνες πρακτικοί.*

Α'. Μάνθανε ἐπιμελῶς τὰ πρὸς διάγνωσιν τῆς ἠθικότητος τῶν ἀνθρωπίνων πράξεων ἀναγκαῖα· ἢ πρὸ παντὸς ἔργου ζήτει σπουδαίως τοὺς περὶ τῆς ἀγαθότητος ἢ τῆς κακίας αὐτοῦ ἀποχρῶντας λόγους.

Β'. Ὅ,τι ἂν ἡ συνείδησις ὡς ἀγαθὸν δοκιμάζῃ μετὰ τὴν περὶ τούτου ἀκριβῆ σκέψιν, τοῦτο ἐπιμελῶς πράττε, τὸ δ' ὑπ' αὐτῆς ἀποδοκιμαζόμενον ὡς κακὸν φεῦγε.

Γ'. Μηδὲν μηδέποτε ἐναντίον τῆς συνειδήσεως πράξῃς. « Ἡ καύχησις ἡμῶν αὕτη ἐστίν, ἔλεγεν ὁ μακάριος Παῦλος, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ Θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ » (α). Καὶ ἀλλαχοῦ ὁ αὐτὸς ἀποφαίνεται. « Πᾶν ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστί » (β) ἤτοι τὸ μὴ ἐκ τῆς ἐνδομύχου πεποιθήσεως, ὅτι ἀγαθόν.

Ἐπεὶ δ', ὡς ἐκ τῶν εἰρημένων ἐδηλώθη, ἡ συνείδησις οὐδὲν ἄλλο ἐστὶν, ἢ ὁ περὶ τῆς ἠθικότητος τῶν πράξεων κρίνων νοῦς, ὅταν μὲν γὰρ εὑρίσκῃ τὴν πρᾶξιν ἁρμοδίαν τῇ πρὸς τὸν Θεὸν καὶ τῇ πρὸς τὸν πλησίον ἡμῶν σχέσει, ἀποφαίνεται ὅτι ἀγαθὴ, καὶ πρακτέα, ὅταν δὲ ἀνάρμοστον ἢ ἐναντίαν ταύτῃ, ὅτι κακὴ καὶ φευκτέα, προσεκτέον ἐστὶν ἐπιμελῶς τῇ τοιαύτῃ ὁρμῇ τῆς λογικῆς ἡμῶν φύσεως, ὅτι τοῦτό ἐστι τὸ πρώτιστον καὶ μέγιστον παντὸς λογικοῦ ἀνθρώπου καθῆκον, εἰ μὴ ἐξουθενῆσαι τὴν ἑαυτοῦ ἀξίαν βούλοιτο,

---

(α) Β'. Κορ. ά. 12.

(β) Ῥωμ. ιδ'. 23.

Digitized by Google

καὶ ἐπίτηδες ἀντιπράττειν τῇ ἑαυτοῦ ὑψηλῇ κλήσει. Θείας γὰρ δήπου οἰκονομίας τὸ οὕτω συμβαίνειν ἀεὶ ἐν τῷ ἀνθρώπῳ· διὸ καὶ ἡ τοιαύτη φωνὴ τῆς συνειδήσεως, καὶ φωνὴ τοῦ Θεοῦ λέγοιτ' ἄν, καὶ φωτισμὸς παρὰ τοῦ Πνεύματος τοῦ ἁγίου, καὶ ὁ ταύτῃ ἐναντιούμενος, εἰς ἑαυτὸν ἁμαρτάνει καὶ εἰς τὴν θείαν ταύτην οἰκονομίαν. Πᾶν γὰρ τὸ μὴ κατὰ τὴν ὑπαγόρευσιν τῆς συνειδήσεως γινόμενον, ἁμαρτία.

§. 42. *Περὶ εὐσυνειδησίας.*

Εὐσυνειδησία ἐστὶν ἡ ἐπίμονος σπουδὴ τοῦ περιποιήσασθαι ἑαυτῷ ἐν πᾶσιν ἀσφαλῆ συνείδησιν περὶ τῆς ἀληθοῦς ἰδιότητος ἑκάστης πράξεως, καὶ ταύτῃ προθύμως ἕπεσθαι. Τῇ δὲ εὐσυνειδησίᾳ ἀντίκειται ἡ ἀσυνειδησία, ὀλιγωρία τις οὖσα τῶν περὶ τῆς ἰδιότητος τῶν πράξεων ὀρθῶν κρίσεων τοῦ νοὸς καὶ τῆς εἰς αὐτὰς ὑπακοῆς. Ἀνώτερος δὲ ταύτης βαθμὸς καλεῖται ἠθικὴ ἀπάθεια καὶ ἀναισθησία. Ὅταν δέ τις ἐπίτηδες τὴν φωνὴν τῆς συνειδήσεως ἀποστρέφηται, ἵνα μὴ ἀκούσῃ, ἢ, κἂν ἀκούῃ, μὴ πείθηται, πώρωσίς ἐστι τοῦ νοὸς, συνεπαγομένη τελείαν καταφρόνησιν παντὸς θρησκευτικοῦ καὶ κρείττονος πράγματος. Πρώτιστον οὖν καὶ μέγιστον τῶν καθηκόντων, ἐκ τῆς ἡμετέρας σχέσεως πρὸς τὸν Θεὸν καὶ πρὸς τὸ ὁμόφυλον ἀμέσως γεννώμενον, ὑπάρχει τὸ ἐν πᾶσι τοῖς ἔργοις τὴν ἀληθῆ εὐσυνειδησίαν περιποιεῖσθαι, ἧς ἄνευ οὐκ ἂν διαμένοι ἀδιάλυτος ἡ εἰρημένη σχέσις, οὐδ' ἡ τοῦ ἀνθρώπου ἀξία, οὐδ' ὁ ὑψηλὸς αὐτοῦ προορισμὸς ἐφικτός. Διὰ ταῦτα καὶ ἡ θεία Γραφὴ πολλαχῶς συνίστησιν ἡμῖν, καὶ παραγγέλλει τὴν περὶ αὐτῆς φροντίδα· « Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ἐλαχίστῳ

Digitized by Google

ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστι » (α)· καὶ ἀλλαχοῦ, « Ὁ ἐξουθενῶν τὰ ὀλίγα, κατὰ μικρὸν πεσεῖται » (β). Περιλαμβάνει δὲ ἡ εὐσυνειδησία πάντα τὰ καθήκοντα, ὅσα δεῖ πράττειν, καὶ πάντα τὰ δικαιώματα, ὅσα χρὴ φυλάττειν. Διαφέρει δὲ τῆς καθ' ὑπόκρισιν μικρολογίας, ἐφ' ᾗ μέγα ἐπὶ Χριστοῦ οἱ Φαρισαῖοι ἐφρόνουν, περὶ μικρά τινα καὶ ἐξωτερικὰ ἔθιμα καὶ ἔργα, τὰ παρὰ τοῖς πολλοῖς θαυμασμὸν ἐγείροντα ἀκριβολογουμένης, παρορώσης δὲ « τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν » (γ). Αὕτη γὰρ ἡ μικρολογία ἀποσβέννυσι μᾶλλον, ἢ ἀναῤῥιπίζει τὴν τῆς ἀληθινῆς ἀρετῆς αἴσθησιν καὶ ἐπιθυμίαν.

§. 43. *Προαγωγικὰ τῆς ἀληθοῦς εὐσυνειδησίας.*

Α'. Ἡ μετ' ἐπιστασίας συνεχὴς μελέτη τῆς ἁγίας Γραφῆς, ἐν ᾗ πολυτρόπως παραβάλλεται ἡ παροῦσα ζωὴ πρὸς τὸν καιρὸν τῆς δοκιμασίας, τῆς σπορᾶς, κ.λ. καὶ διὰ τοῦτο προσοχὴ καὶ ἐπιμέλεια παραγγέλλεται.

Β'. Ἡ συχνοτέρα ἀκρόασις τοῦ θείου λόγου, τοῦ τὰ ἡμέτερα καθήκοντα ἀκριβέστερον ἑρμηνεύοντος.

Γ'. Ἡ συνεχὴς ἄσκησις τῆς κρίσεως ἡμῶν διὰ τῆς ἀναθεωρήσεως τῶν ἡμετέρων πράξεων.

Δ'. Ἡ διηνεκὴς ἐπαγρύπνησις ἐπὶ τῶν ἐπιθυμιῶν τῆς σαρκὸς, δι' ἃς πολλάκις τὸ περὶ τὰς πράξεις ἀκριβὲς ὀλιγωρεῖται.

Ὅς ἂν ἐπιμελῶς τούτοις χρῆται, ῥᾳδίως κατανοήσει τὴν ἐξ αὐτῶν ὠφέλειαν, καὶ τὴν πρόοδον αἰσθήσεται ἐπὶ τὴν ἀληθῆ σοφίαν καὶ ἀρετήν.

(α) Λουκ. ις'. 10.
(β) Σειρὰχ ιθ'. 1.
(γ) Ματθ. κγ'. 23.

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ Ε'.

§. 44. *Περὶ τῆς ἀρετῆς.*

Πολλὰ, κατὰ τὸ κοινὸν ἰδίωμα, καλοῦνται ἀρετὴ, ἃ οὐκ εἰσὶ τοῦ ὀνόματος ἄξια. Πολλάκις γὰρ καὶ ἡ ἀγαθὴ ἁπλῶς διάθεσις, ἰδιότης οὖσα φυσικὴ τῆς τοῦ ἀνθρώπου ἰδιοσυγκρασίας, καὶ ἡ ὀξύνοια, καὶ ὁ θερμὸς ζῆλος, καὶ ἡ σπουδὴ ὑπὲρ τῆς ἐκτελέσεως ἔργου τινὸς, καὶ ἡ δεξιότης εἰς τὸ ὑπερβάλλειν τὰ προσπίπτοντα κωλύματα, καὶ ἡ περὶ τὰς παθήσεις μετριότης, καὶ ἄλλα τινὰ, κοσμοῦνται τῷ τῆς ἀρετῆς κλεινῷ ὀνόματι, καίτοι ἐπὶ τοσοῦτον μόνον εἰσὶν ἀγαθὸν, ἐφ' ὅσον ἀτεχνῶς τῇ ἀρετῇ συνδέονται καὶ πρὸς αὐτὴν συντελοῦσιν. Ἀρετὴ δὲ κυρίως ἐστὶν ἡ ἐν τῷ ἀνθρώπῳ σπουδαία καὶ σταθερὰ γνώμη τοῦ ἐκτελεῖν ἀκριβῶς πᾶν ὅ,τι ἂν συνείδησις ἀσφαλὴς ὡς καθῆκον ὑπαγορεύῃ, κἂν πολλὰ καὶ μεγάλα προβάλλωνται ὑπὸ τῆς σαρκὸς κωλύματα. Κατὰ τοῦτον τοίνυν τὸν ὅρον οὐκ ἔστιν ἀρετὴ, οὔτε μία τις μόνη ἀγαθὴ πρᾶξις, οὔτε ὁ πρὸς καιρὸν ζῆλος ἢ ἐνθουσιασμὸς ὑπέρ τινος ἀγαθῆς καὶ μεγάλης πράξεως, ἥκιστα δὲ ἡ εὐσεβὴς ἐπιθυμία τοῦ μεταβαλεῖν πάντας τοὺς ἀνθρώπους εἰς ἀγγέλους, ἢ τοῦ μεγάλα ἀγαθὰ, κατὰ τὸ δοκοῦν αὐτῷ, κατεργάζεσθαι, πλὴν ἐκείνου μόνου, ὅπερ καθήκει ποιῆσαι. Ἀλλ' ἡ ἀρετὴ πανταχοῦ δείκνυσι τὴν αὐτῆς ἰσχὺν καὶ ἐνέργειαν, ὡς γνώμη σταθερὰ ἐν παντὶ καιρῷ τοῦ πράττειν οὐχὶ τοῦτο μόνον ἢ ἐκεῖνο τὸ καθῆκον, ἀλλὰ πάντα, ὅσα ἂν ἡ ἀσφαλὴς συνείδησις ὡς τοιαῦτα ὑπαγορεύῃ.

Digitized by Google

Ἡ ἀρετὴ περιέχει ἐν ἑαυτῇ τήν τε δικαιοσύνην καὶ τὴν εὐσυνειδησίαν, ἐκείνην μὲν, ὅτι καὶ τὸ τηρεῖν τὰ τοῦ ἄλλου δικαιώματα τῶν καθηκόντων ἐστί· διὸ καὶ ἀρετὴ μὲν χωρὶς δικαιοσύνης ἀκατανόητον, δικαιοσύνη δὲ καὶ χωρὶς ἀρετῆς γένοιτ' ἄν· τὴν δὲ εὐσυνειδησίαν, ὅτι ὡς γνώμη σταθερὰ τοῦ ἐκτελεῖν ἀκριβῶς τὰ καθήκοντα, τὴν τῶν καθηκόντων ἀκριβῆ γνῶσιν προϋποτίθησι. Τί γὰρ ὄφελος γνώμης, καὶ τῆς κρατίστης, χωρὶς τῆς ὁδηγούσης γνώσεως; Ταύτην δὲ τὴν γνῶσιν ἡ συνείδησις παρέχει.

Ἡ ἀρετὴ πράττει μὲν γενναίως τὸ ὑπὸ τῆς συνειδήσεως ὡς ἀγαθὸν δοκιμαζόμενον, ἀφίσταται δὲ τοῦ ἐξ αὐτῆς ὡς κακοῦ ἀποδοκιμαζομένου· διὸ καὶ ἰσχύς ἐστι καὶ εὐγένεια ἀνδρική· διαφέρει δὲ καὶ τῆς ἐν τῷ πράττειν νομιμότητος· ἡ γὰρ ἀρετή ἐστιν εὐθύτης κατὰ σκοπὸν φιλουμένη καὶ ζητουμένη, καθ' ἣν αἱ πράξεις ἡμῶν ἀποβαίνουσιν αὐτὸ τὸ ἐκ τοῦ καθήκοντος ἡμῶν ἀπαιτούμενον, μᾶλλον δὲ αὐτὴ ἡ ἀληθὴς ἠθικότης ἐστίν. Διὸ καὶ οὐκ ἔστιν ἀνταλλάσσειν αὐτὴν πρὸς τὴν ἁπλῶς μηχανικὴν ἕξιν τοῦ πράττειν τι ἀγαθὸν καὶ εὐάρεστον. Ὅσον δ' ἂν ᾖ τελεία καὶ καθαρὰ ἡ ἀνθρωπίνη ἀρετὴ, οὔπω τελεία ἐστὶν ἁγιωσύνη, ἀλλὰ σπουδὴ μόνον καὶ προσέγγισις κατὰ μικρὸν εἰς αὐτήν. Ἡ δὲ τελεία ἁγιωσύνη παρὰ μόνῳ τῷ Θεῷ ὑπάρχει, καὶ περὶ αὐτοῦ μόνου λέγεται, ὅτι « φῶς ἐστὶ, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία » (α)· οὐδεμία κηλὶς ἀτελείας.

§. 45. Ἐνεστι μὲν πᾶσι τοῖς ἀνθρώποις ἥ τε διάθεσις καὶ ἡ κλῆσις εἰς τὸ προσεγγίζειν ἀεὶ τῇ τελείᾳ ἁγιωσύνῃ τοῦ Θεοῦ, ἀλλ' ἡ ἀπ' αὐτῆς ἀπόστασις τυγχάνει οἱονεὶ ἀπέραντος καὶ αὐτοῖς τοῖς εἰς τὸ ἄκρον

(α) Ἰωάνν. Α'. Ἐπιστ. ἐ. 5.

Digitized by Google

τῆς ἀνθρωπίνης τελειότητος ἐληλακέναι δοκοῦσιν. Ἔτι δὲ ἡ τῶν ἀνθρώπων ἀρετὴ, οἵα δὴ σπουδὴ πρὸς τὴν τελείαν ἁγιωσύνην, πόνοις συνῆπται καὶ ἀγῶσι καὶ μάχαις, τῆς σαρκὸς καὶ τοῦ πνεύματος ἀδιαλείπτως μαχομένων ἀλλήλοις, καὶ ἐν παντὶ ἀγωνιζομένων κατισχύσαι ἀλλήλων, καὶ πολλάκις ἐν τῇ διαμάχῃ συμβαίνει κατισχύειν τὴν σάρκα τοῦ πνεύματος. Οὕτω φησὶν ὁ θεῖος Παῦλος· « Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκὸς, ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε » (α). Διαμένει δὲ ἡ διαμάχη αὕτη, ἕως ἂν ἡ ἐπίγειος ζωὴ τοῦ ἀνθρώπου διαρκῇ· διὸ καὶ ἐν Ἰὼβ λέγεται, « Οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς; » (β). Ἡ ἀνθρωπίνη ἄρα ἀρετὴ, οἵα δήποτ' ἂν ᾖ, καρπός ἐστι τῆς ἐπιμελείας καὶ τοῦ ἀγῶνος, καὶ ἄρχεται μὲν ἀπὸ τῆς τοῦ ἤθους μορφώσεως, προβαίνει δὲ εἰς αὔξησιν διὰ μόνης τῆς ἀκαμάτου σπουδῆς (γ). Πόσον δὲ δεῖ πονῆσαι, καὶ ἀγωνίσασθαι, καὶ ὑπομεῖναι ὑπὲρ αὐτῆς, καὶ πόσου ἀξία τυγχάνει, ἐδίδαξεν ἡμᾶς ὁ Κύριος ἐν τούτοις· « Εἰ δὲ ἡ χείρ σου, ἢ ὁ ποῦς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὰ, καὶ βάλε ἀπὸ σοῦ » κ.τ.λ. (δ). Τοῦτο γὰρ ἡ ἀνθρωπίνη ἀρετὴ, τὸ διὰ παντὸς ἀγωνίζεσθαι περιποιῆσαι τὴν νίκην τῷ πνεύματι· διὰ τοῦτο καὶ ἐν τῇ θείᾳ Γραφῇ ὡς ἀγὼν καὶ μάχη ἀεὶ παρίσταται, διὰ τὰ ἐκ τῆς σαρκὸς προβαλλόμενα κωλύματα καὶ δυσχερείας, ἃς δεῖ ὑπερβαλέσθαι.

§. 46. *Περὶ τῶν τῆς ἀρετῆς ἰδιωμάτων.*

Ἵνα δὲ γνησία τε καὶ ἀκραιφνὴς ᾖ ἡ ἀρετὴ, προσεῖ-

(α) Γαλ. ε. 17. (β) Ἰώβ. ζ'. 1. (γ) Ἰδὲ Ματθ. ιγ'. 31—34. (δ) Ἰδὲ Ματθ. ιή. 8—10.

Digitized by Google

ναι δεῖ αὐτῇ ταῦτα, ὡς ἐκ τῶν εἰρημένων καταφαίνεται, οἷον ά, τὸ γενικὸν, ὅπως δηλαδὴ πάντα περιλαμβάνῃ τὰ ὁμολογηθέντα καθήκοντα· β', τὸ καρτερικὸν καὶ μόνιμον, ἀεὶ καὶ ἐν παντὶ ὁμοίως ἔχον· γ', τὸ ἐνεργόν· ἡ γὰρ εὐχὴ μόνη οὐκ ἂν λέγοιτο ἀρετή· δ', τὸ καθαρὸν ἀπὸ ματαίων σκοπῶν· έ, τὸ εἰλικρινῶς ζητεῖσθαι, καὶ πράττεσθαι ἀνυποκρίτως. Ὁ τῷ ὄντι ἐνάρετος γενναῖός ἐστι καὶ ἀτρόμητος, ἐνεργῶν πανταχοῦ τὸ κατὰ δύναμιν, ὅπου τὸ καθῆκον καλεῖ αὐτὸν, μηδεμίαν ἀποφεύγων δυσχέρειαν, ἣν οἴεται ἱκανὸς εἶναι ὑπερνικῆσαι· καὶ τὸ μὲν ἀγαθὸν ζητεῖ καὶ φιλεῖ δι' ἑαυτὸ, εἰς οὐδὲν ἄλλο ἀφορῶν, τὸ δὲ κακὸν φεύγει καὶ ἀποστρέφεται, οὐχ ὅτι τὴν εὐημερίαν λυμαίνεται, ἀλλὰ δι' αὐτὸ, ὅτι κακόν· τὴν δ' ἀρετὴν αὐτὴν, ὡς δικαίαν καὶ ὀρθὴν διαγωγὴν, καὶ πρὸς τὸν Θεὸν ἐξομοίωσιν, μέγιστον κέρδος ἡγεῖται. Ὁ ἐκ τοῦ φόβου ἄρα, μὴ δόξας κακὸς εἶναι, κακῶς πάθῃ, ἢ ἐκ τῆς ἐλπίδος τοῦ ἐκ τῆς ἀρετῆς εἰς τὴν εὐδαιμονίαν προσγινομένου κέρδους, σωφρόνως καὶ ἐναρέτως διάγων, πόρρω ἔτι τῆς ἀληθοῦς ἀρετῆς πλανᾶται, ἢ γοῦν οὐκ ἔστι καθαρὰ ἡ τούτου ἀρετή· ἀλλὰ καὶ τοῦ γινώσκοντος μὲν τὴν ἀξίαν καὶ τὴν ἀνάγκην τῆς ἀρετῆς, καὶ μετὰ συντόνου σπουδῆς ἐπειγομένου εἰς αὐτὴν, νικωμένου δ' ἔσθ' ὅτε ὑπὸ τῶν τῆς σαρκὸς ἐπιθυμιῶν, καὶ τούτου ἡ ἀρετὴ λίαν ἀτελὴς καὶ ἀσθενής ἐστι· τοῦ δ' ἐπιμελῶς πάντα τὰ καθήκοντα πράττοντος, καὶ οὐδὲν ἐξ ἀμελείας κατὰ συνείδησιν παραλείποντος, ἀλλὰ καὶ τὰς τῆς σαρκὸς ἐπιθυμίας καταδαμάζειν πειρωμένου, καὶ κατακυριεύειν αὐτῶν, ὥστε ἢ οὐδέποτε, ἢ σπανίως γε κατισχύειν αὐτὰς, τούτου ἡ ἀρετὴ ἱκανῶς ἤδη προβεβηκέναι δοκεῖ, εἰ καὶ τὰ αἴτια, δι' ἃ ζητεῖται καὶ σπουδάζεται, ἀγαθὰ καὶ εὔλογα φαίνονται.

Digitized by Google

§. 47. *Περὶ τῶν αἰτίων τῆς ἀρετῆς.*

Αἴτια τῆς ἀρετῆς ὀνομάζομεν τοὺς λόγους, ὧν ἕνεκα σπουδάζεται καὶ πράττεται. Ἐπειδὴ δὲ τὸ ταύτης τέλειον ἐκ τῆς εὐθύτητος μάλιστα ἤρτηται καὶ τῆς καθαρότητος τῶν αἰτίων, δι' ἃ ἐνεργεῖται, θεωρητέον καὶ ταῦτα συντόμως. Τὰ τῆς ἀρετῆς αἴτια πολλὰ καὶ ποικίλα εἰσὶ, διαιροῦνται δ' ἐν γένει εἰς καθαρὰ, εἰς μὴ καθαρὰ, καὶ εἰς ἀνάμικτα. Καὶ καθαρὸν μὲν λέγεται τὸ αἴτιον, μᾶλλον δὲ κράτιστον πάντων, ἐπειδὰν τὴν ἀρετὴν ἀσκῶμεν· διότι αὕτη μόνη τῇ ἡμετέρᾳ γενέσει καὶ τῇ ἀξίᾳ προσήκει, καὶ δι' αὐτῆς μόνης τῷ Θεῷ ἐξομοιούμεθα, καὶ, εἰς ὃ ἐκλήθημεν, προσεγγίζομεν· τοῦτο γὰρ τὸ αἴτιον μεγίστην ἀξίαν ἐντίθησι τῇ ἡμετέρᾳ ἀρετῇ, καὶ εὐάρεστον τῷ Θεῷ καὶ τοῖς ἀνθρώποις αὐτὴν ἀπεργάζεται· μὴ καθαρὸν δὲ, ἐπειδὰν τὸ ἀγαθὸν πράττωμεν, διότι δι' αὐτοῦ μᾶλλον, ἢ διὰ τῆς ἁμαρτίας καὶ τῆς ἀδικίας δυνάμεθα εὐδοκιμεῖν ἐν τῷ κόσμῳ, καὶ ἀπολαῦσαι τῶν τοῦ κόσμου ἀγαθῶν, ἤτοι ἐπειδὰν ὀργάνῳ τῇ ἀρετῇ χρώμεθα πρὸς τέλη πρόσκαιρα, ἵνα μᾶλλον καὶ ῥᾷον ἐν τῷ βίῳ εὐδαιμονήσωμεν, εὐδοκιμοῦντες παρὰ τοῖς πολλοῖς, καὶ ἐπαινούμενοι, καὶ θαυμαζόμενοι ὑπ' αὐτῶν, ὡς ποτε ἐν τοῖς Ἰουδαίοις οἱ Φαρισαῖοι. Ἀλλὰ πάντες, οἱ οὕτω φρονοῦντες καὶ λογιζόμενοι περὶ τῆς ἀρετῆς ἀποδοκιμάζονται ὑπὸ τοῦ Κυρίου, λέγοντος « Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς » (α). Τὰ γὰρ τοιαῦτα αἴτια αἴσχος προσάπτουσι τῇ ἀρετῇ, καὶ ὕποπτον αὐτὴν ἀποφαίνουσιν. Ἔφη γάρ πού τις, ὅτι καὶ ὁ ἐπ' ἐλπίδι τῆς μελλούσης μακαριότητος μόνον, ἢ διὰ τὸν φόβον τῆς αἰωνίου κολάσεως μόνον ἀπέχων τοῦ κακοῦ, καὶ πράττων τὸ ἀγα-

(α) Ματθ. ς'. 1—5. Ἰδὲ καὶ Ματθ. κέ. 1—12.

Digitized by Google

θὸν, μὴ ἀγαπῶν αὐτὸ δι' ἑαυτὸ, ἀλλ' ὡς, πρὸς ἣν ἀφορᾷ μακαριότητα συντελοῦν, καὶ αὐτός, φησι, λίαν ἀτελὴς τυγχάνει, καὶ ἀδιόρθωτος, καὶ ἀνάξιος τοῦ σκοποῦ, πρὸς ὃν τείνει. Εἰ γὰρ ἦν ἄλλως αὐτῷ διαφυγεῖν τὴν γέενναν τοῦ πυρὸς, ἢ τυχεῖν τῆς μακαριότητος, ὀλίγον ἂν περὶ ἀρετῆς ἐφρόντιζε. Πᾶν οὖν τέλος πρόσκαιρον καὶ κοσμικὸν, ὡς μὴ καθαρὸν αἴτιον τῆς ἀρετῆς νομιστέον. Παρὰ δὲ τὰ ἀνωτέρω ῥηθέντα καθαρώτατα αἴτια, εἰσὶ καὶ ἕτερα, οἱονεὶ δευτερεύοντα, οἷς καὶ χρησόμεθα, ὅτε τὸ πρῶτον καὶ κράτιστον οὐδαμῶς κωλύουσιν, οὐδ' ἐλαττοῦσιν, ἀλλὰ μᾶλλον ὑπερείδουσι καὶ κρατύνουσι. Τούτων τὰ κυριώτατα εἰσὶ τάδε· ἁ, ὅτι μόνη ἡ ἀρετὴ παρέχει ἀληθῆ ἀνάπαυσιν ταῖς ψυχαῖς ἡμῶν· β', ὅτι ζωοποιεῖ καὶ κρατύνει τὴν πεποίθησιν ἡμῶν πρὸς τὸν Θεόν· γ', ἐμποιεῖ παῤῥησίαν μεγάλην ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων· δ', ὅτι ἐμπνέει παραμυθίαν ἐν ταῖς θλίψεσι, καὶ θάῤῥος ἐν τοῖς δεινοῖς· ε, πληροῖ τὴν ψυχὴν πανευφροσύνου ἐλπίδος περὶ τῆς μελλούσης ζωῆς. Τὰ αἴτια ταῦτα καλοῦνται σύμμικτα, ὅτι οὐκ ἀπήλλακται μὲν ὅλως καὶ ταῦτα ἰδιοτελείας τινὸς, εἰσὶ δὲ πολλῷ εὐγενέστερα, καὶ γίνονται οἷον ἀντηρὶς τοῖς καθαρωτάτοις αἰτίοις προσαρμοζόμενα· διὸ καὶ ἡ θεία Γραφὴ ὑποβάλλει ταῦτα πολλάκις, ὡς ὅτε τὴν μὲν ζωὴν τὴν αἰώνιον, ὡς καιρὸν θερισμοῦ περιγράφει, τὴν δὲ παροῦσαν ὡς τὸν τῆς σπορᾶς. Οὕτω φησὶν ὁ θεῖος Ἀπόστολος « ὃ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς θερίσει φθορὰν, ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. Τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν, καιρῷ γὰρ ἰδίῳ θερίσωμεν, μὴ ἐκλυόμενοι » (α). Ἀρχέτυπον εἰς μίμη-

(α) Γαλ. ς'. 7—10.

Digitized by Google

σιν παρέσχεν ἡμῖν κἂν τούτῳ ὁ Κύριος· οὐδὲν γὰρ ἕτερον ἔλεγεν αἴτιον πάντων τῶν ὑπ' αὐτοῦ πραττομένων, ἢ τὸ: « Τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με πατρός » (α)· καὶ, « Καθὼς ἐνετείλατό μοι ὁ πατὴρ, οὕτω ποιῶ » (β)· καὶ, « Οὕτω ποιῶ, ὅτι αὐτός μοι ἐντολὴν ἔδωκε κ. λ. » (γ)· Ἔστι δὲ τοῦτο πάντως τὸ καθαρώτατον τῶν αἰτίων, καὶ τὸ αὐτὸ τῷ παρ' ἡμῶν εἰρημένῳ· τί γὰρ ἂν ἄλλο εἴη τὸ θέλημα τοῦ Θεοῦ, ἢ τὸ ἐπιμελῶς ἀεὶ καὶ γενναίως πράττειν μὲν πάντα, ἃ γινώσκομεν προσήκοντα τῇ ἡμετέρᾳ πρὸς αὐτὸν καὶ πρὸς τὸ ὁμόφυλον σχέσει, φεύγειν δὲ τἀναντία; Τοῦθ' ἕνεκα καὶ διαφόρων βαθμῶν ἂν εἴη ἡ ἀρετή· ὅσῳ γὰρ καθαρώτερα καὶ εὐγενέστερα τὰ αἴτια, δι' ἃ ζητεῖται καὶ σπουδάζεται, καὶ ὅσῳ μείζων ἡ προθυμία καὶ ἡ καρτερία εἰς τὸ πάντα μὲν τὰ καθήκοντα ἐκτελέσαι, πάντα δὲ τὰ ἀναφυόμενα ἢ προκείμενα κωλύματα ἀφελεῖν, καὶ ὅσῳ μονιμωτέρα τε καὶ ἀσφαλεστέρα ἡ τοιαύτη γνώμη, ὑπ' οὐδεμιᾶς μεταβαλλομένη δυσχερείας, τοσούτῳ καὶ ἡ ἀρετὴ κρείττων τε καὶ εὐγενεστέρα· ἀλλὰ καὶ τοὐναντίον, τοσοῦτον ἡ τῆς ἀρετῆς ἀξία ἐκπίπτει καὶ ἐλαττοῦται, ὅσον ἂν κατὰ ταῦτα ἐλλείπῃ.

§. 48. *Περὶ τῶν ἐν τῇ θείᾳ Γραφῇ ὀνομάτων τῆς ἀρετῆς.*

Τὸ μὲν ὄνομα τῆς ἀρετῆς οὐ σύνηθες ἐν ταῖς ἁγίαις Γραφαῖς, τὸ δὲ πρᾶγμα συχνότατα ἄλλοις ὀνόμασιν εὑρίσκεται καλούμενον· οἷον ἁ, δικαιοσύνη, καθολικώτερον τῆς λέξεως λαμβανομένης, ὡς τὸ « Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην » (δ)· β', φρόνημα τοῦ πνεύματος, ἀντιθέτως πρὸς τὴν ἁπλῶς

(α) Ἰωαν. ς'. 39. (β) Ἰωαν. ιδ'. 31. (γ) Ἰωαν. ιε'. 49. (δ) Ματθ. ε. 6.

Digitized by Google

σαρκικὴν ζωὴν, ὡς τὸ « Τὸ δὲ φρόνημα τοῦ πνεύματος, ζωὴ καὶ εἰρήνη » (α)· γ', ἁγιασμὸς, οἷον τὸ « Τοῦτό ἐστι τὸ θέλημα τοῦ Θεοῦ ὁ ἁγιασμὸς ὑμῶν κτλ. » (β)· δ', φόβος Θεοῦ, κατὰ τὸ « οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν » (γ)· ε, τήρησις τῶν ἐντολῶν, ὡς τὸ « Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστι, ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ » (δ)· Διὰ τῶν ὀνομάτων τούτων δηλοῦται νῦν μὲν τὸ πρᾶγμα, περὶ ὃ ἡ ἀρετὴ, νῦν δὲ τὸ αἴτιον, ἐξ οὗ, ἄλλοτε δὲ αὐτὴ ἡ ἐνέργεια. Καὶ πρᾶγμα μέν ἐστιν ἡ ἐκτέλεσις παντὸς καθήκοντος, αἴτιον δὲ ἡ πρὸς τὸν Θεὸν ἀγάπη καὶ ἡ πρὸς τὸ ἀγαθὸν, καὶ ὁ υἱϊκὸς φόβος, ἐνέργεια δὲ, ὁ ἁγιασμὸς, ἢ ἡ τῇ ἁγιωσύνῃ προσέγγισις· καθόλου δὲ θεωρουμένη ἡ ἀρετή ἐστι φρόνημα τοῦ πνεύματος, ἤτοι βίος ὅλος λογικὸς, ὡς πρέπει τῇ ἀξίᾳ καὶ τῇ κλήσει τοῦ ἀνθρώπου, καὶ ὁδὸς ἀσφαλεστάτη πρὸς τὴν εὐδαιμονίαν καὶ μακαριότητα.

§. 49. *Περὶ τῶν ἀπολύτως ἀναγκαίων πρὸς τὴν ἀρετήν.*

Ἡ ἀρετὴ, ὡς γνώμη σταθερὰ καὶ σπουδὴ ἐμμελὴς τοῦ πράττειν ἀκριβῶς πάντα τὰ ὑπὸ τῆς συνειδήσεως μαρτυρούμενα καθήκοντα, δεῖταί τινων, ὧν χωρὶς ἀνέφικτον τῷ ἀνθρώπῳ ὑπάρχει. Εἰσὶ δὲ ταῦτα γενικὰ μὲν, ἀ, πρὸς τῷ γνωστικῷ καὶ τῷ αὐτεξουσίῳ, ἡ, ὅσον ἔνεστιν, ἀκριβὴς καὶ τελεία γνῶσις τῶν ἡμετέρων καθηκόντων. β', ἡ ἕξις τοῦ ῥᾳδίως ἅμα καὶ ταχέως κρίνειν, πότε, ποῦ, καὶ πῶς, ἕκαστον τῶν καθηκόντων ἐκτελεῖσθαι δεῖ· γ', γνώμη σταθερὰ μηδόλως ὑπὸ τῶν πόνων καὶ τῶν ἄλλων δυσχερειῶν ἐν τῇ ἐκτελέσει μετατρεπομένη.

(α) Ῥωμ. ἡ. 5—14. (β). Α'. Θεσσαλ. δ'. 3. ἰδὲ καὶ Εβρ. ιϐ'. 14. (γ) Ῥωμ. γ'. 18· καὶ ψαλμ. λέ. (δ) Α'. Κορ. Ζ'. 19.

Digitized by Google

Ἐδωρήθη μὲν γὰρ ἡμῖν τὸ δύνασθαι κατορθοῦν τὴν ἀρετὴν διὰ τοῦ γνωστικοῦ καὶ τοῦ αὐτεξουσίου, ἀλλὰ καὶ καλλιεργείας καὶ ἀναπτύξεως δεῖται ἐν ἑκάστῳ ἡμῶν διὰ τῆς προσκτήσεως τῶν εἰρημένων. Καλοῦνται δὲ ταῦτα γενικὰ, ὅτι χωρὶς τούτων, καὶ τὸ κάλλιστον τῆς φύσεως πλεονέκτημα ἄχρηστόν τε καὶ ἀνωφελὲς ἀπόλλυται. Εἰδικὰ δὲ, ἁ, ἄγρυπνος τῶν θελημάτων καὶ ὀρέξεων τῆς σαρκὸς ἐπιτήρησις· β', τελεία πρὸς τὰς μὴ δυναμένας συνυπάρχειν τῇ ἀρετῇ ἡδονὰς καὶ λύπας ἀδιαφορία· γ', μετριοπάθεια πρὸς πάντα· δ', ἀνύψωσις συνεχὴς τοῦ νοὸς εἰς τὸν Θεὸν, τὸν πανταχοῦ παρόντα, καὶ τὰ πάντα γινώσκοντα, καὶ ἀδεκάστως ἑκάστῳ κατὰ τὰ αὐτοῦ ἔργα ἀποδώσοντα· ε, ἀναλογισμὸς σπουδαῖος τῆς παντοίας βλάβης καὶ ἀθλιότητος, ἥτις ἐπιγίνεται παντὶ τῷ ἀμερίμνως περὶ ἀρετῆς ἔχοντι. Πάντα γὰρ ταῦτα οὐ μόνον ῥᾳδίαν ποιοῦσι τὴν κατεργασίαν τῆς ἀρετῆς, ἀλλὰ καὶ κατὰ παντὸς πειρασμοῦ ἐνισχύουσι. Διὰ τοῦτο καὶ τῶν ἀρχαίων σοφῶν πολλοὶ, οὕτω περὶ αὐτῶν γινώσκοντες, παρήγγελλον ταῦτα τοῖς φίλοις καὶ μαθηταῖς, ὡς κρηπῖδα πάσης ἠθικῆς μορφώσεως, οἷον τὸ τεθρυλλημένον ἐκεῖνο « Σεαυτοῦ κράτει, ἀνέχου, καὶ ἀπέχου » κτλ. Τὴν ἄγρυπνον δὲ μάλιστα ἐπιτήρησιν εἰς τὰς τῆς σαρκὸς ὀρέξεις, τὴν μετρίασιν τῶν παθήσεων, τὴν περὶ τὰς ἡδονὰς καὶ λύπας ἀδιαφορίαν παρήγγελλον ἰδίως οἱ Στωϊκοί. Τί δὲ περὶ τούτου ἐδίδαξεν ὁ θεῖος ἡμῶν διδάσκαλος, οὐκ ἄγνωστον, οἶμαι, οὐδενὶ τῶν πιστῶν. « Ἀγρυπνεῖτε καὶ προσεύχεσθε, ἔλεγεν, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής » (α). Συντελεῖ δὲ μάλιστα τῇ νίκῃ τοῦ πνεύματος κατὰ τῆς σαρκὸς ἡ συχνοτέρα ἀνάβλεψις εἰς τὸν

(α) Ματθ. ιϛ'. 24. κ. ε.

Digitized by Google

Θεὸν, καὶ ἐν παντὶ καιρῷ ἐδείχθη ὑποστήριγμα τῆς ἀρετῆς κράτιστον, ὡς ἐν τῷ Ἰωσὴφ, ἐν τῇ Σωσάνῃ, ἐν τῷ Δανιὴλ κ. λ. Ὁ μὲν γὰρ ἔλεγεν ἐν τῷ πειρασμῷ, « Πῶς ποιήσω τὸ ῥῆμα τοῦτο τὸ πονηρὸν, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ; » (α). ἡ δὲ « Αἱρετώτερόν μοί ἐστι μὴ πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν, ἢ ἁμαρτεῖν ἐνώπιον Κυρίου » (β) κ. τ. λ. Ἀλλ' αὕτη προϋποτίθησιν οἰκειότητα πρὸς τὸν Θεὸν, καὶ ἀγάπην θερμὴν, καὶ φόβον εὐσεβῆ πρὸς αὐτὸν τὸν ἁγιώτατον καὶ παντογνώστην. « Οὐ παροικήσει σοι πονηρευόμενός, φησι, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου » κ. λ. (γ).

§. 50. *Τὸ τῆς ἀρετῆς ἀναγκαῖον.*

Χωρὶς τῆς ἀρετῆς οὐκ ἄν ποτε εἴημεν, ὅπερ ἔδει εἶναι, κατά τε τὴν γένεσιν, καὶ τὴν ἀξίαν, καὶ τὴν κλῆσιν ἡμῶν· καὶ ἐντεῦθεν τὸ τῆς ἀρετῆς ἀναγκαῖον αὐτίκα δηλοῦται. Πάντες γὰρ ἡμεῖς γένος ἐσμὲν τοῦ Θεοῦ ὡς κοινοῦ πατρὸς, οἱ πάντες ἔχομεν τὸ δύνασθαι ὁμοιωθῆναι αὐτῷ κατὰ τὴν γνῶσιν τοῦ ἀληθοῦς καὶ τὴν πρᾶξιν τοῦ ἀγαθοῦ, εἰς τοῦτο δὲ καὶ ἐκλήθημεν καὶ προωρίσθημεν πάντες. Μόνης δὲ τῆς ἀρετῆς οὔσης, δι' ἧς εἰς αὐτὸ ἀφικνούμεθα, δι' αὐτὸ καὶ καθῆκον μέγιστον πᾶσι χρῆσθαι τῇ ἀρετῇ πρὸς τοῦτο, ὡς ἐν τῇ θείᾳ Γραφῇ σαφῶς διδασκόμεθα· καὶ ἁ, ἔνθα ὁ Κύριος ἡμῶν ἐντέλλεται, ἵνα πάντες ἀγωνιζώμεθα τέλειοι γίνεσθαι, καθὼς καὶ ὁ πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι (δ), β', ἔνθα ὁ θεῖος Παῦλος προτρέπει περιπατῆσαι ἡμᾶς ἀξίως τοῦ Κυρίου εἰς πᾶσαν ἀρέ-

(α) Γεν. λθ'. 9. (β) Δευτ. ιγ'. 23. (γ) Ψαλ. ε. 4—7. (δ) Ματθ. ε. 48.

Digitized by Google

σκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντας καὶ αὐξανομένους εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ (α). Ἐν τούτοις οὐ μόνον ἐπιμελεῖσθαι ἁπλῶς τῆς ἀρετῆς καθήκειν ἡμῖν διδασκόμεθα, ἀλλὰ καὶ ἰδίως σπουδάζειν, ἵνα διηνεκῶς καὶ προκόπτωμεν εἰς αὐτήν. Ἀλλὰ μέχρι τίνος; ἔροιτ' ἄν τις. Ἡ ἀληθὴς ἀρετὴ οὐδὲν ἔχει τέρμα ὡρισμένον, οὐδ' ἂν εἴποι τίς ποτε, ἱκανῶς ἤδη προέβην. Οὐδέ ποτε γὰρ ὁ δίκαιος λογίζεται ἑαυτὸν κατειληφέναι ἤδη πάντα, διώκει δὲ, εἰ καὶ καταλάβῃ, καὶ ἀεὶ μᾶλλον πεινῇ καὶ διψῇ τὴν δικαιοσύνην, ὥστε καὶ, εἰ διὰ παντὸς ἔζη, διὰ παντὸς ἂν ἠγωνίζετο δικαιότερος γίνεσθαι. Εἰ γάρ τις ἀφικέσθαι βούλοιτο, ὅποι οὔπω ἀφίκετο, οὐκ ἐφ' ὃ ἤδη ἀφῖκται, τούτῳ ἀρκεῖσθαι δεῖ· ἅμα γὰρ ἡγήσαιτο ἱκανῶς ἤδη προβεβηκέναι, ἀπολείπεται· εἰ δὲ καὶ λέγοι, ὅτι καὶ πόρρω ἤδη ἐληλακώς εἰμι, οὐκ ἔτι αὐτῷ ἐλπὶς ἐπὶ τὰ πρόσω ἰέναι. Τὸ δὲ μὴ βούλεσθαι ἐπὶ τὰ πρόσω ἰέναι, ἁμαρτία ἐστίν. Ἐκ δὲ τούτου ἐξάγεται σαφῶς, ἁ, ὅτι τὸ καθῆκον τοῦ κτᾶσθαι καὶ ἀσκεῖν τὴν ἀρετὴν πάντων ἐν γένει ἐστὶ, μηδενὸς ἐξαιρουμένου· β΄, ὅτι τὸ καθῆκον τοῦτο κανονίζεται πρὸς τὸ μέτρον τῆς δυνάμεως καὶ τῶν ἄλλων χαρισμάτων ἑκάστου ἀνθρώπου· γ΄, ὅτι ἐπίκειταί τισι, διὰ τὴν ὑπεροχὴν καὶ τὴν ἐν τοῖς λοιποῖς στάσιν αὐτῶν, βαρυτέρα ἡ ὀφειλὴ τοῦ σπεύδειν ἐπὶ τὴν τελειοτέραν ἀρετήν· εἰσὶ δ' οὗτοι μάλιστα οἱ ἄλλων τινῶν λαχόντες προίστασθαι. Καθόλου δὲ, χωρὶς διηνεκοῦς πρὸς τὴν ἀρετὴν σπουδῆς, οὐκ ἂν ποτέ τις τῷ Θεῷ οὐδὲ τῇ ὄντως μακαριότητι προσπελάσειεν. Ἐκ δὲ τούτου καὶ ἕτερον γίνεται καθῆκον τοῦ χρῆσθαι πᾶσιν ἐπιμελῶς καὶ δεόντως, οἷς, ἢ μὴ οὖσαν κτώμεθα, ἢ παροῦσαν προάγομεν τὴν ἀρετήν·

(α) Κολασ. ε. 10.

Digitized by Google

ἡ γὰρ τῶν τοιούτων ὀλιγωρία εὐθύνην ἐπιβάλλει, καὶ τοσούτῳ μείζω, ὅσῳ καὶ ἡ ὀλιγωρία αὐτὴ, καὶ ὁ καιρὸς τοῦ χρῆσθαι τούτοις συχνότερος συγκυρεῖ. Τὴν δὲ μεγίστην εὐθύνην ἐκεῖνοι μάλιστα δέχονται, ὅσοι κατὰ γνώμην ἀποποιοῦνται τὴν ἀρετὴν, χλευάζοντες αὐτὴν ὡς εὐήθειαν.

§ 51. *Ἑνότης καὶ ποικιλία τῆς ἀρετῆς.*

Ἡ ἀρετὴ τῇ μὲν οὐσίᾳ μία ἐστὶ καὶ ἀδιαίρετος, ὡς γνώμη σταθερὰ τοῦ πράττειν πάντα ἀκριβῶς, ἅπερ ὑπὸ τοῦ συνειδότος ὡς καθήκοντα ἀνωμολόγηται· ἐκ δὲ τῶν, περὶ ἃ ἐκδηλοῦται, διάφορα εἴδη αὐτῆς ὠνόμασαν οἱ ἀρχαῖοι, εἰπόντες θεολογικὰς, ἠθικὰς, ἀρχικὰς, πολιτικὰς, καὶ οἰκιακὰς ἀρετάς. Ἀλλὰ ῥᾳδίως κατανοεῖ πᾶς τις, ὅτι διὰ τῶν τοιούτων οὐδὲν ἄλλο σημαίνεται, ἢ τὰ, ἐν οἷς δηλοῦται καὶ ἀσκεῖται ἡ ἀρετή· παρεδέξαντο δὲ τὰς διαιρέσεις καὶ προσωνυμίας ταύτας πρὸς ῥᾴονα καὶ εὐληπτοτέραν ταύτης διδασκαλίαν· καὶ θεολογικὰς μὲν ἀρετὰς ἠρίθμουν τρεῖς, τὴν πίστιν, τὴν ἀγάπην, καὶ τὴν ἐλπίδα, ἀφορμὴν ἐκ τοῦ ἱεροῦ λαβόντες λογίου « Νυνὶ δὲ μένει πίστις, ἀγάπη, ἐλπὶς, τὰ τρία ταῦτα » (α), καὶ αἱ τρεῖς γὰρ αὗται εἰς τὸν Θεὸν ἢ τὰς αὐτοῦ ἀπείρους τελειότητας ἀνάγονται, οἷον ἡ μὲν πίστις εἰς τὴν ἀποκάλυψιν, ἀναφέρεται εἰς τὴν τοῦ Θεοῦ σοφίαν καὶ ἀγαθότητα καὶ δικαιοσύνην, ἡ δὲ ἐλπὶς, καὶ εἰς ταύτας καὶ εἰς τὴν ἄπειρον αὐτοῦ παντοδυναμίαν, ἡ δὲ ἀγάπη εἰς τὴν ἄῤῥητον αὐτοῦ τελειότητα καὶ τὴν πρὸς ἡμᾶς ἄφατον εὐσπλαγχνίαν καὶ ἀγαθότητα. Ἐν αὐταῖς δὲ καὶ πᾶν ἄλλο καθῆκον, ὅπερ ὀφείλομεν ἐκπληροῦν πρὸς τὸν Θεὸν, περιέχεται, καὶ

(α) Α. Κορ. ιγ'. 13.

Digitized by Google

δήλωσις αὐτῶν τυγχάνει, οἷον ἡ πρὸς αὐτὸν εὐγνωμοσύνη, ἡ ὑπακοὴ εἰς τὰς ἐντολὰς τοῦ ἁγίου αὐτοῦ νόμου, ἡ ἀφοσίωσις εἰς τὸ πανάγιον αὐτοῦ θέλημα, ὁ φόβος κτλ. Ἠθικὰς δὲ ἀρετὰς ἔλεγον πάσας τὰς, ἐξ ὧν συγκροτεῖται ἡ χρηστὴ καὶ νόμιμος διαγωγὴ πρὸς τὴν ἐν ἡμῖν αὐτοῖς καὶ τὴν ἐν τῷ ὁμοφύλῳ ἀνθρωπότητα. Καὶ συνήθως μὲν, ἠθικὸν σημαίνει τὸ ἐν γνώσει καὶ λελογισμένως πεπραγμένον, ἐνταῦθα δὲ κυριολεκτικώτερον δηλοῖ πᾶσαν ἐνέργειαν τῆς ἀρετῆς ἀναφερομένην ἰδίως εἰς τὸν ἄνθρωπον. Ὥστε αἱ ἠθικαὶ ἀρεταὶ περιλαμβάνουσι πάντα τὰ καθήκοντα, ὅσα πρὸς ἑαυτόν τις καὶ πρὸς τὸν πλησίον ἐκπληροῦν ὀφείλει· διὸ καὶ ὁ τῶν τοιούτων καταφρονητὴς, κακοήθης καὶ ἀχρεῖος, τῷ κοινῷ ἰδιώματι, καλεῖται, ὁ δὲ τῶν πρὸς τὸν Θεὸν, ἀσεβὴς καὶ ἄθεος. Ἀρχικὰς δὲ πάλιν ὠνόμαζον τέσσαρας, ἤγουν τὴν φρόνησιν, τὴν σωφροσύνην, τὴν ἀνδρίαν καὶ τὴν δικαιοσύνην, καίτοι αὗται οὐκ εἰσὶ κυρίως ἴδιαι ἀρεταὶ, ἀλλ' ἕξεις ἀπαιτούμεναι ἀπαραιτήτως, ὡς εἴρηται, πρὸς τὴν ἀρετήν. Χωρὶς γὰρ φρονήσεως, ἤτοι χωρὶς γνώσεως τελείας τῶν καθηκόντων, καὶ ἕξεως τοῦ κρίνειν ἑτοίμως, πότε, ποῦ, καὶ πῶς ἕκαστον τῶν καθηκόντων δεῖ πράττεσθαι, καὶ χωρὶς σωφροσύνης, ἤτοι χωρὶς ἰσχυρᾶς κατεξουσιάσεως τῶν ὁρμῶν καὶ κλίσεων τῆς σαρκὸς, καὶ χωρὶς ἀνδρίας, ἤτοι χωρὶς σταθερᾶς γνώμης τοῦ αἱρεῖσθαι πανταχοῦ τὸ ἐγνωσμένον καθῆκον, παρορῶντα πᾶσαν τὴν δοκοῦσαν ἢ πραγματικὴν δυσχέρειαν, ὅσον ἂν μεγάλη δοκῇ, καὶ τελευταῖον, χωρὶς δικαιοσύνης, ἤτοι χωρὶς ἐξαιρέτου πρὸς τὴν ὁσιότητα καὶ τάξιν καὶ εὐσέβειαν κλίσεως καὶ ἀγάπης, οὐδέποτε οὐδαμῶς ἂν ὑπάρξειεν ἀρετή. Αἱ εἰρημέναι ἄρα ἕξεις εἰσὶ μὲν, ὡς εἴρηται, ἀναγκαῖαι καὶ ἀπαραίτητοι πρὸς τὴν ἀρετὴν, οὐκ εἰσὶ δὲ αὗται ἕτεραι εἰδικαὶ ἀρεταί. Πάλιν

Digitized by Google

δὲ αἱ πολιτικαὶ καλούμεναι ἀρεταὶ περὶ τὴν ἀκριβῆ ἐκτέλεσιν τῶν τοῦ πολίτου καθηκόντων θεωροῦνται, ὥσπερ καὶ αἱ οἰκιακαὶ περὶ τὴν τῶν οἰκιακῶν· διὸ καὶ οὐδὲν ἴδιον παρὰ τὰς ἄλλας ἠθικὰς ἀρετὰς ἔχουσιν. Ἅπασαι δὲ αὗται καλλύνονται καὶ μᾶλλον ἀξιότιμοι ἀποβαίνουσιν, ἐπειδὰν καὶ τὸ αἴτιον, δι' ὃ ἐνεργοῦνται, καὶ τὸ τέλος, πρὸς ὃ ἀφορῶσι, κράτιστόν τε καὶ εὐαγέστατον εὑρίσκεται· καὶ θεωρούμεναι καθόλου, οὐδὲν ἄλλο εἰσὶν ἢ ἐκδηλώσεις ποικίλαι καὶ διάφοροι τῆς μιᾶς καὶ ἀδιαιρέτου ἀρετῆς, ἥπερ, ὡς εἴρηται, γνώμη ἐστὶ σταθερὰ καὶ ἀναλλοίωτος τοῦ ἐπιτελεῖν ἀεὶ καὶ πανταχοῦ ἀκριβῶς πάντα, ὅσα ἡ συνείδησις ὡς καθήκοντα γινώσκουσα ὑπαγορεύει.

§. 52. *Περὶ τῆς ἀξίας τῆς ἀρετῆς.*

Τῇ ἀρετῇ ἔνεστιν οὐχ ἁπλῶς σχετική τις, ἀλλὰ καὶ ἀπόλυτος καὶ ἐσωτερικὴ ἀξία. Ἔστι γὰρ ἀτεχνῶς εὐγένεια τοῦ πνεύματος· καὶ οἱ Στωϊκοὶ ἀπεφαίνοντο, δι' αὐτὴν εἶναι σπουδαστέαν τε καὶ θεραπευτέαν, καὶ αὐτὴν εἶναι καὶ ἀμοιβὴν ἑαυτῆς, τοῦτ' ἔστιν αὐτὴ πλουσίως ἀμείβει τοὺς ὑπὲρ αὐτῆς κοπιῶντας. Κατὰ τοῦτο ἔλεγε καί τις τῶν σοφῶν, ὡς οὐδὲν τῶν ἐν τῷ κόσμῳ δύναται χωρίς τινος κολάσεως καὶ περιορισμοῦ νομίζεσθαι ἀγαθὸν, πλὴν τῆς ἀγαθῆς γνώμης καὶ προαιρέσεως, πάντα δὲ τἄλλα ἐπὶ τοσοῦτον μόνον λογίζοιντ' ἂν ἀγαθὰ, ἐφ' ὅσον ἢ ὡς ἔργα, ἢ ὡς ἀποτελέσματα τῆς ἀρετῆς κρίνονται· ὥστε καὶ πάσης ἐλπίδος ἡ ἐπίτευξις, καὶ πάσης εὐχῆς, καὶ παντὸς τέλους ἡ ἐπιτυχία, καὶ τῆς, ἐφ' ἣν ἕκαστος σπεύδει διηνεκῶς, εὐδαιμονίας ἡ ἀπόλαυσις, πάντα, φημὶ, ταῦτα, τότε μόνον δόξειεν ἂν ἀληθῶς ἀγαθὰ, ὅταν διὰ τῆς ἀρετῆς ἐνεργῶνται, καὶ ἐπιτυγχάνωνται. Ἀλλὰ καὶ αὐτὸς ὁ θεῖος λόγος

Digitized by Google

τηλικαύτην ἀπονέμει ἀξίαν τῇ ἀρετῇ. « Ἐπ' ἀληθείας, λέγει, καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστί» (α)· Οὕτω καὶ ὁ Κύριος ἡμῶν πανταχοῦ ἐτίμα καὶ ἐπαίνων ἠξίου τὴν ἀρετὴν, ὅπου ἂν αὐτὴν βλέποι, οἷον, περὶ μὲν τοῦ ἐν Καπερναοὺμ ἑκατοντάρχου τοῦ ἐθνικοῦ ἐξεφώνησε παρρησίᾳ « Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον » (β)· καὶ τῷ ἰαθέντι λεπρῷ Σαμαρείτῃ εἶπε, « Πορεύου, ἡ πίστις σου σέσωκέ σε » (γ)· καὶ τῇ Χαναναίᾳ « Θάρσει θύγατερ! ἡ πίστις σου σέσωκέ σε » (δ). Τοῦτ' ἔστι τὸ ἀγαθὸν οὐκ ἐξ ἰδιοτελείας τε καὶ φιλαυτίας πραττόμενον, ἀλλ' ἐξ ἀγαθῆς γνώμης, ἀεὶ καὶ πανταχοῦ πάσης τιμῆς ἐστιν ἄξιον. Διὸ καὶ ὁ τοῦ Σωτῆρος μακαρισμὸς « Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην » (ε), καὶ ἡ ἐντολὴ, « Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν » (ς). Ὑφίσταται δὲ ἡ τῆς ἀρετῆς ἀπόλυτος ἀξία ἐν τούτοις κυρίως, ἅ, ὅτι οὐ μόνον ἡ ὁδὸς ἐστιν ἡ ἄγουσα εἰς τὴν πρὸς τὸν Θεὸν ἐξομοίωσιν, ἀλλὰ καὶ αὐτὴ ἡ ἐξομοίωσις· β', ὅτι διὰ τοῦτο οὐδέποτε δεῖ ὡς μέσῳ μόνῳ χρῆσθαι αὐτῇ· οὕτω γὰρ ἀπόλλυσι τὴν ἑαυτῆς ἀξίαν καὶ τὸν χαρακτῆρα, δι' ὃν καὶ παρὰ τῷ Θεῷ καὶ παρὰ τοῖς ἀνθρώποις πλείστου ἀξία γίνεται.

§. 53. *Περὶ τοῦ συνδέσμου τῆς ἀρετῆς μετὰ τῆς θείας λατρείας καὶ μετὰ τῆς εὐδαιμονίας.*

Ἡ ἀρετή ἐστιν ἡ τοῦ Θεοῦ ἀληθὴς λατρεία, καὶ

(α) Πράξ. ι. 34. 35. (β) Ματθ. η. 10. (γ) Λουκ. ιζ'. 18. (δ) Ματθ. ιε'. 22. (ε) Ματθ. ε. 6. (ς) Ματθ. ς'. 33.

Digitized by Google

τῆς εὐδαιμονίας θεμέλιος ἀρραγής· τὸ μέν, ὅτι αὕτη ἐστὶν ἡ λογικὴ λατρεία, ἣν παραγγέλλει ἡμῖν ὁ θεόπνευστος Παῦλος, λέγων « Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ τὴν λογικὴν λατρείαν ὑμῶν, καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ἡμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ, τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον » (α). Τοῦτ' ἔστι, τότε μόνον δοξάζομεν τὸν Θεὸν, καὶ λατρεύομεν αὐτῷ, ἔργῳ καὶ ἀληθείᾳ, ὅταν ἀληθῶς σεβώμεθα καὶ τιμῶμεν τὴν ἁγίαν ἡμῶν σχέσιν τὴν πρὸς αὐτὸν καὶ τὴν πρὸς τὸν πλησίον, τὸ ζῶν τοῦ Θεοῦ ἀφομοίωμα, ἤτοι κατὰ τὸ τέλειον ἀρχέτυπον ἡμῶν τὸν Θεὸν, ζητῶμεν καὶ ἀγαπῶμεν τὸ ὄντως ἀγαθὸν, καὶ τῆς κλήσεως ἡμῶν ἄξιον. Διὰ τοῦτο καὶ ὁ Κύριος ἐντέλλεται, « Γίνεσθε οὖν ὑμεῖς τέλειοι, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστι » (β)· κατὰ ταῦτα δὲ καὶ ὁ θεῖος Ἰάκωβος γράφει, « Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ πατρὶ αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου » (γ). Ἀλλὰ καὶ ἀντιθέτως ἐξηγήσατο τὸ αὐτὸ ὁ Κύριος ἡμῶν παρῳδήσας τὸ τοῦ Ἡσαίου κατὰ πλείστων τῶν κατ' αὐτὸν Ἰουδαίων « Ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν, καὶ τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ » (δ). Ὅπου γὰρ οὐκ ἔστι φρονὶς οὔτε ζῆλος θερμὸς καὶ ἁγνὸς ὑπὲρ τῆς σχέσεως ἡμῶν πρὸς τὸν Θεὸν καὶ πρὸς τὸ ὁμόφυλον, καὶ ὑπὲρ τῶν αὐτῇ ἐπερειδομένων καὶ ἐξ αὐτῆς γεννωμένων

(α) Ῥωμ. ιϐ'. 1. (β). Ματθ. ε. 48. (γ) Ἰακωϐ. α. 27. (δ) Ματθ. ιε. 8. 9.

Digitized by Google

καθηκόντων, ἐκεῖ καὶ πᾶσα ἐξωτερικὴ ἐπιφάνεια, δόκησίς ἐστι κενὴ, καὶ οὐκ ἀληθὴς τοῦ Θεοῦ λατρεία. Ἀρραγὴς δὲ θεμέλιος τῆς εὐδαιμονίας ἐστὶν ἡ ἀρετὴ, ὅτι ἀμφότεραι ἰσχυρῶς ἀλλήλαις συνέχονται, καὶ ὁ σύνδεσμος οὗτος πολλαχῶς ἐν ταῖς ἁγίαις Γραφαῖς ἑρμηνεύεται. « Εἰπατέ, φησι, τῷ δικαίῳ, ὅτι ἀγαθὸν αὐτῷ ἔσται, καὶ αὐτὸς τρυγήσει τὸν καρπὸν τοῦ ἀγαθοῦ ἔργου αὐτοῦ » (α)· καὶ ἀλλαχοῦ « Ὁ γὰρ θέλων ζωὴν ἀγαπᾷν, καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον, ἐκκλινάτω ἀπὸ κακοῦ καὶ ποιησάτω ἀγαθὸν κτλ. » (β). Φύσει μὲν ἔγκειται καὶ τῇ ἀνθρωπίνῃ διανοίᾳ ἀδύνατον ἡγεῖσθαι, μᾶλλον δὲ ἀκατανόητον τὸ μὴ οὐχὶ ἐκ τῆς πρὸς τὴν ἀρετὴν σπουδῆς καὶ ἀγαθόν τι καὶ εὐφρόσυνον γίνεσθαι τῷ ἀνθρώπῳ, ἀλλὰ καὶ ἡ τοῦ Θεοῦ σοφία καὶ ἀγαθότης καὶ δικαιοσύνη, καὶ ἡ παντοδυναμία ἐγγυῶνται ἡμῖν περὶ τῆς ἀληθείας τούτου.

§. 54. Οὐ μέντοι, ἐπειδὰν τάχιστα ἄρξηταί τις τῶν ἰδίων καθηκόντων ἐπιμελεῖσθαι, αὐτίκα καὶ ἡ εὐδαιμονία παραγίνεται. Μέγα γὰρ καὶ τὰ ἔξωθεν ἰσχύουσι πρὸς αὐτὴν, καὶ κωλῦσαι πολλάκις δύνανται τὴν τοῦ ἐναρέτου ἀνθρώπου εὐδαιμονίαν· ἀλλ' οὐχ οὕτω καὶ διὰ παντὸς ἔσται, ἀλλ' ἀπολαύσει πάντως ποτὲ ὁ δίκαιος τοῦ καρποῦ τῶν ἔργων αὐτοῦ, ὥσπερ καὶ ὁ ἀψευδὴς τοῦ Θεοῦ λόγος, καὶ ἡ ἐσωτερικὴ τῆς ἡμετέρας συνειδήσεως φωνὴ τρανῶς ἡμᾶς βεβαιοῦσιν. Οὐ νομιστέον δὲ τὴν εὐδαιμονίαν οὕτω τῇ ἀρετῇ συνέχεσθαι, ὡς τὸ ἀποτέλεσμα τῇ αἰτίᾳ, εἰ γὰρ, θάτερον ἂν ἀναγκαίως τὸ ἕτερον προῆγε, καὶ οὐκ ἔτ' ἂν εἴη δῶρον Θεοῦ ἡ εὐδαιμονία, ἀλλὰ τῆς ἀνθρωπίνης δυνάμεως φυσικὸν προϊὸν, οὕτω πενιχρὸν,

(α) Ἡσαΐ. γ'. 10. (β). Α'. Πετρ. γ'. 10—14.

Digitized by Google

καὶ ἀτελὲς καὶ εὐμετάβολον, ὥσπερ καὶ ἡ παράγουσα αὐτὸ δύναμις, ὥστε καὶ τοῦ πάντων ἐναρετωτάτου μικρά τις καὶ οὐ πάνυ πολλοῦ ἀξία εὑρίσκοιτ' ἂν ἡ εὐδαιμονία. Ἀλλ' ἡ θεία Γραφὴ, ὡς ἔργον τῆς τοῦ Θεοῦ ἀπείρου σοφίας καὶ δυνάμεως καὶ ἀγαθότητος καὶ δικαιοσύνης καὶ ἁγιωσύνης ταύτην παρίστησι, τῆς ἀεὶ καὶ δυναμένης καὶ βουλομένης κατ' ἀξίαν ἀμείβειν ἕκαστον. Διὸ καὶ χρηπῖδι ἐφεδράζει ἀκραδάντῳ ἡ ἡμετέρα εὐδαιμονία, ἐὰν τῆς ἀρετῆς καρτερῶς ἐχώμεθα, καὶ ὡς ἔργον τῆς ὑψίστης σοφίας καὶ δικαιοσύνης, ποικίλη τίς ἐστι, καὶ ἀνάλογος ἀεὶ τῇ τοῦ ἀνθρώπου σπουδῇ καὶ τῇ ἀληθεῖ ἀξίᾳ. Καὶ τοιοῦτος μὲν ὁ τῆς ἀρετῆς καὶ τῆς εὐδαιμονίας σύνδεσμος.

§. 55. *Περὶ τῆς μακαριότητος ἀκριβέστερον.*

Περὶ εὐδαιμονίας δὲ καὶ μακαριότητος λέγουσι, προσεκτέον ἡμῖν ἐστι, μὴ ἐκ τῶν φαινομένων παραγόμενοι, τὴν σκιὰν αὐτῆς ἀντὶ τοῦ πράγματος λαμβάνωμεν, μακαριότητα ἡγούμενοι τὴν τῶν σωματικῶν ἡδονῶν ἀπόλαυσιν, ἢ τὴν περιουσίαν τῶν προσκαίρων ἀγαθῶν, καὶ τὸ τοῦ βίου ἀμέριμνόν τε καὶ ἀτάραχον· συντελεῖ μὲν γὰρ καὶ ταῦτα τῇ τοῦ ἀνθρώπου εὐημερίᾳ, οὐκ ἰσχύουσι δὲ μόνα μακάριον ἀποδεῖξαι τὸν ἄνθρωπον, οὐδὲ παρασχεῖν αὐτῷ τὴν σπουδαζομένην εὐδαιμονίαν· καὶ γὰρ καὶ ἡ κτῆσις αὐτῶν, πολλῶν πόνων δεῖται, καὶ ἡ διατήρησις, φροντίδων καὶ θλίψεων, καὶ οὐδ' οὕτως ἀσφαλῆ εἰσιν, ἔτι δὲ καὶ παντελῶς ἀνέφικτα τοῖς πολλοῖς, ὡς τῷ μὲν τῆς ἱκανότητος, τῷ δὲ τοῦ καιροῦ, ἄλλῳ δὲ καὶ ἀμφοτέρων πρὸς τὴν κτῆσιν ἐλλειπόντων. Τὴν δὲ μακαριότητα ἀσφαλές τι καὶ μόνιμον εἶναι δεῖ, εἶτα δὲ καὶ παντὶ τῷ ἔχοντι ἐπιμελεῖσθαι τῆς ἀρετῆς εὐπόριστον.

Digitized by Google

Κἀκεῖνο δὲ ῥητέον, ὅτι τῆς μακαριότητος, ἑτέρα μὲν ἡ ἐν τῷ παρόντι βίῳ ἐφικτὴ, ἑτέρα δὲ ἡ ἐν τῷ μέλλοντι προσδοκωμένη, καὶ ἡ μὲν, ἐν τῇ εὐαρέστῳ γαλήνῃ τῆς ψυχῆς ὑφίσταται, τῇ ἀεὶ τῷ ἐναρέτῳ, ὁτὲ μὲν ἐκ τῆς ἀγαθῆς συνειδήσεως, ὁτὲ δὲ ἐκ τῆς σταθερᾶς αὐτοῦ πεποιθήσεως ἐπὶ τὸν Θεὸν παραγινομένη. Οἶδε γὰρ, ὅτι « ὀφθαλμοὶ αὐτοῦ ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν » (α), καὶ δύναται λέγειν μετὰ τοῦ μακαρίου Παύλου « Ἡ καύχησις ἡμῶν αὕτη ἐστὶ, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ » (β). Ἡ δὲ τοιαύτη μακαριότης δύναται καὶ πᾶσι τοῖς ἐν ἀνθρώποις δεινοῖς συνεῖναι, οἷον τῇ πενίᾳ, τῇ ἀνάγκῃ, τῇ ἔξωθεν καταπιέσει, ταῖς σωματικαῖς ὀδύναις, καὶ πάσῃ ἄλλῃ ἀπορίᾳ. Διὰ τοῦτο ἔλεγεν ὁ Κύριος πρὸς τοὺς ἑαυτοῦ μαθητὰς, « Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ » (γ). Ἦ γὰρ, οὐκ ἦν αὐτὸς μακαριώτατος, ὅτε διήρχετο εὐεργετῶν (δ), καίτοι τοιαύτῃ πενίᾳ συζῶν, ὥστε καὶ λέγειν, « Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ; » (ε)· Οὐκ ἦν, ὅτε ἀπῆγον αὐτὸν εἰς τὸ σταυρῶσαι, καὶ ἐπὶ τοῦ σταυροῦ, ὅτε τὸ πνεῦμα τῷ ἰδίῳ πατρὶ παρεδίδου; Οὐκ ἦν μὲν πάντως ὁρατὴ ἐκεῖ ἡ μακαριότης ὡς ἔγκλειστος ἐν αὐτῷ, ἦν δ' ὅμως μακαριότης ἀληθής. Ὅλως δὲ, ἡ μακαριότης κατάστασίς ἐστιν οὐ τοῖς τοῦ σώματος ὀφθαλμοῖς ὁρατὴ, ἀλλὰ μόνῳ τῷ κατέχοντι ταύτην αἰσθητή. Ἀναμνησθήτω τις ἐνταῦθα τοῦ σοφοῦ Σόλωνος καὶ τοῦ πλουσίου Κροί-

(α) Α'. Πετρ. γ'. 12. (β) Β'. Κορ. α. 12. (γ) Ματθ. ε. 11. (δ) Πραξ. ι'. 38. (ε) Ματθ. η'. 20.

Digitized by Google

σου, λέγει δὲ καὶ ὁ Ἀπόστολος « Ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας » (α). Καὶ τοιαύτη μὲν ἡ ἐν τῷ παρόντι ἐφικτὴ μακαριότης· ἡ δὲ ἐν τῷ μέλλοντι ὑπὸ τοῦ ἐναρέτου προσδοκωμένη μόνον ἐκ τῆς θείας Γραφῆς γνωσθείη ἄν. Διδάσκει οὖν ὑφίστασθαι ταύτην, ά, ἐν τῇ τελείᾳ ἀπαλλαγῇ πάντων τῶν δεινῶν, τῶν ἐν τῷ παρόντι συμβαινόντων ἡμῖν, τῶν μὲν ἐκ τῆς ἰδίας ἡμῶν ἀσθενείας τε καὶ διαφθορᾶς, τῶν δὲ ἐκ τῆς σχέσεως ἡμῶν πρὸς τὸ ὁμόφυλον, καὶ ἐξ ἄλλων τινῶν· β', ἐν τῇ πολλῷ τελειοτέρᾳ ἐπιγνώσει τοῦ Θεοῦ καὶ ἀγάπῃ καὶ ἐξομοιώσει πρὸς αὐτόν· γ', ἐν τῇ οἰκειοτέρᾳ κοινωνίᾳ καὶ τῷ συνδέσμῳ μετὰ τῶν μακαρίων πνευμάτων καὶ πάντων τῶν ἀπ' αἰῶνος δικαίων καὶ ἁγίων· δ', ἐν τῇ αἰωνίῳ καὶ ἀλήκτῳ πάντων τούτων ἀπολαύσει. Τοσαῦται δ' εἰσὶν αἱ περὶ τούτου μαρτυρίαι, ὥστε ἀδύνατον πάσας ἐνταῦθα παραγαγεῖν, ἱκανὸν δὲ ὑπομονῆσαί τινων· καὶ πρῶτον Ἰωάννης ὁ τοῦ Κυρίου ἠγαπημένος μαθητὴς λέγει « Οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι, οὐ δὲ μὴ πέσῃ ἐπ' αὐτοὺς ὁ ἥλιος, οὐδὲ πᾶν καῦμα » (β)· εἶτα δὲ ὁ θεῖος Παῦλος « Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν » (γ). Πάλιν δὲ ὁ ἐπιστήθιος τοῦ Κυρίου μαθητὴς « Ἀγαπητοὶ, λέγει, νῦν τέκνα Θεοῦ ἐσμὲν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα, οἴδαμεν δὲ, ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθὼς ἐστί » (δ)· καὶ αὐτὸς δὲ τελευταῖον ὁ Κύριος ἡμῶν εἴρηκε περὶ τούτου « Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν » (ε) Ἀλλὰ ταῦτα πάντα οὐκ εἰσὶν ἑρμηνεία τελεία τῆς ἐν

(α) Α'. Τιμ. ς'. 6. (β) Ἀποκαλ. Ζ'. 16. (γ) Α'. Κορ. β'. 9. (δ) Α'. Ἰωαν. γ'. 2. (ε) Ματθ. ιγ'. 43.

Digitized by Google

τῷ μέλλοντι ἀποκειμένης τῷ τῆς ἀρετῆς γνησίῳ φίλῳ μακαριότητος, οὐ γὰρ ἐνδέχεται τοιαύτην τοῖς ἀνθρώποις γενέσθαι, ἀλλὰ περιγραφή τις μόνον καὶ αὕτη ἀτελὴς διὰ τὴν τοῦ ἀνθρωπίνου νοὸς φυσικὴν σθένειαν. Ἀλλ', ὡς εἴρηται, τὴν ἀρετὴν ζητητέον καὶ σπουδαστέον περὶ αὐτὴν οὐ διὰ τὰς ἐλπίδας ταύτας μόνον, ἀλλὰ καὶ δι' ἑαυτήν· οὕτω γὰρ ἂν εἴη ὁ δίκαιος ἐντελῶς μακάριος, ὅταν ἀμφότερα, ὅσον ἔνεστι, κατέχῃ.

ΚΕΦΑΛΑΙΟΝ ς'.

§. 56. *Τῆς κακίας καὶ ἁμαρτίας ὅρος καὶ αἰτία.*

Ἡ κακία οὐ μόνον ἀρετῆς ἐστιν ἔλλειψις, ἀλλὰ καὶ τὸ ταύτῃ ἀντίθετον. Ἔστι γάρ ῥοπὴ τῆς ἀνθρωπίνης φύσεως εἰς διαγωγὴν ἐναντίαν τῇ πρὸς τὸν Θεὸν καὶ τῇ πρὸς τὸν πλησίον ἡμῶν σχέσει, καὶ τῇ εὐταξίᾳ, ἣν ὁ ἠθικὸς νόμος τηρεῖν ἀεὶ ἐν ἡμῖν διακελεύεται. Ἡ δὲ τοιαύτη ῥοπὴ εἰς φαύλην ὄντως ἐπ' εὐκαιρίας καὶ διεστραμμένην διαγωγὴν μεταβάλλεται· διὸ καὶ ἁμαρτωλὸς, ὁ παρανομίᾳ συζῆν προαιρούμενος, καὶ βίον διεφθαρμένον ἀσπαζόμενος. Τοιαύτη δέ τις ἦν καὶ ἡ τῶν πρωτοπλάστων ἁμαρτία, καθάπερ καὶ πᾶσα ἄλλη παρὰ τὸν ἠθικὸν νόμον προαιρετικῶς πραττομένη πρᾶξις· διότι καὶ ἡ προπατορικὴ ἁμαρτία, ὡς ῥοπὴ τῆς ἀνθρωπίνης φύσεως πρὸς τὴν ἀντικειμένην τῷ ἠθικῷ νόμῳ διαγωγὴν, οὐδόλως προσῆκε τῇ ὑπὸ τοῦ νόμου σκοπουμένῃ καὶ παραγγελλομένῃ εὐταξίᾳ· τάχιστα γὰρ, ἐπικρατήσασα, εἰς πρᾶξιν καὶ διαγωγὴν ὄντως φαύλην ἀπέβη. Τὴν δὲ ῥοπὴν ταύτην τῆς ἀνθρωπίνης φύσεως παράγει ἡ πίστις ἐκ τῆς τῶν πρωτοπλάστων ἁμαρτίας, ἣν ὡς πολλῶν κακῶν αἰτίαν, καὶ πηγὴν πάντων

Digitized by Google

τῶν ἑκουσίως ὑπὸ τῶν ἀνθρώπων ἁμαρτανομένων δείκνυσι. Κυριώτατα δὲ τῶν κακῶν τούτων εἰσὶ ταῦτα, ἁ, ἐπιθυμία μὲν σφοδρὰ καὶ ἀλόγιστος τῶν ταῖς αἰσθήσεσιν ἡδέων, ἀποστροφὴ δὲ τῶν ἀνιαρῶν· β΄, ἀκηδία καὶ ἀηδία παράδοξος εἰς τὸ μανθάνειν καὶ κατανοεῖν, ὡς ἔδει, τὴν πρὸς τὸ θεῖον καὶ πρὸς τὸ ὁμόφυλον ἡμῶν σχέσιν, ἀντίστασις δὲ εἰς τὸν ἐπ᾽ αὐτῇ τῇ σχέσει στηριζόμενον ἠθικὸν νόμον· γ΄, ὀλιγωρία μεγάλη τοῦ παραβάλλειν καὶ σταθμίζειν ἑκάστην πρᾶξιν πρὸς τὸν ἠθικὸν νόμον· δ΄, ἀμέλεια καὶ ἀδιαφορία πρὸς πάντα τὰ τῇ ἀρετῇ βλαβερὰ καὶ ἀνατρεπτικά. Πάντα δὲ ταῦτα ὁμοῦ, καὶ ἕκαστον ἰδίως παρέχουσι διηνεκῶς τῇ ἐν τῇ φύσει τοῦ ἀνθρώπου ῥοπῇ ἀφορμὰς, ἵνα τἀναντία τῇ ὑπὸ τοῦ ἠθικοῦ νόμου παραγγελλομένῃ εὐταξίᾳ πράττῃ. Τούτοις δὲ προστίθενται ὡς βοηθητικὰ τῇ εἰρημένῃ ῥοπῇ καὶ τάδε, ἁ, ἡ κακὴ καὶ διεφθαρμένη ἀγωγή· β΄, ἡ ἐλλειπὴς καὶ ψευδὴς διδασκαλία εἰς τὰ τῆς πίστεως· γ΄, τὰ κακὰ παραδείγματα καὶ αἱ τοιαῦται συναναστροφαί· δ΄, πολλὰ τῶν περὶ ἡμᾶς ἐρεθίζοντα καὶ σφοδρῶς ἀνακινοῦντα τὰς ἐπιθυμίας τῆς σαρκός.

§. 57. Ἡ μὲν οὖν κακὴ ἀγωγὴ συντελεῖ τῇ τοῦ ἀνθρώπου διαφθορᾷ, ὅτι ἐκ παίδων ὁρᾷ καὶ μανθάνει παρά τε τῶν γονέων καὶ τῶν ἄλλων οἰκείων καὶ τῶν συμπαικτόρων αὐτοῦ πολλὰς ἀπάτας καὶ προλήψεις καὶ κακοηθείας, πολλὴν ἐχούσας τὴν ἐπιῤῥοὴν εἰς τὸ ἦθος καὶ τὴν πολιτείαν αὐτοῦ, ἄλλως τε, καὶ ἂν διὰ χρόνου μακροῦ μὴ συνίδῃ ταύτας μηδὲ νοήσῃ, ὅτι τοιαῦταί εἰσιν. Ἐκ παίδων πολλάκις διδασκόμενος μανθάνει τὰ πάντα κατὰ τὴν ἐπιφάνειαν ἢ τὴν ἐξ αὐτῶν πρόσκαιρον βλάβην ἢ ὠφέλειαν, οὐχὶ δὲ κατὰ τὴν ἐσωτερικὴν ἀξίαν τιμᾶν· ἀλλὰ πόσαι κακίαι καὶ ἡδύνουσι μᾶλλον,

Digitized by Google

καὶ πρόσκαιρον κέρδος φέρουσι μεῖζον, ἢ ἡ αὐστηρὰ καὶ καθαρὰ ἀρετή!

Ἀλλὰ καὶ ἡ ἐλλιπὴς ἢ ψευδὴς διδασκαλία εἰς τὰ τῆς πίστεως οὐχ ἧττον παραγωγὸς τῆς κακίας γίνεται. Εἰ γάρ τις ἐκ παίδων διδάσκεται εἰς μόνον τὸ ἐξωτερικὸν τῆς πίστεως ἀφορᾶν, καὶ τοῦτο μόνον τηρεῖν, ῥαδίως ἐπεισέρχεται αὐτῷ ἡ κακὴ καὶ ψευδὴς δόξα, ὅτι οὐκ ἐπὶ τὴν ἠθικὴν καὶ χρηστὴν ἀγωγὴν ὁ Θεὸς ἐπιβλέπει, ἐὰν μόνον τὰ τῆς ἐξωτερικῆς λατρείας ἀκριβῶς πράττωνται. Ἐκ δὲ τούτου πολλοὶ πολλαχοῦ φαίνονται ἀκριβεῖς μὲν καὶ λίαν προσεκτικοὶ πᾶσι τοῖς πρὸς τὴν ἐξωτερικὴν λατρείαν, ἔργα δὲ παράνομα πολλάκις ἐργαζόμενοι παῤῥησίᾳ, καὶ μετὰ δόλου καὶ ἀδικίας πολιτευόμενοι, καὶ ἔχθραν καὶ μῖσος κατὰ τοῦ πλησίον ἐν τῇ καρδίᾳ περιφέροντες, καὶ κριταὶ ἀδυσώπητοι τῶν ἄλλων γινόμενοι, ὅσοι ἂν μὴ ἱκανῶς θεραπεύωσιν αὐτούς, ἢ μὴ κατὰ τὸ αὐτοῖς ἀρέσκον διάγωσιν.

Οὕτω δὲ καὶ τὸ κακὸν παράδειγμα· οἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων οὐ κατά τινας ἀρχὰς τὸν βίον διάγουσιν, ἀλλ' ἢ κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας, ἢ ὡς ἂν ἄλλους ὁρῶσιν διάγοντας, ἢ ἀκούουσιν. Μιμητικώτατοι δὲ μάλιστα οἱ νέοι· διὸ καὶ πολλοὶ τούτων ἐκ τῆς ἄγαν ταύτης ῥοπῆς εἰς τὸ μιμεῖσθαι τοὺς ἄλλους, εἰς τὸ βάραθρον τῆς διαφθορᾶς ἐμπίπτουσιν. Ἀλλὰ καὶ αὐτοὶ οἱ ταῖς ἀρίσταις ἀρχαῖς κατηρτισμένοι, οὐκ ἀσφαλεῖς ἀεὶ ἀπὸ τοῦ μιάσματος τοῦ κακοῦ παραδείγματος διαμένουσιν. « Ὁ γὰρ ἁπτόμενος πίσσης μολυνθήσεται, κατὰ τὸν Σειρὰχ, καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιωθήσεται αὐτῷ » (α). Ἔτι δὲ καὶ αἱ κακαὶ συναναστροφαὶ οὐχ ἧττον

(α) ιγ'. 1.

Digitized by Google

αἴτιαι διαφθορᾶς εἰσι. « Μὴ πλανᾶσθε ἀδελφοὶ, φησὶν ὁ μακάριος Παῦλος (α), φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· » ἀεὶ γάρ τις καὶ λεληθότως ἀποφέρεταί τι καὶ τοῦ βίου καὶ τοῦ φρονήματος τῶν, οἷς ἐπὶ πολὺν χρόνον συνδιάγει, καὶ οὓς συνεχῶς ὁρᾷ· διὸ καὶ μέγα λυσιτελεῖ τὸ ἐξετάζειν ἀεὶ, τίνες εἰσὶν, οἷς συζῶμεν καὶ συναναστρεφόμεθα. « Μετὰ γὰρ ὁσίου, ὅσιος ἔσῃ, καὶ μετὰ ἀθώου, ἀθῶος ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψῃ. » (β). Πολλὰ δὲ καὶ ἄλλα κατὰ συγκυρίαν προσπίπτοντα, καὶ τὴν φαντασίαν ἰσχυρῶς ἐρεθίζοντα, ἐπικίνδυνα πρὸς τὸ ἦθος γίνονται· οἷον, ἡλίκον ἐρεθισμὸν, καὶ ταραχὴν καὶ ἀταξίαν ἴσχυσε πολλάκις παραγαγεῖν καὶ ἓν βλέμμα ἀφύλακτον εἰς ὅ,τι ἐξάπτει τὴν φαντασίαν καὶ τὰς αἰσθήσεις προσβάλλει. Ἔτι δὲ μᾶλλον ἡ ἀρετὴ κινδυνεύει, ἐπειδάν τις οἴκοθεν τὰς εἰς τὰ τοιαῦτα εὐκαιρίας ζητῇ, ἢ πρὸς θεάματα ἄσεμνα κεχηνὼς, ἢ πλάσματα τῆς φαντασίας ἀναγινώσκων, ἢ λόγων τοιούτων ἀκροώμενος. Ἔτι δὲ καὶ ἡ τοῦ ἔργου ἰδιότης, περὶ ὅ τις ἀσχολεῖται, καὶ ἡ εὐτυχία καὶ ἡ δυστυχία, καὶ πολλὰ ἄλλα παρέχοιεν ἂν ἀφορμὴν τῇ ἀρετῇ, ὥστε κινδυνεύειν, καίτοι τοῦτο ἐκ τοῦ ἀνθρώπου μᾶλλον καὶ τῆς αὐτοῦ γνώμης, ἢ ἐκ τῶν πραγμάτων γίνεται· ταῦτα γὰρ ἀφορμὴν μόνον παρέχει πρὸς τὴν τοῦ ἠθικοῦ νόμου ἀθέτησιν, καὶ τὴν τῶν καθηκόντων, ἅτινα ἐκ τῆς σχέσεως ἡμῶν πρὸς τὸν Θεὸν καὶ πρὸς τὸ ὁμόφυλον παράγονται. Διὸ καὶ ἡ θεία Γραφὴ λέγει· « Ἕκαστος πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος » (γ).

§. 58. Ἡ, περὶ ἧς ὁ λόγος, ἐπιθυμία οὐδὲν ἄλλο ἐστὶν, ἢ ἡ πρὸς τὴν εὐπάθειαν τῶν αἰσθήσεων ὑπερισχύουσα ροπὴ τοῦ ἀνθρώπου, δι' ἣν ἀπερισκέπτως καὶ

(α) Α'. Κορ. ιέ. 33. (β) Ψαλμ. ιζ'. 25· (γ) Ἰακώβ. ά. 14.

Digitized by Google

μεθ' ὁρμῆς ἰσχυρᾶς χαίνει μὲν πρὸς τὴν ἡδονήν, ἀποστρέφεται δὲ μετὰ φρίκης τὸ ταῖς αἰσθήσεσιν ἀηδές. Ἐκ δὲ τούτων ἀμφοτέρων πολυτρόπως παραφέρεται εἰς ἀθέτησιν τῆς ἀρετῆς καὶ εἰς τὴν πρᾶξιν τῆς ἁμαρτίας. Πολλὰ γὰρ ὑπάρχουσιν ἡδέα μὲν τῇ αἰσθήσει, τῇ δὲ πρὸς τὸ θεῖον καὶ πρὸς τὸ ὁμόφυλον ἡμετέρᾳ σχέσει ἐναντία καὶ ἀνάρμοστα, καὶ διὰ τοῦτο ὑπὸ τοῦ ἠθικοῦ νόμου κωλυόμενα. Ἐὰν οὖν ἀλογίστως διὰ τὸ τῆς ἐπιθυμίας σφοδρὸν καὶ θερμὸν ἀπολαύωμεν τούτων ὡς ἡδέων τῇ αἰσθήσει, ἐκτρεπόμεθα τοῦ ἠθικοῦ νόμου καὶ τῆς ἱερᾶς ἐκείνης σχέσεως, ἣπερ ὁ νόμος ἐπερείδεται, καὶ τῶν ἐξ αὐτῆς καθηκόντων· ὅπερ ἐστὶ πράττομεν τὴν ἁμαρτίαν. Ἀλλ' ὡσαύτως ὑπάρχουσι καὶ πολλὰ τῶν τῇ αἰσθήσει ἀηδῶν, ἅτινα χρὴ ἑκουσίως ἀναδέχεσθαι, καὶ μετὰ γενναιότητος ὑπομένειν, ἵνα διατηρῆται καὶ μὴ διαῤῥήγνυται ἡ εἰρημένη σχέσις· διὸ καὶ ὑπὸ τοῦ ἠθικοῦ νόμου παραγγέλλονται· Ἐὰν οὖν καὶ ταῦτα ἀλογίστως, ὡς ἀπαρέσκοντα τῇ σαρκὶ, φεύγῃ τις, πάλιν ἀθετεῖ τὸν νόμον, πάλιν ἀντιπράττει τῇ ἱερᾷ σχέσει, πάλιν πράττει τὴν ἁμαρτίαν. Ἡ μὲν οὖν πρώτη διὰ τῆς παρανόμου καὶ παρὰ τὸ καθῆκον ἀπολαύσεως τῶν ἡδέων γίνεται· ἡ δὲ δευτέρα, διὰ τῆς παρανόμου καὶ παρὰ τὸ καθῆκον φυγῆς τῶν ἀηδῶν· ἐν ἀμφοτέραις δὲ προσβάλλεται σφοδρῶς ἡ ἀρετή. Κἂν δὲ, μετὰ τὸ πρῶτον ἁμάρτημα, πάλιν ἐμμένῃ τις ἔτι μᾶλλον τῷ τῆς σαρκὸς θελήματι, τούτου ἡ ἀρετὴ κατὰ κράτος ἀπόλωλε, καὶ αὐτὸς μὲν ἀπονενοημένος ἁμαρτωλός ἐστιν, ἡ δὲ κατάστασις αὕτη ὀνομάζεται κακία καὶ διαφθορά. Ἐκ τούτων οὖν δηλοῦται, τί ἂν εἴη πειρασμὸς εἰς ἁμαρτίαν· περίστασις δηλονότι, καθ' ἣν τὸ ἀθέμιτον παρίσταται ὡς ἡδὺ τῷ ἀνθρώπῳ, καὶ τῷ ἡδεῖ δελεάζει αὐτὸν, καὶ ἐξέλκει εἰς

Digitized by Google

τὴν πρᾶξιν αὐτοῦ, ὥστε κινδυνεύει ἄπιστος τῇ ἀρετῇ καὶ τῷ καθήκοντι γενόμενος ἁμαρτῆσαι. Ὁ πειρασμὸς ἄρα καὶ εὐκαιρία τυγχάνει ἐπαμφοτερίζουσα, ἢ εἰς αὔξησιν τῆς ἀρετῆς, ἢ εἰς ζημίαν καὶ ἀπώλειαν αὐτῆς. Διὸ καὶ ἡ Γραφὴ μακαρίζει τοὺς ὑπομένοντας πειρασμόν· « Μακάριος ἀνὴρ, ὃς ὑπομένει πειρασμὸν, ὅτι δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζωῆς, » κτλ. (α). Προέρχονται δὲ κυρίως οἱ πειρασμοί· ἀ, ἐκ τοῦ αἰσθητικοῦ τοῦ ἀνθρώπου καὶ τῶν ποικίλων ἀναγκῶν αὐτοῦ· β', ἐκ τοῦ ἰδιώματος τῶν περὶ αὐτὸ πραγμάτων· γ', ἐκ τῆς ἑκάστου γνώμης. Καὶ ὡς μὲν ἁπλαῖ τοῦ νοὸς παραστάσεις οὔτε κακαί εἰσιν, οὔτε ζημίαν φέρουσι, τῷ δὲ ἀτιμένως τούτοις προσκειμένῳ, καὶ ὑποχωροῦντι αὐτοῖς, ἄλλως τε καὶ ἐπειδὰν τὸ ἀθέμιτον αὐτῶν συνῇ, λίαν ἐπικίνδυνοι καὶ βλαβεροί. « Ἕκαστος, φησι, πειράζεται, ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος, εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα, τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα, ἀποκύει θάνατον » (β). Ὅταν δὲ καὶ ἑκουσίως ζητῇ καὶ καλῇ τοὺς πονηροὺς λογισμοὺς, κἂν ὕστερον ἀγωνισθῇ ἀπελάσαι αὐτοὺς, οὐκ ἔτι ἀθῶος ἔσται, ὅτι ἑκουσίως ἐφείλκυσεν αὐτούς.

§. 59. Οὐδεὶς μὲν κυρίως ὑπὸ τοῦ Θεοῦ πειράζεται εἰς τὸ κακὸν, ὡς φησιν ὁ μακάριος Ἰάκωβος· « Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα » (γ). Ἀλλ' οὐχ ἧττον ἀληθὲς καὶ ὅτι συγχωρεῖ, ἵνα ποικιλοτρόπως ἔλθωμεν εἰς πειρασμὸν, ἢ προηγουμένως εὐδοκῶν πειράζεσθαι ἡμᾶς, ἢ παραχωρῶν, ἀλλ' ἀεὶ πρὸς ἀγαθὸν τέλος, πρὸς δοκι-

(α) Ἰακωβ. ά. 12—15. — Ὅπως οὖν ᾖ τις τὰ τοῦ Ἀποστόλου κατανοήσῃ, ἀναμνησθήτω τῶν πρωτοπλάστων, ἐπιστησάτω δὲ τὸν νοῦν καὶ ἐπὶ τὴν ἰδίαν πεῖραν. — (β) Ἰακώβ. ά. 14=15. (γ) Ἰακώβ. ά. 13.

Digitized by Google

μασίαν καὶ στεφάνους πλείους (α). Οὕτω διδάσκει ὁ θεῖος Παῦλος λέγων· « Πιστὸς δὲ ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν » (β). Μάρτυρες δὲ τούτου, αὐτὸς ὁ μακάριος Παῦλος, καὶ ὁ Ἰὼβ, καὶ ὁ Τωβίας, καὶ ἄλλοι πλεῖστοι ὅσοι. Γίνεται δὲ ταῦτα ἀ, ἵνα διὰ τῶν πειρασμῶν γυμνάζηται καὶ κρατύνηται ἡ ἀρετὴ ἡμῶν « Ἡ γὰρ δύναμίς μου, φησὶν, ἐν ἀσθενείᾳ τελειοῦται » (γ)· β', ἵνα μᾶλλον τῇ ἡμετέρᾳ ἀσθενείᾳ τε καὶ ἀνικανότητι προσέχωμεν· « Ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατὰν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι » (δ)· γ', ἵν' ἀπιστεῖν μὲν ἡμῖν αὐτοῖς, πεποιθέναι δὲ μᾶλλον ἐπὶ τὸν Θεὸν διδασκώμεθα, καὶ εἰς αὐτὸν ἀτενίζειν καὶ προστρέχειν ἐν τοῖς κινδύνοις καὶ ἐν ταῖς ἀνάγκαις· δ', ἵνα ἐκ τοῦ ὕπνου εἰς ἐνέργειαν μείζονα καὶ νηφαλιότητα ἐξεγειρώμεθα (ε)· έ, ἵνα καιρὸν λάβωμεν εἰς νίκην μεγάλην· « Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ (ς).

§. 60. *Κανόνες περὶ τῶν πειρασμῶν.*

Α'. Μήτε καταφρόνει τῶν πειρασμῶν, μήτε ζήτει αὐτοὺς μετ' ἐλαφρίας, ἀλλὰ καὶ ἐπιόντων, μὴ ἀποδειλία. Τὸ μὲν γὰρ ἀμερίμνους τε καὶ ὑβριστὰς ἀπεργά-

---

(α) Ἴδε Θεοφυλ. Ἑρμ. ἐν τῇ πρὸς Ἑβρ. ιϐ'. 5. (β) Α'. Κορ. ί. 13. (γ) Β'. Κορ. ιϐ'. 9. — « Οὐδὲ ἐπιόντας κωλύει τοὺς πειρασμοὺς ὁ Θεὸς, πρῶτον μὲν, ἵνα μάθῃς ὅτι πολλῷ γέγονας ἰσχυρότερος, εἶτα δὲ, ἵνα μένῃς μετριάζων, καὶ μηδὲ τῷ μεγέθει τῶν δωρεῶν ἐπαρθῇς, τῶν πειρασμῶν συστέλλειν σε δυναμένων. » Χρυσόστ. Ὁμιλ. ιγ', εἰς Ματθ. — (δ) Β'. Κορ. ιϐ'. 7. — (ε) « Νυστάζοντας ἡμᾶς καὶ καταπίπτοντας ἀφυπνίζειν εἴωθε τῶν πειρασμῶν ἡ φύσις, καὶ διεγείρειν, καὶ εὐλαβεστέρους ποιεῖν. » Χρυσόστ. Ὁμιλ. ιδ'. πρὸς τοὺς ἐν Ἀντιοχ. — (ς) Α'. Κόρ. ί. 12.

Digitized by Google

ζεται· τὸ δὲ τὸν μὲν κίνδυνον αὔξει, τὸ δὲ θάρρος καὶ τὸν λογισμὸν ἀφαιρεῖται, οἷς ἕπεται ἡ πτῶσις.

Β'. Ἀγρύπνει προνοητικῶς, καὶ μάχου γενναίως, ἐνατενίζων εἰς τὸν Θεὸν, καὶ φυλαττόμενος ἀπὸ πάντων ἅπερ ἂν ἡ ὑπὸ τοῦ θείου νόμου κατηρτισμένη συνείδησις ἀποδοκιμάζῃ. Ὅσῳ γὰρ θαμινώτερόν τις τὰς ἀθεμίτους τῆς σαρκὸς ὀρέξεις ἀπαναίνεται, τοσούτῳ μᾶλλον καὶ ἡ ἰσχὺς αὐτῶν ἀσθενεῖ, καὶ ὁ κίνδυνος τοῦ πειρασμοῦ ἐλαττοῦται, τὸ δ' ἀμέριμνον προσέλκει καὶ ὑποθάλπει αὐτούς· « Ἐν τῷ καθεύδειν τοὺς ἀνθρώπους, λέγει ὁ Σωτὴρ ἡμῶν, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς, καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν » (α). Ἀλλὰ καὶ ἐν αὐτῷ τῷ ἀγῶνι οὐδὲν βλαβερώτερον τῆς δειλίας καὶ ἀστασίας, ἢ τῆς νωθρείας. Τοῦτο γὰρ καὶ ἡ πεῖρα διδάσκει, καὶ ἡ Γραφὴ βεβαιοῖ λέγουσα· « Ἡ καρδία μου ἐταράχθη. Ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ » (β). Καὶ ἐν πολλοῖς μὲν τῶν πειρασμῶν προσήκει γενναίως ἀνθίστασθαι, ἐν ἄλλοις δὲ κράτιστον τὸ πάντα καταλιπόντα φεύγειν, ἐν ἀμφοτέροις δὲ θάρρους δεόμεθα καὶ σταθερότητος, ἵνα πιστοὶ τῇ τε ἀρετῇ καὶ τῷ καθήκοντι διαμένωμεν.

Γ'. Μνημόνευε τοῦ θανάτου καὶ τοῦ τάφου, εἰς ὃν ποτε, ἴσως δὲ καὶ μετ' ὀλίγον, καταβήσῃ.

Δ'. Ἀναλογίζου τὴν φοβερὰν κρίσιν, ἐν ᾗ παρὰ τοῦ παντογνώστου καὶ ἀδεκάστου κριτοῦ αἰτηθήσῃ λόγον περὶ παντὸς ἔργου σου καὶ λόγου.

Ε'. Διανοοῦ τὸν οὐρανὸν καὶ τὸν ἀποκείμενόν σοι ἐκεῖ, ἐὰν γενναίως ἀγωνισάμενος νικήσῃς, ἀμαράντινον τῆς δόξης στέφανον· « Ὁ νικῶν, φησι, δώσω αὐτῷ

(α) Ματθ. ιγ'. 25. (β) Ψαλ. λζ'. 10.

Digitized by Google

καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κἀγὼ ἐνίκησα, καὶ ἐκάθισα μετὰ τοῦ πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ » (α).

ς'. Ἀναλογίζου τὴν ὀδυνηρὰν κόλασιν, ἣν σεαυτῷ παρασκευάζῃ ἡττηθείς, ἢ γοῦν προκαταληφθείς, ἢ συναρπαγεὶς ἐν τῷ πειρασμῷ.

Ζ'. Μέμνησο, ὅτι ἐπιβλέπει σε ὁ Θεὸς ἐν τῷ ἀγῶνι, καὶ οὐκ ἔστιν ἀργὸς τῶν τοιούτων θεατὴς, ἀλλὰ καὶ ἐνισχύει τὸν ἀσθενῆ, καὶ θάρρος ἐμπνέει τῷ δειλῷ καὶ μικροψύχῳ, εἰ πεποιθότως εἰς αὐτὸν ἀτενίζοι.

Η'. Τρέπου ταχέως εἰς ἔργον, δεόμενον καὶ τῆς τοῦ πνεύματος καὶ τῆς τοῦ σώματος ἅμα ἐνεργείας. Διὰ τούτων οὖν καὶ τῶν τοιούτων οὐ χαλεπῶς ἀντιστησόμεθα τοῖς πειρασμοῖς, καὶ τὴν νίκην ἀσφαλῶς ἀρούμεθα. Καὶ ἡττηθέντας μὲν, λυπηθῆναι χρὴ ἐπὶ τούτῳ· πῶς γὰρ οὔ; εἰ σωματικῆς ἕνεκα ἡδονῆς ἢ ἄλλου κέρδους ἐφημέρου τὴν ἀξίαν ἡμῶν κατηισχύναμεν, ἀθέμιτα πράξαντες, καὶ τοῦ ἠθικοῦ νόμου παραβάται γενόμενοι; οὐ δεῖ δὲ μικροψυχεῖν τε καὶ ἀποδειλιᾷν, ἀλλὰ νηφαλιωτέρους τε καὶ προνοητικωτέρους γίνεσθαι· νικήσαντας δὲ, οὐ χρὴ ὑπνώττειν καὶ ἀμερίμνως διάγειν, ἐν ἀσφαλείᾳ τελείᾳ νομίζοντας εἶναι ἤδη, οὐδὲ ἐφ' ἡμᾶς αὐτοὺς πεποιθέναι, ἀλλ' ἐπὶ τὴν τοῦ Θεοῦ πατρικὴν χεῖρα, τὴν ἀνορθοῦσαν καὶ διακρατοῦσαν ἡμᾶς, καὶ ταύτην μεγαλύνειν μετὰ πάσης εὐχαριστίας ἐπὶ πάσῃ νίκῃ· « Τὰ ἐλέη Κυρίου, ὅτι οὐκ ἐξέλιπέ με, ὅτι οὐ συνετελέσθησαν οἱ οἰκτιρμοὶ αὐτοῦ » (δ).

§. 61. *Περὶ τῶν σατανικῶν πειρασμῶν.*

Καὶ ἐν ταῖς ἁγίαις Γραφαῖς καὶ ἐν τοῖς τῶν ἁγίων

(α) Ἀποκαλ. γ'. 21. (δ) Θρην. Ἱερ. γ'. 22.

Digitized by Google

Πατέρων τῆς ἐκκλησίας συγγράμμασι πολλάκις γίνεται μνεία περὶ τῶν σατανικῶν πειρασμῶν, ἐξ ὧν γίνεται ἁ, ἡ πώρωσις τοῦ πνεύματος· β', ἡ τῆς ἀληθείας διαστροφή· γ', ἡ τοῦ ἀγαθοῦ βιαία κατάθλιψις· δ', τὰ πονηρὰ βουλεύματα· ε, ἀνία διὰ φρικτῶν καὶ βδελυρῶν εἰκόνων κ. λ. Αἱ δὲ περὶ τούτων μάλιστα περίεργοι μαρτυρίαι τῆς ἁγίας Γραφῆς, εἰσὶν αὗται. « Τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Σίμωνος Ἰσκαριώτου, ἵνα αὐτὸν παραδῷ » (α). Καὶ, « Φθόνῳ δὲ διαβόλου ὁ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, πειράζουσι δὲ αὐτὸν οἱ τῆς ἐκείνου μερίδος ὄντες » (β). Εἰ δ' ἀμέσως, ἢ ἐμμέσως μόνον ἰσχύει ὁ Σατανᾶς πονηροὺς διαλογισμοὺς ἀνακινεῖν ἐν τῇ τοῦ ἀνθρώπου διανοίᾳ, οὐ παρὰ πάντων ὁμολογεῖται, οὐδὲ πόσοι καὶ ποῖοι ἂν εἶεν οἱ σατανικοὶ πειρασμοί, οὐδὲ τεκμήριον ὑπάρχει ἀσφαλὲς, ᾧ ἂν τῶν ἄλλων διακρίνωνται. Ἀλλ' ὡς περὶ τῶν ἄλλων εἴρηται, οὕτω καὶ περὶ τούτων. Οὐ χρὴ ἀποδειλιᾶν οὐδὲ πρὸς αὐτοὺς, ἀλλὰ τοῖς αὐτοῖς χρηστέον, οἷς καὶ πρὸς ἐκείνους. « Ἀγρυπνεῖτε, ἐνετείλατο περὶ πάντων τούτων ὁ Κύριος, ἀγρυπνεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. » Ἄριστον δὲ ὅπλον κατὰ τοῦ διαβόλου, τὸ μηδενὶ μηδέποτε ἐπιχειρεῖν, ὧν ἂν αὐτὸς λέγῃ. Προσεκτέον τοίνυν παντὶ ἐρεθισμῷ πρὸς ἀθέτησιν τοῦ καθήκοντος, καὶ πρὸς πᾶν κακὸν, ὡς ἐν τῷ παραδείγματι διδασκόμεθα τοῦ σώφρονος Ἰωσὴφ, καὶ τῆς Σωσάννης· πρὸ δὲ πάντων, ἐν αὐτῷ τῷ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ (γ).

§. 62. Ἡ *γένεσις τῆς ἁμαρτίας.*

Τὰ τῇ σαρκὶ συμφέροντα ἐναντία εἰσὶ πολλάκις τοῖς

(α) Ἰωάν. ιγ'. 2. (β). Σοφ. Σολωμ. β'. 24. (γ) Ματθ. δ'.

Digitized by Google

τῷ πνεύματι, καὶ ἀλλήλοις ἀντιμάχονται. Ἐπεὶ δ' ἑκάτερον τό τε πνεῦμα καὶ ἡ σὰρξ ῥέπει πρὸς τὴν τῆς ἑαυτοῦ ὀρέξεως θεραπείαν, ὀρέγεται δὲ πολλάκις ἡ σὰρξ τοιούτων, οἷα οὐδὲ τῇ ἀξίᾳ, οὐδὲ τῇ κλήσει τοῦ πνεύματος πρέπουσι, καὶ ταῦτα σφοδρῶς καὶ βιαίως ζητεῖ, τὸ δὲ πνεῦμα τῆς ἑαυτοῦ ἀξίας καὶ κλήσεως ἐπιλανθανόμενον, ἐνδίδωσι τῇ τῆς σαρκὸς ἀθεμίτῳ ὀρέξει, ἐκτελεῖται ἡ ἁμαρτία. Συμβαίνει μὲν ὕστερον πολλάκις μετὰ τὴν τῆς σαρκικῆς ὁρμῆς λώφησιν, ἐφιστάμενον προσεκτικώτερον τοῖς πεπραγμένοις τὸ πνεῦμα συνιέναι τὸ κακὸν, ὅπερ ἐκ συναρπαγῆς ὑπενδὸν ἔπραξε, καὶ μετανοεῖν, καὶ λυπεῖσθαι, καὶ ἀποδοκιμάζειν τὴν ἑαυτοῦ ἄλογον συναίνεσιν· ἀλλ' ἡ σὰρξ κατισχύσασα ἅπαξ, σφοδροτέρα αὖθις καὶ συνεχέστερον ἐπανίσταται κατὰ τοῦ πνεύματος, καὶ αἰχμαλωτίζει αὐτὸ μᾶλλον, κατεργαζομένη τὸ ἑαυτῆς θέλημα, καὶ πρὶν ἂν ἔτι τὸ πνεῦμα ἐκ τῆς νωθρείας αὐτοῦ ἀνανῆψαν διανοηθῇ, καὶ κρίνῃ περὶ τῆς κακίας αὐτοῦ· κἀκ τούτου ἡ τελεία παῦ πνεύματος ὑποδούλωσις, ἡ οὕτως αἰσχρὰ καὶ ἐπονείδιστος καὶ κακωτικὴ τῷ ἀνθρώπῳ. Καὶ οὕτω μὲν ἐγγίνεται τοῖς πλείστοις ἡ ἁμαρτία καὶ ἡ κακία, πρὶν ἂν συνιῶσι καὶ ἐπιστήσωσι τὸν νοῦν αὐτῇ. Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν ἔλεγεν· « Ἀμὴν λέγω ὑμῖν, πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας » (α), καὶ ὁ μακάριος Παῦλος « Οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστε, ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς, εἰς δικαιοσύνην; (β).

§. 63. Τὸ τοῦ ἀνθρώπου αἰσθητικὸν ἐν τρισὶν ἀρχικαῖς διαφόροις ὁρμαῖς μάλιστα δείκνυται, ἤγουν ἐν τῇ

(α) Ἰωάν. ἡ. 34. (β) Ῥωμ. ς'. 16.

Digitized by Google

τοῦ μίσους, ἐν τῇ τῆς φιληδονίας, καὶ ἐν τῇ τῆς πλεονεξίας. Αὗται δὲ αἱ ὁρμαὶ, καίτοι καὶ πρὸς τὸ ἀγαθὸν χρήσιμαι, ὥσπερ καὶ πρὸς τὸ κακὸν, ἀλλὰ πρὸς τοῦτο μᾶλλον, ἢ πρὸς ἐκεῖνο ἀπορρέπουσαι, ἀφορμὴν πλείστης ἀπάτης καὶ ποικίλων ἁμαρτημάτων παρέχουσιν· ὥστε τυγχάνουσιν οἱονεὶ ῥίζα κακὴ, ἐξ ἧς πολλῷ χείρους βλαστοὶ καὶ καρποὶ ἐκφύονται, εἰ μή τις προσέχων περιστέλλοι αὐτὰς τῷ λόγῳ. Ἐκ τούτων οὖν ἤδη καὶ ἀκριβέστερον ἂν ὁρισθείη ἡ ἁμαρτία, παρεκτροπὴ ἐν γνώσει καὶ ἑκουσίως ἀπὸ τοῦ ἠθικοῦ νόμου, ἢ ἀπὸ τοῦ καθήκοντος πρὸς ὑπακοὴν τῷ τῆς σαρκὸς θελήματι. Διὰ τοῦτο καὶ ἀπαιτεῖται εἰς αὐτὴν, ἵνα ᾖ τοιαύτη, ά, γνῶσις τοῦ ἠθικοῦ νόμου, β', πρᾶξις ἢ βίος ἐναντίος τῷ ἠθικῷ νόμῳ, γ', προαίρεσις, ἐν ᾗ τὸ τῆς πράξεως παράνομον θεωρεῖται. Διὸ καὶ τὸ τῆς ἁμαρτίας κακὸν, οὐ μόνον ἐν τῇ τῆς πράξεως διαφωνίᾳ πρὸς τὸν ἠθικὸν νόμον θεωρεῖται, οὐδὲ ἐν τῇ ἐκ ταύτης ζημίᾳ, ἀλλὰ δὴ καὶ ἐν τῇ τοῦ νόμου ἐθελουσίῳ καταφρονήσει καὶ παρακοῇ, ὃν δεύτερον τίθεταί τις τῶν τῆς σαρκὸς θελημάτων.

§. 64. Πᾶσα ἁμαρτία πρὸς θεραπείαν γίνεται τῶν τῆς σαρκὸς ὀρέξεων· καὶ ὁ ἁμαρτάνων, πρὸς εὐπάθειαν τῆς σαρκὸς, ἢ πρὸς ἄλλο πρόσκαιρον κέρδος τὸν ἠθικὸν νόμον ἀθετεῖ, καὶ οὕτω πρὸς αὐτὸν διατίθεται, ὥστε, καὶ εἰ αὖθις τύχοι, πάλιν ἕτοιμος τὸ κακὸν κατεργάσασθαι. Ἡ δὲ τοιαύτη διάθεσις πρὸς τὴν ἁμαρτίαν, ὡς διαρκὴς, διαμένει, μέχρις ἂν ὑπ' ἄλλης κρείττονός τε καὶ ἐναντίας ἀπελαθῇ. Αὕτη δὲ οὐδεμία ἄλλη ἂν εἴη, ἢ, ἡ, περὶ ἧς πρότερον εἴρηται, ἀγαθὴ ὑπὲρ τοῦ ἠθικοῦ νόμου προαίρεσις. Ἕως ἂν οὖν μὴ οὕτω διατεθῇ τις, καὶ ἀμετακινήτως προαιρῆται καὶ πράττῃ, ὃ ἂν ὁ ἠθικὸς νόμος, καὶ οὐχὶ τὸ τῆς σαρκὸς θέλημα διακελεύηται,

Digitized by Google

ὁ τοιοῦτος, κἂν μὴ ἔργῳ ἁμαρτάνῃ, ἐν τῇ ἁμαρτίᾳ ἐστί, διότι ἡ φιλαμαρτήμων διάθεσις διαμένει, καὶ ἡ φαύλη προαίρεσις, ὥστε μὴ ὑπακούειν τῷ ἠθικῷ νόμῳ, ἀλλὰ τῷ τῆς σαρκὸς θελήματι. Χαλεπὸν δὲ καὶ κινδυνῶδες τὸ οὕτως ἔχειν, ὡς συνεπαγόμενον ά, τὴν ἐπὶ μᾶλλον ἀεὶ ὑποδούλωσιν τοῦ πνεύματος εἰς τὴν σάρκα· β', τὴν ἀεὶ ἀπωτέρω τοῦ τελικοῦ σκοποῦ ἀποπλάνησιν· γ', τὸν κίνδυνον τοῦ διὰ παντὸς χωρισθῆναι ἀπὸ τοῦ Θεοῦ, τοῦ ἄκρου ἀγαθοῦ. Τοῦτ' ἔστιν ἡ πρὸς τὰ τῆς σαρκὸς θελήματα καὶ τὴν ἁμαρτίαν ροπὴ κρατύνεται οὕτως, ὥστε ἀεὶ χαλεπώτερον γίνεται τὸν κατὰ Θεὸν ἀναλαβεῖν βίον, καὶ ἀγαπῆσαι τὰ τοῦ Θεοῦ· ἡ δ' ἐπὶ τὸ κτηνῶδες κατάπτωσις οὐ μόνον εὔκολος, ἀλλὰ καὶ οἷον φυσικὴ ἀνάγκη καθίσταται. Ἠλίκη ζημία! ἣν μόλις ἄν τις, εἰ μὴ καθ' ἑκάστην ὀφθαλμοφανῶς ὁρῷτο, δυνατὴν εἶναι πιστεύσειε. Φανεροῦται δὲ κατὰ τὸ μᾶλλον καὶ ἧττον ά, ἐν τῷ, πρὸς ὃ ἡ ἅπαξ ἐγγενομένη φαύλη διάθεσις ῥέπει· β', καθ' ὅσον πράττεται κατ' αὐτὴν τὸ ἀθέμιτον· γ', καθ' ὅσον διατηρεῖ ἐπὶ μακρότερον χρόνον ἐν γνώσει καὶ μετὰ συνειδήσεως τὴν φαύλην ταύτην διάθεσιν.

§. 65. *Περὶ διαφόρων διαιρέσεων τῆς ἁμαρτίας.*

Ἡ ἁμαρτία, καθ' ἃ εἴρηται, ἡ παράνομός ἐστι πρᾶξις, ἢ ὀλιγωρία οὗ ὁ ἠθικὸς νόμος πράττειν διακελεύεται. Ὥστε διαιροῖτ' ἂν εἰς ἁμαρτίαν πράξεως, καὶ εἰς ἁμαρτίαν ἐλλείψεως. Πολλοὶ γὰρ νομίζουσιν ἑαυτοὺς καθαροὺς καὶ δικαίους, ἐὰν μόνον τὰ βαρύτατα τῶν ἁμαρτημάτων μὴ πράξωσι, μηδαμῶς ἁμαρτάνειν ἡγούμενοι, ἐπειδὰν, ὅσα κατὰ τὴν ἐν Χριστῷ ἀγάπην καὶ χρηστότητα καὶ δικαιοσύνην ἔδει ποιῆσαι, μὴ ποιῶσι,

Digitized by Google

μηδὲ χρῶνται τοῖς παρὰ τοῦ Θεοῦ δεδωρημένοις, ὅπως πλέον τι πρὸς τὴν κρείττονα καὶ τελειοτέραν ζωὴν κερδάνωσι, καίτοι τοῦ Κυρίου διαῤῥήδην λέγοντος, ὅτι ὁ μὴ καλῶς τοῖς δοθεῖσι ταλάντοις χρησάμενος, ἐκβάλλεται ὡς δοῦλος ἀχρεῖος εἰς τὸ σκότος τὸ ἐξώτερον (α), καὶ οἱ τῶν τῆς φιλανθρωπίας ἔργων ὀλιγωροῦντες, εἰς τὸ πῦρ τὸ αἰώνιον ἀποπέμπονται (β), καὶ ἀλλαχοῦ δὲ τῆς Γραφῆς κηρυττούσης, ὅτι « τῷ εἰδότι καλὸν ποιεῖν, καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστίν (γ). Ἐκ τούτων δ' ὅμως δῆλον γίνεται, ὅτι αἱ τῆς ἐλλείψεως ἁμαρτίαι τοσοῦτόν εἰσι πολλάκις βαρεῖαι, καὶ τὰ αὐτὰ κακὰ συνεπάγονται, ὅσον καὶ ὅσα αἱ τῶν παρανόμων πράξεων, μᾶλλον δὲ πολλάκις καὶ μείζους καὶ χείρους ἐκείνων τυγχάνουσιν.

§. 66. Καὶ ἄλλως δὲ διαιροῦνται αἱ ἁμαρτίαι, ἁ, εἰς τὰς τῆς ἀσθενείας, β', εἰς τὰς τῆς κακίας, καὶ γ', εἰς τὰς τῆς ἀγνοίας. Καὶ τῆς μὲν ἀσθενείας λέγονται τὰ μὴ ἐκ προνοίας καὶ λελογισμένως, ἀλλ' ἐξ ἀπροσεξίας καὶ συναρπαγῆς πραττόμενα. Πᾶς μὲν γάρ τις ὀφείλει τιμᾶν τε καὶ σέβεσθαι τὸν ἠθικὸν νόμον ὡς θείαν οἰκονομίαν, καὶ προσέχειν, ἵνα μηδέποτε ἀθετῆται· ὁ δὲ μὴ προσέχων οὕτω, καὶ πράττων παρὰ τὸν νόμον, ἔνοχος δήπου ἐστὶν ἁμαρτίας, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ τὸ πρᾶγμα, ἐν ᾧ ἡ τοῦ νόμου ἀθέτησις ἐπράχθη, μεῖζον, καὶ ἡ ὀλιγωρία, δι' ἣν ἐπράχθη· ἀλλ' ὅμως ἡ τῶν τοιούτων ἐνοχὴ ἧττων ἀεὶ τυγχάνει τῆς τῶν ἐκ κακίας πραττομένων. Τῆς δὲ κακίας ἁμαρτίαι λέγονται αἱ ἐν γνώσει τῆς αὐτῶν παρανομίας πραττόμεναι. Κατ' ἰδίαν γὰρ προαίρεσιν καὶ ἐπίγνωσιν πραττόμεναι, βαρυτέραν καὶ τὴν εὐθύνην συνεπάγονται. Εἰ δὲ καὶ

(α) Ματθ. κε. 24—30. (β) Ματθ. κε. 41—46. (γ) Ἰακωβ. δ'. 17.

Digitized by Google

ἐν γνώσει τελείᾳ καὶ πρὸς ὕβριν, ἵν' οὕτως εἴπω, τοῦ ἠθικοῦ νόμου πράττονται, σατανικαὶ ἁμαρτίαι καλοῦνται. Τῆς δ' ἀγνοίας, τέλος, εἰσὶν, ὅσας τις πράττει ἢ ὅλως τὸν ἠθικὸν νόμον ἀγνοῶν, ἢ μὴ δυνάμενος παραβάλλειν καὶ σταθμίζειν τὴν πρᾶξιν πρὸς αὐτόν. Ἡ μὲν οὖν ἄγνοια ἐν γένει ἔλλειψίς τίς ἐστιν, ὁτὲ μὲν θεραπεύσιμος, ὁτὲ δὲ καὶ ἀθεράπευτος. Ἐλλειπούσης γὰρ τῆς εἰς τὸ μαθεῖν, ἃ δεῖ, ἱκανότητος, ἢ τοῦ καιροῦ, ἢ καὶ ἀμφοτέρων ἅμα, ἡ ἄγνοια ἀθεράπευτος τυγχάνει, καὶ ὁ ἁμαρτάνων ἀνεύθυνος, ὡς μὴ ὄντος ἐπ' αὐτῷ περιποιήσασθαι ἑαυτῷ τὴν ἱκανότητα, ἢ τὸν καιρὸν τοῦ μαθεῖν ἃ δεῖ. Εἰ δὲ ταῦτα πάρεισιν, ἔνοχός ἐστιν ὁ ἁμαρτάνων, ὅτι καὶ ἡ ἄγνοια κατὰ προαίρεσιν αὐτῷ ὑπάρχει, καὶ θεραπεύσιμος· διὸ καὶ τὰ ἐξ αὐτῆς ἁμαρτήματα ἴσα τοῖς ἐξ ἀσθενείας λογιστέα.

§. 67. Ὅτι δὲ τοῖς ἐκ προαιρετικῆς ἀγνοίας ἁμαρτάνουσιν ἐπίκειται εὐθύνη μεγάλη, ἐκ τῶν ἑπομένων δηλοῦται. Καὶ γὰρ καὶ ὁ Δαυὶδ ἐδέετο λέγων· « Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς, Κύριε » (α)· καὶ ὁ Ἀπόστολος Πέτρος εἰς μετάνοιαν τοὺς Ἰουδαίους προτρέπων, διότι ἀπέβαλον καὶ θανάτῳ κατέκριναν τὸν Ἰησοῦν, ὑπεραπολογεῖταί πως περὶ τοῦ μεγέθους τῆς ἁμαρτίας, λέγων, ὅτι κατ' ἄγνοιαν ἔπραξαν (β). Καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ἐπὶ τοῦ σταυροῦ ὑπὲρ τῶν σταυρωσάντων αὐτὸν ἐδεήθη, εἰπών· « Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι » (γ)· καὶ ὁ μέγας τῶν ἐθνῶν Ἀπόστολος διώξας πρότερον πολὺν χρόνον τοὺς μαθητὰς τοῦ Κυρίου, ὕστερον λέγει, ὅτι « Ἀγνοῶν ἐποίησεν ἐν ἀπιστίᾳ » (δ). Καλεῖται δὲ ἡ τοιαύτη ἐθελούσιος ἄγνοια παχυλὴ ἀμάθεια,

(α) Ψαλμ. κδ'. 7. (β) Πραξ. γ'. 17. (γ) Λουκ. κγ'. 34. (δ) Α'. Τιμ. α. 13.

Digitized by Google

καὶ πολλοὶ πολλάκις ἐθελουσίως ἐν αὐτῇ διαμένουσιν, ἀπηλλάχθαι δοκοῦντες τῆς εὐθύνης δι' αὐτῆς. Ἔστι δ' ὅτε καὶ προσποιοῦνται ἄγνοιαν, ἵνα τὸ ψεῦδος καὶ τὴν ῥαθυμίαν καλύψωσιν, ἀλλὰ τὰ οὕτω γινόμενα ἁμαρτήματα, κακίας εἰσὶν ἀληθοῦς ἁμαρτήματα.

Ἐν γένει γὰρ ὁ τῷ λόγῳ χρῆσθαι δυνάμενος οὐκ ἂν ἐπὶ πολὺ ἀνεύθυνος διαμένοι ἐπὶ τῇ ἀγνοίᾳ τῶν πρώτων τῆς γε φυσικῆς εὐσεβείας ἀληθειῶν, οἷον ὅτι ἔστι Θεὸς, ὁ τοῦ Παντὸς ποιητὴς καὶ κυβερνήτης, ὅτι ὀφείλεται αὐτῷ παρ' ἡμῶν σέβας βαθύτατον καὶ λατρεία κ. λ. ἔτι δὲ καὶ τῶν γενικωτέρων τῆς ἠθικῆς ἀρχῶν, οἷον ὅτι ὀφείλομεν ποιεῖν ἀεὶ τὸ ἀγαθὸν, φεύγειν δὲ τὸ κακὸν, κ. λ. Διὰ τοῦτο καὶ ὁ θεῖος Παῦλος ἀναπολογήτους λέγει τοὺς ἀγνοοῦντας ταῦτα. «Διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς, ὁ γὰρ Θεὸς αὐτοῖς ἐφανέρωσε, τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους» (α). Διττὴ δέ τις παρίσταται ἐν τούτοις ἡ τοῦ Ἀποστόλου δόξα, μία μὲν, ὅτι ἡ ἀόρατος τοῦ Θεοῦ οὐσία καὶ ὕπαρξις καὶ αἱ λοιπαὶ τελειότητες ἐν τοῖς κτίσμασιν ὁρῶνται, οἱονεὶ τοῖς σωματικοῖς ὀφθαλμοῖς· ἑτέρα δὲ, ὅτι ὁ μὴ θεωρῶν ταῦτα, διότι οὐ δύναται προσέχειν αὐτοῖς, ἀναπολόγητός ἐστιν ἐνώπιον τοῦ Θεοῦ διὰ τὴν τοιαύτην ἄγνοιαν. Οὕτω δ' ἔχει καὶ περὶ τῶν καθολικῶν ἀρχῶν τῆς ἠθικῆς. Ὅσον γὰρ φανερὰ ἐν τῇ κτίσει ἐστὶ τῷ λογικῷ ἀνθρώπῳ ἡ τοῦ Θεοῦ ὕπαρξις καὶ μεγαλωσύνη, τοσοῦτον καὶ αἱ ἀρχικαὶ ἰδέαι τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, τοῦ δικαίου καὶ τοῦ ἀδίκου, τοῦ πρέποντος καὶ τοῦ ἀπρεποῦς. Ἵνα δέ

(α) Ῥωμ. ά. 19—20.

Digitized by Google

τις περὶ τούτου πεισθῇ, λαβέτω πεῖραν καὶ αὐτῶν τῶν νηπίων, διηγησάμενος αὐτοῖς παράδοξά τινα ἕνεκα τῆς δικαιοσύνης καὶ τῆς ἀδικίας, καὶ ἀφεὶς ἔπειτα αὐτοῖς κρίνειν περὶ αὐτῶν, γνώσεται, ὅτι ἡ κρίσις αὐτῶν πάντως ἔσται ὀρθή. Πόθεν δέ; ἢ δῆλον, διότι αἱ τοῦ δικαίου καὶ τοῦ ἀδίκου ἔννοιαι οἱονεὶ ἔμφυτοί εἰσι; διὰ ταῦτα καὶ οὐκ ἂν ἐπὶ πολὺ διατελέσειαν ἄγνωστα τά γε τοιαῦτα τῷ λογικῷ· κἂν μένωσιν, ἐξ ἀμελείας δή που καὶ ἀπροσεξίας μένουσι, διὰ τοῦτο καὶ ὑπεύθυνος ἡ τοιαύτη ἄγνοια λογίζεται.

§. 68. Ἡ μὲν οὖν διαίρεσις αὕτη ἐκ τοῦ βαθμοῦ τῆς γνώσεως καὶ προαιρέσεως, ἐν ᾗ πράττονται τὰ ἁμαρτήματα, ἐγένετο· γένοιτο δ' ἂν καὶ ἑτέρα ἐκ τοῦ μεγέθους τοῦ καθήκοντος, ὃ ἀθετεῖται, ὥστε διαιρεθεῖεν εἰς μεγάλα τε καὶ ἀσύγγνωστα, καὶ εἰς ἧττονα καὶ συγγνωστά, ἢ ἀφέσιμα. Ὅσῳ γὰρ σπουδαιότερον τὸ ἐκ τῆς ἁμαρτίας ἀθετούμενον καθῆκον, τοσούτῳ καὶ ἡ ἁμαρτία μείζων καὶ βαρυτέρα λογίζεται, καὶ τοὐναντίον· καίτοι πρὸ πάντων ἡ γνῶσις καὶ ἡ προαίρεσις, ἐν ᾗ τὸ ἁμάρτημα πράττεται, τὸ μεῖζον αὐτῷ ἢ τὸ ἔλαττον περιτίθησι· διὸ καὶ ταύτην πρὸ πάντων παρατηρητέον εἰς τὸν ὁρισμὸν τοῦ ἁμαρτήματος. Ὅτι μὲν γὰρ ἁμαρτία ἁμαρτίας διαφέρει, καὶ οὐ πᾶσαι κατὰ τοὺς Στωϊκοὺς ἴσαι λογιστέαι, βεβαιούμεθα ἔκ τε τῆς ἀποφάνσεως τοῦ καθολικοῦ νοὸς, καὶ ἐκ τῆς ἁγίας Γραφῆς. Τί γὰρ ἄλλο αἱ ποικίλαι τῶν ἐθνῶν νομικαὶ διατάξεις καὶ αἱ κρίσεις ἑκάστου δηλοῦσιν, ἢ τὴν τῶν ἁμαρτιῶν διαφοράν; Ἡ δὲ θεία Γραφὴ διδάσκει, ὅτι ὑπάρχουσιν ἁμαρτίαι, αἵτινες ἀ, ἀφαιροῦσι καὶ διαλύουσι πᾶσαν οἰκειότητα πρὸς τὸν Θεόν· β', ἀποσβεννύουσι πᾶσαν τοῦ ἀγαθοῦ αἴσθησιν· γ', ἀποπλανῶσιν ὅλως τὸν ἄνθρωπον ἀπὸ τοῦ κρατίστου αὐτοῦ τέλους, καὶ ἀπο-

Digitized by Google

κλείουσιν αὐτὸν τῆς βασιλείας τοῦ Θεοῦ. Ὑπάρχουσι δὲ καὶ ἄλλαι, αἵ τοιαῦτα μὲν οὐ συνεπάγονται, ἐξομαλίζουσι δὲ τὴν ὁδὸν πρὸς αὐτὰ, ἐὰν μὴ προσηκόντως παρατηρῶνται καὶ φεύγωνται. Καὶ τὰς μὲν πρώτας ἀπαριθμεῖ ὁ μακάριος Παῦλος ὧδε· « Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι, μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, » ἐπιφέρων ἐν τέλει, « Ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι » (α). Περὶ δὲ τῶν ἄλλων φησὶν ὁ θεῖος Ἰάκωβος· « Πολλὰ πταίσμεν ἅπαντες, εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνὴρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα » (β), καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης· « Ἐὰν εἴπωμεν, ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν » (γ). Ἐκ τούτων τοίνυν μανθάνομεν, ὅτι καὶ ἐνώπιον τοῦ Θεοῦ διάκρισις ἁμαρτίας γίνεται.

§. 69. *Πῶς ἄν τις τὸ τῶν ἁμαρτημάτων μέγεθος διακρίνοι.*

Α'. Ἁμαρτήματα ἐκ φαύλης προαιρέσεως κατὰ τοῦ ἠθικοῦ νόμου πραττόμενα, καὶ τὴν πρὸς τὸ θεῖον καὶ πρὸς τὸ ὁμόφυλον σχέσιν ἡμῶν διαλύοντα, μεγάλα τε καὶ ἀσύγγνωστα νομιστέον.

Β'. Οὕτω δὲ καὶ τὰ, περὶ ὧν ἡ θεία Γραφὴ λέγει ἀ, ὅτι βδελυκτὰ καὶ τῆς ἀνθρωπίνης φύσεως ἀνάξια· β', ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσὶ,

(α) Γαλ. ε'. 19—22. (β) Ἰακώβ. γ'. 2. (γ) Α'. Ἐπιστολ. α'. 8.

Digitized by Google

μᾶλλον δὲ τῆς αἰωνίου κολάσεως ἄξιοι γ', ὅτι τὸν τούτοις ἔνοχον ἀποκλείουσι τῆς βασιλείας τοῦ Θεοῦ δ', ὅτι μέγα κακὸν τῇ πράξει αὐτῶν ἀπειλεῖται εἰς τιμωρίαν.

Γ'. Ἔτι δὲ πάντα τὰ ὑπὸ τῶν ἁγίων Πατέρων τῆς Ἐκκλησίας ἀνέκαθεν ὡς τοιαῦτα γνωσθέντα τε καὶ διακηρυχθέντα.

Κἀκεῖνο δὲ σημειωτέον, ὡς οὐ χρὴ πᾶν ἁμάρτημα νομίζειν ἀσύγγνωστον, περὶ οὗ ἐν τῇ Γραφῇ λέγεται, ὅτι οἱ τοῦτο πράσσοντες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν, ἀλλ' ἐξεταστέον ἀεὶ ἐφ' ἑκάστῳ τὸν τῆς ἐπιγνώσεως καὶ τῆς προαιρέσεως βαθμόν, ἐν ᾧ τὸ ἁμάρτημα ἐπράχθη. Πολλάκις γὰρ τὰ μεγάλα δοκοῦντα καὶ ἀσύγγνωστα ἁμαρτήματα, ὡς παραπτώματα μικρὰ καὶ συγγνωστὰ λογίζοιντ' ἄν, εἰ ἐκ συναρπαγῆς μᾶλλον, ἢ ἐκ φαύλης προαιρέσεως ἐπράχθησαν· ἀλλὰ καὶ τοὐναντίον, πολλὰ τῶν δοκούντων μικρῶν καὶ συγγνωστῶν, λογίζοιντ' ἂν μεγάλα καὶ ἀσύγγνωστα, εἰ ἐκ φαύλης πράττοιντο προαιρέσεως, ἢ πρὸς ὕβριν φανερὰν τοῦ τε νόμου καὶ τοῦ νομοθέτου, ἢ προγινώσκοι τις τὴν ἐξ αὐτῶν ἐσομένην μεγάλην ζημίαν καὶ θλῖψιν τῷ πλησίον.

§. 70. *Περὶ τῆς κατὰ τὸ ποιὸν διαφορᾶς τῶν ἁμαρτημάτων.*

Διαφέρουσι δὲ ἀλλήλων τὰ ἁμαρτήματα καὶ κατὰ τὸ ποιόν· ἡ δὲ διαφορὰ γίνεται ἀ, ἐκ τῶν διαφόρων καθηκόντων, ἅτινα ὑπὸ τοῦ ἁμαρτήματος ἀθετοῦνται β', ἐκ τῶν προσώπων, πρὸς ἃ τὸ ἁμάρτημα· γ', ἐκ τῶν εἰδικῶν περιστάσεων τοῦ πῶς, καὶ πότε, καὶ ποῦ ἕκαστον τῶν ἁμαρτημάτων πράττεται· δ', ἴσως δὲ καὶ ἐκ τῆς ἀρχικῆς ὁρμῆς τοῦ αἰσθητικοῦ ὑπὲρ αὐτῶν γὰρ, εἰ καὶ μὴ πάντα, ἀλλὰ τὰ πλεῖστά γε τῶν τῇ ἡμετέ-

Digitized by Google

ρα πρὸς τὸν Θεὸν καὶ πρὸς τὸ ὁμόφυλον σχέσει καὶ τῷ ἐξ αὐτῆς ἠθικῷ νόμῳ ἐναντίων ἁμαρτημάτων πράττονται. Τρεῖς δ' εἰσὶν, ὡς ἐδηλώθη, αἱ ἀρχικαὶ ὁρμαὶ, ἐν αἷς τὸ αἰσθητικὸν φανεροῦται, ἤγουν μῖσος, φιληδονία, πλεονεξία. Διαφέρουσι τοίνυν τῷ ποιῷ τὰ ἐκ μίσους πραττόμενα τῶν πρὸς ἡδονὴν ἢ ἐκ πλεονεξίας γινομένων, καὶ ταῦτα πάλιν ἐκείνων, καὶ ἕκαστα ἀλλήλων πολλῷ τῷ μέτρῳ, ὡς δειχθήσεται σαφέστερον ἐν τῷ περὶ θανασίμων ἁμαρτημάτων, ἅτινα οὐδὲν ἄλλο εἰσὶν, ἢ ἐκκεντρικὴ δήλωσις τῆς ὁρμῆς ταύτης. Τὰ δ' ἄλλα, ὅσα τὸ τοῦ ἁμαρτήματος ποιὸν μεταβάλλουσιν, ἢ τὸ πρόσωπον, πρὸς ὃ ἐγένοντο, δηλοῦσιν, ἢ τὸν τόπον, ἐν ᾧ, ἢ τὸν τρόπον, δι' οὗ. Τούτων οὖν, τὰ μὲν βαρύτερον μόνον ἢ κουφότερον τὸ ἁμάρτημα ποιοῦσιν, οἷον ἡ γνῶσις καὶ ἡ προαίρεσις, ἐν ᾗ πράττεται, ἡ συναρπαγὴ, ἡ ἀμέλεια κ.τ.λ. τὰ δὲ πρὸς τούτῳ καὶ τὸ εἶδος ὅλον καὶ τὸ ὄνομα τοῦ ἁμαρτήματος μεταποιοῦσιν, οἷον ἡ τῶν ἀλλοτρίων ἀφαίρεσις, ἐὰν μετὰ βίας καὶ αἰκισμῶν ἐπὶ τῆς λεωφόρου γίγνηται, λῃστεία καλεῖται· ἐὰν ἐκ τοῦ ναοῦ, ἱεροσυλία, καὶ ὁ φόνος, ἐὰν πρὸς πατέρα, πατροκτονία· ἐὰν πρὸς ἀδελφὸν, ἀδελφοκτονία, μιαιφονία κ.τ.λ. Πάντα οὖν ταῦτα θεωρητέον, ἵνα δεόντως τὸ τοῦ ἁμαρτήματος ποιὸν ὁρίζηται.

§. 71. *Περὶ τῆς κατ' ἀριθμὸν διακρίσεως τῶν ἁμαρτημάτων.*

Παρὰ πάντων ὁμολογεῖται ἁ, ὅτι τοσαῦται πράττονται αἱ ἁμαρτίαι, ὅσαι καὶ πράξεις παρὰ τὸ καθῆκον· β', ὅτι δι' ἑκάστης πράξεως τοσαῦτα ἁμαρτήματα πράττονται, ὅσα δι' αὐτῆς καθήκοντα ἀθετοῦνται. Ἀλλ' ἐνταῦθα καθ' ὁλοκληρίαν τὰς πράξεις ταύτας θεωρητέον. Πρὸς κατανόησιν δὲ τοῦ πρώτου κανόνος, ἀναμνησθήτω τις τῆς

Digitized by Google

τοῦ Δαυὶδ ἁμαρτίας πρὸς τὴν Βηρσαβεὲ καὶ πρὸς τὸν Οὐρίαν (α)· πρὸς δὲ τὴν τοῦ δευτέρου, τόδε· Εἴ τις, ἀντὶ τοῦ ἀντιλαβέσθαι τοῦ κινδυνεύοντος, καὶ ἀπαλλάξαι αὐτὸν τοῦ κινδύνου, ὠθοῖ μᾶλλον καὶ ἐμβάλλοι εἰς αὐτόν. Οὕτω γὰρ οὐ μόνον τὸ τῆς φιλανθρωπίας, ἀλλὰ καὶ τὸ τῆς δικαιοσύνης καθῆκον ἀθετεῖται. Οὕτω πολλαπλοῦν ἂν εἴη τὸ ἁμάρτημα, καὶ εἴ τις ἐν ἡμέρᾳ ἑορτῆς νοσεῖν προσποιούμενος, μὴ προσέλθοι εἰς τὴν θείαν λατρείαν, ὡς ἀσφαλέστερον, ἐν τῷ τοὺς ἄλλους ἔχειν περὶ αὐτὴν, τὴν κλοπὴν ἢ ἄλλο τι φαῦλον κατεργασόμενος. Πόσα γὰρ καθήκοντα μιᾷ τοιαύτῃ πράξει ἐν τοιούτῳ χρόνῳ πραχθείσῃ ἀθετοῦνται! Οὐδὲν δὲ διαφέρει λέγειν, ὅτι ἁμάρτημα ἐπράχθη πολλαπλοῦν, ἢ μέγα καὶ ἀσύγγνωστον. Καὶ ταῦτα μὲν περὶ τῶν ἔργῳ πραττομένων ἁμαρτημάτων· ὅτι δὲ, καὶ ἃ ἠβούλετο μὲν τις, ἐκωλύθη δὲ ὑπό τινος πρᾶξαι, καὶ τούτοις ἔνοχος λογίζεται, δῆλον ἐξ ὧν ἡ θεία Γραφὴ λέγει «οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου κ.λ.» (β)· εἰ δὲ καὶ ἴσον τοῖς ἔργῳ τελεσθεῖσιν, ἢ ἧττον ταῦτα λογιστέα, ῥηθήσεται ἀλλαχοῦ.

Ἰστέον δὲ καὶ τοῦτο, ὡς οὐ διὰ τὴν τῶν ἁμαρτημάτων εἰς μεγάλα τε καὶ ἀσύγγνωστα, καὶ εἰς ἐλάσσονα καὶ συγγνωστὰ διαίρεσιν ἀμερίμνως δεῖ ἔχειν πρὸς τὰ δεύτερα, καὶ μὴ φυλάττεσθαι ἀπ' αὐτῶν· αὐτὸ γὰρ τοῦτο ἤδη μέγα ἐστὶν ἁμάρτημα. Εἰ γὰρ καὶ ταῦτα οὕπω τὴν τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν οἰκειότητα ἀφαιροῦσιν, οὐδὲ τὴν πρὸς τὸ ἀγαθὸν διάθεσιν διαστρέφουσιν, οὐδὲ τῆς θείας βασιλείας παντελῶς ἀπείργουσιν, ἀλλ' οὖν γε ζημίαν μεγάλην ἐπάγουσιν, ὡς τὴν μὲν ὑπὲρ τοῦ ἠθικοῦ νόμου ἀγαθὴν προαίρεσιν λελησθότως

(α) Β'. Βασιλ. ιά. 4. (β) Δευτερον. ε. 21. ζ'. 25. Ματθ. ε. 28. ιέ. 19.

Digitized by Google

καὶ κατὰ μικρὸν ἀσταθῆ ποιοῦντα καὶ ἀμφίβολον, τὴν δὲ ὀλιγωρίαν αὐτοῦ παρεισάγοντα, καὶ τὸν μὲν ἀπὸ τῆς ἁμαρτίας φόβον ἐλαττοῦντα, τὴν δὲ πρὸς τὴν ἠθικὴν τελειότητα σπουδὴν ἀναχαιτίζοντα καὶ κωλύοντα, καὶ τὴν ψυχὴν τελευταῖον ἐν τοῖς τοιούτοις ἐθισθεῖσαν ἁμαρτήμασιν, ἀεὶ βαθύτερον κατασπῶντα, μέχρις ἂν κατὰ κράτος διαστραφῇ.

Τοιαύτας οὖν ἐπάγουσι ζημίας τὰ συγγνωστὰ καλούμενα ἁμαρτήματα, ἄλλως τε, καὶ ἐὰν συνεχῶς ἐπαναλαμβάνωνται, καὶ ἐν γνώσει τῆς αὐτῶν κακίας καὶ κατὰ γνώμην πρὸς ἄλλα τινὰ τέλη πράττωνται. Διὸ καὶ ὁ σοφὸς Σειρὰχ λέγει· « Ὁ ἐξουθενῶν τὰ ὀλίγα κατὰ μικρὸν πεσεῖται· » (α) ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστός: « Ὁ πιστός, φησιν, ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι, καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστιν. » (β) Οὐδεὶς γὰρ ὄντως ἐν μιᾷ καιροῦ ῥοπῇ εἰς τὸ τῆς διαφθορᾶς ἔσχατον ἀφικνεῖται, ἀλλ' ὑπὸ τῆς ἐμφύτου αἰδοῦς, μὴ εἰς τὸ παραυτίκα καταπατουμένης, πρὸς καιρὸν κατέχεται· ἀλλ' αὕτη κατὰ μικρὸν ἐλαττουμένη ἀπόλλυται, καὶ ἡ ψυχὴ τοῖς κουφοτέροις τῶν ἁμαρτημάτων ἐθισθεῖσα, οὐκ ἔτι οὐδὲ πρὸς τὰ μείζω καὶ βαρύτερα ἀποδειλιᾷ, καὶ ἑκουσίως τε καὶ ἀφόβως τὰ κουφότερα πράττων τις, ὑπὸ τῆς συνηθείας δεσμεύεται, καὶ εἰς τὰ μέγιστα ἐξέλκεται τῶν ἀνομημάτων.

§. 72. *Περὶ τῶν κακῶν, ὅσα τὰ ἁμαρτήματα ἀναγκαίως συνεπάγονται.*

Τὸ ἐκ τῶν ἁμαρτημάτων προσγιγνόμενον τοῖς ἀνθρώποις κακὸν ἀπερίγραπτόν τε καὶ ἀνεκτίμητον πέφυ-

(α) Κεφ. τθ'. 1. (β) Λουκ. ις'. 10.

Digitized by Google

κε· «Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;» ἥ φησιν ἡ σοφία τοῦ Θεοῦ. (α) Τὸ δὲ κυριώτατόν ἐστι ἁ, ὅτι τὴν τοῦ ἀνθρώπου ἀξίαν παντελῶς καθαιροῦντα δυσμορφοῦσιν ὅλως τὴν ἐν αὐτῷ θείαν εἰκόνα· β', πᾶσαν αἴσθησιν τοῦ ἀγαθοῦ κατὰ μικρὸν ἀποσβεννύουσι· γ', πᾶσαν δὲ σχέσιν καὶ οἰκειότητα τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν διαλύοντα, τὸν κίνδυνον ἐπάγουσι τοῦ χωρισθῆναι αὐτὸν διὰ παντὸς ἀπὸ τοῦ Θεοῦ καὶ ἀπὸ πάσης μετ' αὐτοῦ κοινωνίας κ.λ. Εὐλόγως ἄρα ὑπὸ τῆς Γραφῆς καλοῦνται ἄφρονες οἱ ἁμαρτωλοί, καὶ τοῖς κτήνεσι τοῖς ἀνοήτοις παραβάλλονται, καὶ αἰχμάλωτοι τῇ σαρκὶ, καὶ δοῦλοι τῶν ἐπιθυμιῶν λέγονται. Τοῦτο σημαίνει καὶ τὸ τοῦ Χριστοῦ· «Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας.» (β) Ἐκεῖνο γοῦν οὐδαμῶς ἀμφιβάλλεται, ὅτι πᾶσα μεγάλη καὶ ἀσύγγνωστος ἁμαρτία, συνεχέστερον μάλιστα πραττομένη, καὶ ἰδίαν ἐντίκτει τῷ ἀνθρώπῳ διάθεσιν, καὶ ἀεὶ ἀπωτέρω ἀποπλανᾷ αὐτὸν ἀπὸ τοῦ Θεοῦ, χρημνίζει δὲ βαθύτερον εἰς τὸ τῆς ἀθλιότητος καὶ κακοδαιμονίας βάραθρον. Δῆλον ἄρα ἐκ τούτων, ὡς πάντων τῶν κακῶν τὸ μέγιστον καὶ δεινότατόν ἐστιν ἡ ἁμαρτία.

§. 73. *Περὶ τῆς συνηθείας τοῦ ἁμαρτάνειν.*

Τῷ ἑκουσίως τὸ ἀθέμιτον πράξαντι αὐτίκα ἡ κλίσις ἐγγίνεται εἰς τὸ καὶ αὖθις ἐπιχειρῆσαι τοῖς αὐτοῖς, ἔνθα ἂν τύχοι καιροῦ. Μὴ κωλυθεῖσα δὲ, ἀλλὰ μᾶλλον καὶ θεραπευομένη, κρατύνεται, καὶ σφοδροτέρα καθίστα-

(α) Ματθ. ις'. 26. (β) Ἰωάν. η'. 34.

Digitized by Google

ται εἰς τὸ συνεχῶς πράττειν αὐτὸ δὴ τὸ ἀθέμιτον· καὶ οὕτω γίνεται ἡ καλουμένη συνήθεια, ῥοπή τις οὖσα καὶ προσκόλλησις εἰς τὸ ἁμάρτημα, ἐκ τοῦ συνεχῶς αὐτῷ περιπίπτειν γεννωμένη, καὶ εἰς αὐτὸ διὰ παντὸς ἐλαύνουσα. Οὕτω δὲ, προϊόντος τοῦ χρόνου, κατακυριεύει καὶ τοῦ νοὸς καὶ τῆς αἰσθήσεως, ὥσθ' ἅπαν τὸ τοῦ ἀνθρώπου ἦθος διαστρέφει καὶ διαφθείρει. Μετατρέπονται δὲ μάλιστα ἐν ὀλίγῳ χρόνῳ εἰς συνήθειαν τὰ πρὸς θεραπείαν τῆς σαρκικῆς ὁρμῆς πραττόμενα ἁμαρτήματα, ὡς ἐπιλαμβανόμενα σφοδρῶς τῆς αἰσθήσεως, καὶ σκοτίζοντα τὸν νοῦν, καὶ κατακυριεύοντα τοῦ πνεύματος, καὶ δεσμεύοντα αὐτό. Ὥσπερ δὲ τὰ ἁμαρτήματα, οὕτω καὶ ἡ τοῦ ἁμαρτάνειν συνήθεια ποικίλη τις καὶ διάφορος εὑρίσκεται. Ὅσῳ γὰρ μεῖζον τὸ, περὶ ὃ ἡ συνήθεια, καὶ ὅσῳ συνεχέστερον τὸ ἁμάρτημα πράττεται, καὶ μακρότερον διαμένει χρόνον, χωρίς τινος φροντίδος εἰς τὸ καταπαῦσαι αὐτό, τοσούτῳ καὶ ἡ συνήθεια μείζων καὶ χαλεπωτέρα. Ἐπειδὰν γὰρ πολὺν χρόνον ἐν τῷ ἀνθρώπῳ διαμείνῃ, ὅλον αὐτὸν τῇ φθορᾷ καταμιαίνει, καὶ σῶμα καὶ πνεῦμα αὐτοῦ καταστρέφουσα. Κυριώτατα δὲ τῶν ἐξ αὐτῆς κακῶν εἰσὶ τάδε· ἀ, τὸ μὲν θάρρος καὶ πᾶσαι αἱ τοῦ πνεύματος δυνάμεις κολούονται καὶ ἐξασθενοῦσι, τῶν δὲ κατ' αἴσθησιν παθήσεων ἡ ἰσχὺς καὶ βλαβερὰ ἐνέργεια κρατύνεται· β', ἡ ἠθικὴ ἐλευθερία, ὡς κυριαρχία τοῦ πνεύματος ἐπὶ τῆς σαρκὸς, παντελῶς ἀφανίζεται, καὶ ἡ τοῦ ἀγαθοῦ καὶ τοῦ ἀληθοῦς αἴσθησις κατὰ κράτος ἀποσβέννυται· γ', καὶ ἡ μὲν ἐσωτερικὴ τῆς ψυχῆς γαλήνη, καὶ ἡ τῆς καρδίας ἀνάπαυσις ἐκλείπει, οἱ δὲ τῆς συνειδήσεως ἔλεγχοι σὺν τῷ πλήθει τῶν ἁμαρτημάτων σφοδρότεροί τε καὶ δηκτικώτεροι ἀεὶ γίνονται· δ', καὶ τὰ τοῦ σώματος δὲ ὄργανα καὶ δοχεῖα καθ' ἑκάστην βιαίως κατατριβόμενα φθείρονται,

Digitized by Google

καὶ ἡ ὑγίεια ὑπερέουσα, τὸν πρόωρον καὶ παντελῆ τοῦ ὅλου ἀνθρώπου ὄλεθρον ἐπάγει. Καὶ τοιαῦτα μὲν τὰ ἐκ πάσης φαύλης συνηθείας κατὰ τὸ μᾶλλον καὶ ἧττον γινόμενα· εἰ δέ τις περὶ τούτων διστάζοι, θεωρείτω τὰ ὁσημέραι περὶ αὐτὸν ἐν τῷ κόσμῳ συμβαίνοντα. Ἐκ τούτου καὶ ὁ μακάριος Παῦλος ἀποφαίνεται, ὅτι « τὰ ὀψώνια τῆς ἁμαρτίας, θάνατος. » (α)

§. 74. Τὰ μὲν εἰρημένα φυσικαὶ ποιναί εἰσι τῆς ἐκ φαύλης συνηθείας ἁμαρτίας· οὕτω γὰρ θεόθεν ὠκονομήθη, ὥστε κατὰ φυσικὴν ἀνάγκην γίνεσθαι ταῦτα τῷ φαύλῃ τινὶ συνηθείᾳ δουλωθέντι, ἵνα ἢ ὅλως ἀπέχωσι ταύτης, ἢ ἔχοντες ἤδη, ἀποβαλέσθαι ταύτην φροντίζωσιν. Εἰσὶ δὲ παρὰ ταύτας καὶ ἕτεραι θετικαὶ καλούμεναι ποιναί, ὑπὸ τῶν νόμων ὁριζόμεναι, καὶ ἔργῳ τοῖς ἁμαρτάνουσιν ἐπαγόμεναι, ὡς τῶν φυσικῶν, καίτοι μεγάλων τε καὶ δεινῶν, μὴ δυναμένων κωλύειν τὰς φαύλας συνηθείας. Τούτων δὲ αἱ μέγισται ἐν τῇ μελλούσῃ ζωῇ ἀναβάλλονται, οἷον τὸ αἰωνίως χωρίζεσθαι τοὺς ἀμετανοήτους ἁμαρτωλοὺς ἀπὸ τῆς μετὰ τοῦ Θεοῦ καὶ τῶν μακαρίων πνευμάτων κοινωνίας. Οὕτω διδάσκει ὁ θεῖος λόγος « Οὐ παροικήσει σοι (Κύριε) πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου· ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν κ.λ. » (β)· τὸ ἀποπεμφθῆναι πρὸς οὓς εἵλοντο ἐν τοῖς φαύλοις τὴν ἡδονὴν ζητήσαντας· « Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ » (γ)· τὸ ὑπὸ τῶν ἀκαταπαύστων καὶ καυματηρῶν ἐλέγχων τοῦ συνειδότος ἀδιαλείπτως κολάζεσθαι ἐν τῇ αἰωνιότητι· « Καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυ-

(α) Ρωμ. ς'. 23. (β) Ψαλμ. έ. 4—6. (γ) Ματθ. κέ 41.

Digitized by Google

ρὸς » (α), καὶ « ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. » (β) Διὰ ταῦτα παραινεῖ ὁ σοφὸς Σειρὰχ λέγων· « Μὴ εἴπῃς, ἥμαρτον, καὶ τί μοι ἐγένετο; » (γ)

§. 75. *Ἀλεξήματα τῆς φαύλης συνηθείας.*

Οὐ ῥᾴδιον μὲν συνήθειαν φαύλην, καὶ ἐπὶ πολὺ κρατήσασαν, καὶ οἱονεὶ συνυφανθεῖσαν τῇ τοῦ ἀνθρώπου φύσει, ἀποβαλέσθαι· πολλοῦ γὰρ πόνου καὶ ἀγῶνος καὶ ἐπιμελείας δεῖται ἐνδελεχοῦς, ἀλλ' οὖν γε οὐδεμία τοιαύτη τυγχάνει, ὥστε ἀδιόρθωτον εἶναι, εἴ τις βούλοιτο χρήσασθαι τοῖς εἰς τοῦτο ἐπιτηδείοις. Τούτων δὲ τὰ μὲν, ἵνα φυλάττηταί τις ἀπὸ τῆς φαύλης συνηθείας, λυσιτελεῖ, τὰ δὲ, ἵνα τὴν ὑπάρχουσαν ἤδη ἀποβάληται, ἄλλα δὲ, ἵνα ἡ διορθωθεῖσα μηκέτι ἐπανέλθῃ. Καὶ τὰ μὲν πρῶτα εἰσί· Α', Σπουδαίως τε καὶ συνεχῶς ἀναλογίζεσθαι, ἡλίκος ἐπίκειται κίνδυνος τῷ φαύλῃ τινὶ συνηθείᾳ δουλωθέντι· ὁ γὰρ ἐντελῶς περὶ τούτου πεισθεὶς, ἀποστραφήσεται τὴν φαύλην συνήθειαν. Β', Προσέχειν τε καὶ νήφειν ἀδιαλείπτως, ἵνα μηδέποτε ἡ ἄλογος ὄρεξις τῆς σαρκὸς κατισχύσῃ τοῦ πνεύματος, αἰτοῦντα παρὰ τοῦ Θεοῦ τὸ « πνεύματι ἡγεμονικῷ στήριξόν με. » (δ) Γ', Φεύγειν καὶ τὰς ἐλαχίστας δοκούσας τῶν ἁμαρτιῶν, μηδεμίαν ἑαυτῷ ἐν γνώσει συγχωροῦντα ἀδικίαν, ὅσην ἂν δοκῇ ἡδονὴν, ἢ κέρδος, ἢ ἀνάπαυσιν παρέξειν. Εἰ δέ ποτέ τις ἢ ἐξ ἰδίας ἢ ἐξ ἀλλοτρίας ἐπιθυμίας δελεασθεὶς, ἔπραξέ τι πλημμέλημα, ἐξεγερθήτω ταχέως, μὴ ἀναβάλλων ἐπὶ πολὺ τὴν ἐπιστροφὴν εἰς τὸν Θεὸν, εἰς τὴν χρηστότητα καὶ εἰς τὴν ἀρετήν.

(α) Ματθ. ιγ'. 42. (β) Ἡσαΐας ξς'. 24. (γ) Σειρ. ἰ. 4—8. (δ) Ψαλ. ν'

Digitized by Google

Δ', Σκέπτεσθαι συνεχῶς περὶ τῆς ὁδοῦ καὶ τῆς διαγωγῆς τοῦ βίου, καὶ συμβουλεύεσθαι τῷ Θεῷ καὶ τῇ ἰδίᾳ συνειδήσει, πῶς δεῖ ἄρξασθαι βιοῦν τοῦ λοιποῦ, αἰτοῦντα φωτισμὸν καὶ ἀντίληψιν παρὰ τοῦ πατρὸς τῶν φώτων. Ε', Ἐξετάζειν ἐπιμελῶς ἑαυτὸν, μή τις ἐνοικῇ ἁμαρτία, καὶ ἀνιχνεύσαντα, ὅσον ἂν δοκῇ μικρὰ, καταπολεμεῖν τάχιστα, μέχρις ἂν κατὰ κράτος αὐτὴν νικήσῃ. ς', Ἀεὶ ἐπὶ τὰ κρείττω προβαίνειν ἐπιμελεῖσθαι, καὶ μηδέποτε φέρειν, ἵνα ὁ περὶ τούτου ζῆλος ψυχραίνηται, ἀλλ' ἀναῤῥιπίζειν ἀεὶ καὶ ἀναζωπυροῦν αὐτὸν, ταῦτα μέγιστον τοῦ βίου ἔργον ἡγούμενον.

Ὁ τούτοις οὖν ἐπιμελῶς χρώμενος, καὶ πᾶσιν αὐτοῦ τοῖς ἔργοις προσέχων, καὶ γενναίως τοῖς θελήμασι τῆς σαρκὸς ἀνθιστάμενος, ἀχείρωτός τε καὶ ἀσινὴς ὑπὸ τῆς φαύλης συνηθείας διατελέσει. Τῆς δὲ ὑπαρχούσης ἤδη ἀναιρετικὸν γίνεται τὸ ἀναλογίσασθαι, ἁ, πόσα καὶ πηλίκα ἁμαρτήματα καὶ πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον ἔσαι ἐκ ταύτης ἀναγκαίως, ἐὰν ἔτι κατισχύῃ· β', ποῦ ἄν τις ἀναγκαίως ἀφίκοιτο, ἐὰν ἔτι διαμείνῃ ἐν αὐτῇ, καὶ ἡλίκην ζημίαν ὑποστήσεται κατά τε τὴν ἀξίαν καὶ τὴν κλῆσιν αὐτοῦ, κατὰ τὴν τῆς ψυχῆς γαλήνην, κατὰ τὴν εὐδοξίαν καὶ τὸ καλὸν ὄνομα, κατὰ τὴν ὑγίειαν, καὶ ὅλως κατὰ τὸ σῶμα καὶ κατὰ τὸ πνεῦμα, ἔν τε τῇ παρούσῃ καὶ ἐν τῇ μελλούσῃ ζωῇ· γ', ἡλίκων κακῶν αἴτιος γένοιτ' ἂν τῷ πλησίον διὰ τῆς τοιαύτης διαστροφῆς, καὶ καταχρήσεως, καὶ ἀνίας· δ', ὅσον κινδυνεύει χωρισθῆναι διὰ παντὸς ἀπὸ τοῦ Θεοῦ, τοῦ ἄκρου ἀγαθοῦ. Τούτοις δ' ἐπιστήσας σπουδαίως τὸν νοῦν, χρησάσθω, οἷς δεῖ, ἵνα ταύτην ἀποβάληται τὴν συνήθειαν, μὴ φειδόμενος πόνου, μηδὲ προσοχῆς. Κυριώτατον δ' ἐν τοῖς τοιούτοις τὸ θάῤῥος, καὶ τὸ σταθερὸν τῆς γνώμης καὶ ἀμετάβλητον· ἐὰν γὰρ

Digitized by Google

ἀποδειλιᾷ καὶ γνώμην συνεχῶς μεταβάλλῃ, οὐδὲν κατορθώσει. Ἐπεὶ δὲ μετὰ τὴν ἀποβολὴν τῆς φαύλης συνηθείας, διὰ τὸ εἶναι ταύτην διαγωγὴν ἐν ἕξει, καὶ οἱονεὶ δευτέραν φύσιν, ἀναφαίνεται ἐπ' εὐκαιρίας τὸ κράτος αὐτῆς, κἂν τῷ δοκοῦντι νενικηκέναι ἤδη, ἀναγκαῖον διὰ πολλοῦ προσέχειν καὶ φυλάττεσθαι, μὴ αὖθις εἰς τὰς ἄρκυς αὐτῆς λεληθότως ἐμπέσῃ. Τὰ δὲ πρὸς τοῦτο ἐπιτήδεια εἰσί, ἁ, νηφαλιότης· καὶ ἐγκράτεια τῶν διὰ τοῦ σώματος ἡδονῶν καὶ τῆς τῶν αἰσθήσεων εὐπαθείας· β', περιστολὴ τῆς φαντασίας ἐν ταῖς εἰκόσι καὶ ταῖς παραστάσεσιν αὐτῆς· γ', ἀληθὴς διατίμησις καὶ κρίσις πάντων, περὶ ἅ τις ἀσχολεῖται· δ', ἀποφυγὴ μετὰ γνώμης τῶν τοιούτων συναναστροφῶν τε καὶ εὐκαιριῶν, ἐν αἷς ἡ ἀρετὴ κινδυνεύει· ε', διηνεκὴς ἐπὶ πάσας τὰς ἐπιθυμίας καὶ κλίσεις καὶ πράξεις ἐπαγρύπνησις, ὅπως μὴ ῥᾳδίως παρεισδύσῃ αὖθις καὶ ἐμφωλεύσῃ ροπή τις πρὸς τὸ ἀθέμιτον. Ἐκ πάντων οὖν τούτων ἡ ἠθικὴ συνίσταται δίαιτα, ἧς πάντες μὲν δέονται, μάλιστα δὲ οἱ φαύλῃ τινὶ συνηθείᾳ διὰ πολλοῦ δουλωθέντες. Οἱ γὰρ τοιοῦτοι διπλασίου δέονται πόνου καὶ ἐπιμελείας, ἵνα τὴν μὲν παλαιωθεῖσαν φύσιν τοῦ κακοῦ ἀποβάλωνται, τοῦ δὲ κρείττονος τὴν ἀνακαινισθεῖσαν ἀναλαβόντες, διαμείνωσιν ἐν αὐτῇ, καὶ ἀσφαλεῖς ἀπὸ τῶν προσβολῶν τῆς παλαιᾶς ὦσιν.

§. 76 *Περὶ καταλογισμοῦ τῶν ἐκ τῶν φαύλων πράξεων ἀποτελεσμάτων.*

Ὅτι μὲν ὁ ἄνθρωπος, ὡς λογικοῦ καὶ αὐτεξουσίου εὐμοιρήσας, ὑπεύθυνός ἐστι τῷ τε θείῳ καὶ τῷ ἐν ἀνθρώποις δικαστηρίῳ ἐφ' οἷς πράττει, ἐὰν μὴ ὦσι κατὰ νόμον, ὁμολογεῖται. Ἤγουν καὶ ὁ Θεὸς καὶ οἱ ἄνθρωποι δικαιοῦνται ἐξετάζειν τὰ μὴ κατὰ νόμον ὑπ' ἐκάστου

Digitized by Google

πραττόμενα, καὶ ὡς τοιαῦτα ἀποδεικνύναι, καὶ, ἐπειδὰν τάχιστα γνωσθῇ τὸ ἐν αὐτοῖς ἄδικον καὶ ἀθέμιτον, προτρέπειν αὐτὸν ἐπανορθῶσαι, ὅσον οἷόν τε, τὸ ἀδίκημα, μὴ πειθομένου δὲ, ἔξεστι, μᾶλλον δὲ καὶ ἀναγκαῖον ὑπάρχει, ὡς ἐχθρὸν καὶ λυμεῶνα τῆς κατὰ τὸν ἠθικὸν νόμον προσηκούσης τοῖς ἀνθρώποις τάξεως ἐλέγχειν· ὄντως γὰρ τοιοῦτος γίνεται, καὶ ἔστιν ὑπεύθυνος. Τοῦ δὲ ἀδικήματος ἡ ἐπανόρθωσις γίνεται, πρῶτον μὲν, ἐὰν μεταγνοὺς ἐφ' οἷς ἔπραξε, καὶ λυπούμενος, μηκέτι τοιούτοις ἐπιχειρῇ, εἶτα δὲ, ἐὰν τὰ ἐκ τῆς φαύλης αὐτοῦ πράξεως γενόμενα κακὰ ἀφέληται, ἀποζημιῶν τοὺς ἀδικηθέντας.

Ἐὰν δὲ μὴ πράξῃ οὕτως, εὐλόγως εἰκάζεται, ὅτι ἔνεστιν ἔτι αὐτῷ ὑπὲρ τοῦ κακοῦ ἡ προαίρεσις. Ὅτι δὲ καὶ περὶ ἀλλοτρίων πράξεων καθίσταται πολλάκις ὑπεύθυνος, οὐδεὶς, οἶμαι, ἀντερεῖ. (a) Πολλαχῶς γὰρ ταῖς ἀλλοτρίαις πράξεσι συνεργεῖν δυνάμενος, πολυτρόπως καὶ τῆς ἐπ' αὐταῖς εὐθύνης μέτοχος γένοιτ' ἂν, ἢ ἐντελλόμενος καὶ συμβουλεύων, ἢ συναινῶν καὶ προστατεύων τὸν φαῦλα πράττοντα, ἢ μὴ κωλύων, μηδὲ φανερῶν καὶ εἰσαγγέλλων, ἢ μετέχων, ἢ σιωπῶν. Ὅσῳ δέ τις ποικιλώτερον συνεργεῖ τοῖς πονηροῖς ἔργοις, τοσούτῳ φανερώτερος γίνεται, κακῶς πρὸς τὸν ἠθικὸν νόμον διακείμενος. Πρώτιστα δὲ καὶ μάλιστα πάντων ἔνοχος ἀλλοτρίων ἀδικημάτων γίνεται ὁ ταῦτα πράττειν διακελευόμενος, μάλιστα δὲ, ἐπειδὰν καὶ ἰσχὺν ἔχῃ ὁ λόγος αὐτοῦ· εἶτα δὲ καὶ ὁ συμβουλεύων, καὶ τὸν τρόπον ὑποδεικνὺς καὶ τὴν εἰς τὸ τέλος ἀσφαλῶς τε καὶ ταχέως ἄγουσαν, οὕτω καὶ ὁ συγκατατιθέμενος, καὶ ὁ ἐνισχύων τοὺς τὸ κακὸν ἐργαζομένους, καὶ καταφύγιον παρέχων αὐτοῖς

(a) « Quod quis fieri curat per alios, id per se fecisse censetur ».

Digitized by Google

ἀσφαλές, καὶ ὁ τῆς ἐκ τοῦ κακοῦ ὠφελείας συμμετέχων, καίτοι, πόθεν προσγίνεται, οὐκ ἀγνοῶν. Πάντες γὰρ οὗτοι συνεργοὶ καλοῦνται τοῖς ἀλλοτρίοις ἁμαρτήμασιν, ὥσπερ καὶ οἱ σιγῶντες, καὶ οἱ μὴ κωλύοντες, ἐπειδὰν δι' ἀποτροπῆς σπουδαίας, ἢ δι' ἀπειλῆς, καὶ ἐν ἀνάγκῃ, διὰ τῆς ἐν καιρῷ δηλώσεως πρὸς τὸν, καθ' οὗ τὸ κακὸν τεκταίνεται, ῥᾳδίως αὐτὸ κωλύειν ἔχωσιν. Οἱ γὰρ ὁπωσδήποτε δυνάμενοι κωλῦσαι, καὶ μὴ κωλύοντες τὸ κακὸν, εἰλόγως εἰκάζονται, ὅτι καὶ αὐτοῖς ἦν βουλομένοις πραχθῆναι. Ἵνα δέ τις σαφέστερον ταῦτα κατανοήσῃ, ἀναμνησθήτω τῆς προδοσίας καὶ τῆς κατακρίσεως καὶ τοῦ θανάτου τοῦ Κυρίου. Πόσοι τούτοις ἐγένοντο συνεργοὶ οὕτως ἢ ἄλλως, καὶ οὐδεὶς αὐτῶν ἐκηρύχθη ἀθῷος.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

§. 77. *Περὶ τῶν θανασίμων ἁμαρτημάτων.*

Πᾶσα μὲν ἁμαρτία, κατὰ τὸν μακάριον Ἰωάννην (α), ἀδικία ἐστὶ καὶ ἀνομία, ἤτοι καταφρόνησις τῆς θείας ἐντολῆς, καὶ αὐτοῦ δὴ τοῦ νομοθέτου Θεοῦ· ἀλλ', ὡς εἴρηται, ὑπάρχει ἐν ταῖς ἁμαρτίαις διαφορά. Τινὲς μὲν γὰρ τοιαῦταί εἰσιν, ὥστε καὶ πᾶσαν διαλύουσι σχέσιν ἡμῶν πρὸς τὸν Θεὸν, καὶ πᾶσαν ἐν ἡμῖν αἴσθησιν τοῦ ἀγαθοῦ θανατοῦσι, καὶ ὅλως κτείνουσι τὸν ἄνθρωπον, ἐπειδὰν ἰσχύσωσιν ἐν αὐτῷ, κατά γε τὴν κρείττονα καὶ ἠθικωτέραν ζωήν· διὰ τοῦτο καὶ θανάσιμοι ἁμαρτίαι καλοῦνται. Ἀριθμοῦνται δὲ συνήθως ὑπὸ τῶν σχολαστικῶν θεολόγων ἑπτὰ ταιαῦται, οἷον ἀ. ὑπερηφανία, β'. πλεονεξία, γ'. πορνεία, δ'. φθόνος, ε. ἀκρασία, ς'. ὀργὴ, ζ'. ἀκηδία. Ἀλλὰ καὶ εἰς τρεῖς μόνας συνάγοιντ' ἂν

(α) Α'. Ἐπιστ. γ'. 4.

Digitized by Google

ραδίως αἱ ἑπτὰ αὗται, ὡς φαίνεται τοῦτο λέγων καὶ Ἰωάννης ἐν τῇ πρώτῃ τῶν αὐτοῦ ἐπιστολῶν· « Πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρὸς, ἀλλ' ἐκ τοῦ κόσμου ἐστί » (α). Ταῦτα δὲ σημαίνουσιν, ὅτι τὸ ἀξίωμα τοῦ κόσμου καὶ τῶν φίλων αὐτοῦ οὐδέν ἐστιν ἄλλο, ἢ ἡ ἡδυπάθεια, μηδέποτε τῇ κατὰ λόγον μετριότητι καὶ τῷ ἠθικῷ νόμῳ ἐμμένουσα, ἀλλ' ἔκκεντρος ἀεὶ δηλουμένη ἐν τῇ ἀρχικῇ ὁρμῇ τῆς φιληδονίας, ἢ τῆς πλεονεξίας, ἢ τοῦ μίσους, καὶ οὕτω πολλῆς καὶ ποικίλης φθορᾶς αἰτία γινομένη. Πᾶσαι ἄρα αἱ εἰρημέναι ἑπτὰ θανάσιμοι ἁμαρτίαι τῆς τριττῆς ταύτης ὁρμῆς τυγχάνουσιν ἐκδηλώσεις, οἷον, τῆς μὲν φιληδονίας ἡ ἀσέλγεια, ἡ γαστριμαργία ἢ ἀκρασία, καὶ ἡ ἀκηδία, αἱ μὲν ὡς σπουδὴ πρὸς τὴν εὐπάθειαν, ἡ δὲ, ὡς ἀποστροφὴ ἀπὸ τοῦ τῇ ἀρετῇ συνόντος πόνου· τῆς δὲ πλεονεξίας ἡ φιλαργυρία, ὁ φθόνος, καὶ ἡ ὑπερηφανία. Πλεονεξία γάρ τις καὶ ὁ φθόνος τυγχάνει, εἰς ἕτερον μεταβαλλόμενος, ὅταν μηκέτι ἐλπὶς ᾖ κερδέσαι τὴν πλεονεξίαν· οὕτω δὲ καὶ τὸ τῆς ὑπερηφανίας· τοῦ δὲ μίσους, ἡ ὀργὴ καὶ ἡ ἐκδίκησις, καὶ ὅπου ἂν μηδὲν εἴη κερδᾶναι. Ὅλως δὲ ἡ ἀπὸ τῆς μιᾶς εἰς τὴν ἄλλην ὁρμὴν μετάβασις οὐ χαλεπῶς γίνεται, ἀλλὰ τῇ συνήθει διαιρέσει ἡμεῖς ἑπόμενοι, ἐροῦμεν, τὰ δέοντα περὶ ἑκάστου τῶν ἑπτὰ θανασίμων ἁμαρτημάτων.

§. 78. *Περὶ τῆς ὑπερηφανίας.*

Ποικίλα χαρίσματα καὶ δυνάμεις ἐδωρήθησαν τῷ ἀνθρώπῳ παρὰ τοῦ παναγάθου δημιουργοῦ αὐτοῦ, ἅπερ διὰ τῆς ἀσκήσεως κατὰ μικρὸν ἀναπτυσσόμενα, τελειό-

(α) Α'. Ἐπιστολ. ϐ'. 16.

Digitized by Google

τερά τε καὶ χρησιμώτερα γίνονται. Ἀλλὰ πεφύκασι ταῦτα καὶ λυσιτελῆ εἶναι πρὸς τὸ ἀγαθὸν καὶ τὴν ἀρετὴν, καὶ βλαβερά. Καθῆκον τοίνυν παντὸς ἀνθρώπου ἐπιμελεῖσθαι τῆς τελειοποιήσεως αὐτῶν καὶ τῆς εἰς τὸ ἀγαθὸν χρήσεως, κατὰ τὸ θέλημα τοῦ δωρησαμένου ἡμῖν ταῦτα Θεοῦ, καὶ προσέχειν ἀδιαλείπτως, μήποτε πρὸς ζημίαν τῆς ἀρετῆς καὶ τοῦ ἀγαθοῦ χρήσηταί τινι τούτων. Τῷ δὲ οὕτω πράττοντι δόξα καὶ τιμὴ καὶ ἀγάπη, κἂν μὴ ταῦτα ζητῇ, παρὰ τοῦ Θεοῦ καὶ παρὰ τῶν ἀνθρώπων ἕψεται· ἄλλως δὲ, κἂν ἐπιθυμητικῶς ταῦτα διώκῃ, οὐκ ἄν ποτε τούτων ἀξιωθείη. Ἀποδίδοται μὲν ἔσθ' ὅτε καὶ τῷ μὴ τὴν εἰρημένην ὁδὸν βαδίζοντι φάσμα τι σεβασμοῦ καὶ τιμῆς καὶ εὐνοίας, ἢ καὶ δολίως ἁρπάζεται ὑπ' αὐτοῦ, ἀλλ' ἔστιν ἀτεχνῶς φάσμα μόνον, καὶ οὐδὲν πλέον· τιμὴ δ' ἀληθὴς, καὶ ἡ ταύτῃ συνημμένη κλίσις τῶν καρδιῶν μόνῳ τῷ ἀτεχνῶς ἀξίαν καὶ μέγεθος καὶ ἀγαθότητα ψυχῆς κεκτημένῳ ἑκουσίως τε καὶ ἀπαραβιάστως ἀπονέμεται. Ἡ οὖν ἐκ πολλῆς αὐταρεσκείας μετὰ δόλου καὶ πανουργίας σπουδὴ εἰς τὸ περιποιήσασθαι ἑαυτῷ ὑπεροχήν τινα καὶ διάκρισιν καὶ εὔνοιαν, ἢ καὶ βιαίως ἀπαιτεῖν ταῦτα παρ' ἀξίαν, τοῦτό ἐστιν ὃ καλεῖται ὑπερηφανία.

§. 79. *Περὶ τῶν ἐκδηλώσεων ταύτης.*

Ἡ ὑπερηφανία, ὅπου ἂν ἐνυπάρχῃ, πολυτρόπως ἐκδηλοῦται, μάλιστα δὲ ἁ, τῇ ἐν παντὶ καιρῷ ἐπιδείξει τῆς οὔσης ἢ καὶ δοκούσης ὑπεροχῆς καὶ ἀξίας καὶ τῶν ἰδίων χαρισμάτων, ἐφ' οἷς καὶ δοκιμασίαν καὶ τιμὴν καὶ ἔπαινον παρὰ τῶν ὁρώντων ἀπαιτεῖ· β', τῇ πανταχοῦ παρεισδύσει, ὅπου ἂν προκέηται περὶ πρωτείων, καὶ προνομίων καὶ ἄλλης τινὸς διακρίσεως· γ', τῇ περιφρονή-

Digitized by Google

σει τῶν ἄλλων, καὶ καταχρήσει τῶν μὴ ἀσμένως προσκυνούντων, ἢ χαριζομένων αὐτῇ, ἢ ταῖς ἀξιώσεσιν αὐτῆς ἀνθισταμένων. Μεγαλαυχία δὲ καὶ ἀλαζονεία, καὶ φιλονεικία ἐκ προπετείας, καὶ θράσος, καὶ ἐκφαυλισμὸς τῶν ἄλλων ἀνθρώπων, καὶ ὑπόκρισις, καὶ ἀντίστασις ἄκαμπτος πάσῃ ἀλλοτρίᾳ δόξῃ, δορυφοροῦσι πανταχοῦ τὴν ὑπερηφανίαν. Ὁ δὲ ὑπερήφανος, ὡς εἰπεῖν, αὐτός ἐστιν ἑαυτῷ τὰ πάντα, ὑπερφίλαυτος ὤν, καὶ μηδὲν ἄλλο διανοούμενος ἢ ζητῶν, ἢ μέγας πανταχοῦ καὶ ἔξοχος δοκεῖν, μόνος φρονεῖν κράτιστα πάντων οἰόμενος, καὶ νοεῖν πάντα, καὶ ἐπίστασθαι πάντα, καὶ ἄριστα, ἃ ἂν αὐτὸς πράττοι, ἐπινενοῆσθαι. Ἥκιστα δ' ἀνέχεται τὸ μὴ βούλεσθαί τινα ὁμολογεῖν τὴν ὑπεροχὴν αὐτοῦ, ἢ ἀντιλέγειν αὐτῷ ποτε καὶ διακόπτειν, ἢ παρὰ τὸ ἐκείνου ἀξίωμα πράττειν. Τοῦτο γὰρ δὴ καὶ εἰς μανίαν αὐτὸν ἄγει. Ἐκ τούτου οὖν δηλοῦται ἡ ὑπερηφανία, ἡλίκη διαστροφὴ τοῦ πνεύματός ἐστι! διαστροφὴ καὶ ἐν τῷ φρονεῖν, καὶ ἐν τῷ πράττειν. Ἡ γὰρ τοῦ φρονήματος διαστροφὴ τὴν φαύλην ἀπακύει διαγωγὴν, καὶ τἀνάπαλιν, τὸ τῆς διαγωγῆς φαῦλον τὴν διαστροφὴν συνεπάγεται τοῦ φρονήματος, καὶ οὕτω παρασυρόμενος πανταχόθεν ὁ ὑπερήφανος, ἐμπίπτει ἀθλίως εἰς ταράχων λαβύρινθον, οὗ ἡ διέξοδος ἀδύνατος αὐτῷ πολλάκις καθίσταται.

§. 80. *Τὰ, ἐφ' οἷς ἡ ὑπερηφανία.*

Ὥσπερ αἱ τῆς ὑπερηφανίας ἐκδηλώσεις πολλαὶ καὶ ποικίλαι, οὕτω καὶ τὰ ἐφ' οἷς μέγα φρονοῦσιν οἱ ἄνθρωποι· οἱ μὲν γὰρ ἐπὶ τοῖς τοῦ πνεύματος πλεονεκτήμασιν, οἱ δὲ ἐπί τινι ἕξει καὶ δεινότητι, οἱ δὲ καὶ ἐπὶ τῷ κάλλει καὶ τῇ ῥώμῃ τοῦ σώματος, οἱ δ' ἐπὶ τῷ πλούτῳ καὶ τῇ τοῦ γένους περιφανείᾳ ὑψηλοφρονοῦσι, καὶ τοῦ

Digitized by Google

πλησίον καταφρονοῦσιν, ἀλλ' οὐδέτερον τούτων εὔλογον φαίνεται. Εἰ γάρ τις θεωρεῖν αὐτὰ βούλοιτο, θθεν δεῖ; τί πάντα ταῦτα ἐστί; ἆρ' οὐχὶ δῶρα, καὶ οἱονεὶ τάλαντα πεπιστευμένα ἡμῖν παρὰ τῆς πατρικῆς ἀγαθότητος τοῦ Θεοῦ πρὸς τὸ ἀγαθὸν, καὶ οὐκ ἔργον ἡμέτερον οὐδὲ κτῆσις ἰδία; Οὐχ ὑπεύθυνοι περὶ τῆς αὐτῶν χρήσεως; εἶτα δὲ καὶ τὰ πλεῖστα τούτων τοιαῦτα πέφυκεν, ὥστε καὶ ἀρθῆναι ἀφ' ἡμῶν κατὰ πᾶσαν ὥραν ἐνδέχεται· κἂν δὲ μέχρι τέλους τοῦ παρόντος βίου παραμείνωσιν, ἀλλὰ τότε δὴ ἀνάγκη πάντα καταλιπεῖν, καὶ πρὸς τὸν δωρησάμενον ἀπελθόντας, λόγον ἀποδοῦναι περὶ τῆς αὐτῶν χρήσεως. Διὸ καὶ ὀρθῶς ὁ τοῦ Κυρίου Ἀπόστολος λέγει· « Τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; » (α) Ἐντεῦθεν οὖν τὸ τῆς ὑπερηφανίας μωρὸν καὶ ἀνόητον ἐλέγχεται. Ἔστι γὰρ ἀληθῶς μωρία καθ' ἑαυτὴν, μᾶλλον δὲ πώρωσις τοῦ πνεύματος, ἐπιλελησμένου τῆς ἀπὸ τοῦ Θεοῦ φύσει ἐξαρτήσεως ἡμῶν, καὶ τῆς πρὸς τὸ ὁμόφυλον σχέσεως, θθεν καὶ διαγωγὴ φαύλη πρός τε τὸ Θεῖον καὶ πρὸς τὸ ὁμόφυλον καὶ πρὸς ἑαυτόν. Ὅπου δ' ἂν ἅπαξ ἐγκατασταθῇ, αὐτίκα καὶ ἐν τῷ φρονήματι, καὶ ἐν τοῖς λόγοις, καὶ ἐν ταῖς πράξεσι δηλοῦται, ὅλον τὸν ἄνθρωπον καταδουλοῦσα, καὶ τῇ φθορᾷ μιαίνουσα. Τοῦθ' ἕνεκα καὶ ὁ Σειρὰχ ἀποφαίνεται, « Μισητὴ ἐναντι Κυρίου καὶ ἀνθρώπων ὑπερηφανία » (β). ὁ δὲ μακάριος Πέτρος φησὶν, « Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν » (γ). Ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατακρίνων ἐν παντὶ καιρῷ ταύτην, ἀδιαλείπτως ἐξήλαυνε πᾶσαν ἀπὸ τῶν μαθητῶν αὐτοῦ ὑψηλοφροσύνην· « Ὑμεῖς, ἔλεγεν αὐτοῖς, μὴ κληθῆτε ῥαββεί· εἷς γάρ ἐστιν ὁ κα-

(α) Α'. Κορ. δ'. 7. (β) Σοφ. Σειρ. ι'. 7. (γ') Α'. Ἐπιστ. ε'. 5'.

Digitized by Google

θηγητὴς καὶ διδάσκαλος ὁ Χριστὸς, ὑμεῖς δὲ πάντες ἀδελφοί ἐστε.» (α) Καὶ συζητούντων ποτέ, τίς ἄρα ἔσται μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; (ἦγουν ἐν τῇ γενομένῃ παρὰ τοῦ Θεοῦ διὰ τοῦ Χριστοῦ οἰκονομίᾳ ἐν τῷ κόσμῳ πρὸς ἁγιασμὸν καὶ μακαριότητα τῶν ἀνθρώπων) παραλαβὼν παιδίον ὁ Ἰησοῦς, καὶ δείξας αὐτὸ εἶπεν, «Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὅστις οὖν ταπεινώσῃ ἑαυτὸν, ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.» (β)

§ 81. *Περὶ τῆς προσηκούσης τῷ ἀνθρώπῳ διαγωγῆς.*

Ἀντιθέτως πρὸς τὴν ὑπερηφανίαν ἔχει ἡ χαμέρπεια, ἐξευτελισμός τις οὖσα τῆς ἰδίας ἀξίας καὶ καταφρόνησις τῆς ἐν ἡμῖν θείας εἰκόνος· διὸ καὶ ταύτης οὐχ ἧττον ἀφεκτέον ἡ τῆς ὑπερηφανίας. Μεταξὺ δὲ τῶν δύο τούτων ὑπερβολῶν τυγχάνει ἡ ἔλλογος μετριοφροσύνη, ἡ τῷ λογικῷ ἀνθρώπῳ προσήκουσα. Ὑφίσταται δὲ ἐν τῷ γινώσκειν ὀρθῶς ἑαυτὸν καὶ ἄνευ προλήψεως καὶ φιλαυτίας, καὶ τιμᾷν τὰ τῶν ἄλλων ἀνθρώπων πλεονεκτήματα οὐχ ἧττον, ἢ τὰ ἑαυτοῦ, καὶ ἴσον ἑκατέρου τῶν ἄκρων ἀφίστασθαι, ἐν οἷς ἔνθεν μὲν ὁ ἀλαζὼν καὶ ὑπερήφανος, ἐκεῖθεν δὲ ὁ χαμερπὴς δοῦλος καὶ κόλαξ ἵστανται. Ὁ μετριόφρων βαδίζει διὰ παντὸς τὴν ὁδὸν αὐτοῦ μεθ' ἡσυχίας, ἐπιμελούμενος τοῦ ἀγαθοῦ, καὶ τοῦτο πράττων, ὅπου ἂν δύνηται, μηδένα παραγκωνιζόμενος, μηδὲ δουλικῶς κολακεύων, ἵνα τύχῃ τιμῆς ἢ ἀξιώματος· καὶ αἰτήσας ταῦτα κοσμίως, πρὶν ἢ δέξηται προσφερόμενα, σκοπεῖ, εἰ ἄρα ἱκανὸς βαστάσαι

(α) Ματθ. κγ'. 8.
(β) Ματθ. ιή'. 2—5.

Digitized by Google

τὸ δι' αὐτῶν ἐπιτιθέμενον αὐτῷ βάρος, καὶ οὐδὲν ἀναδέχεται, οὐδὲ ζητεῖ ὁ ἂν τὰς ἑαυτοῦ δυνάμεις ὑπεραίρῃ· ὁ δ' ἂν ἀναδέξαιτο, τούτου πιστῶς καὶ εὐσυνειδήτως ἐπιμελεῖται, μήτε πρὸς τοὺς ἐπαίνους μήτε πρὸς τοὺς ψόγους τῶν ἄλλων ἀφορῶν. Ἄλλως δὲ οὐδὲν πλέον βούλεται δοκεῖν, ἢ ὅπερ ἀληθῶς ἐστιν ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων. Αὕτη τοίνυν ἐστὶν ἡ τῷ ἀνθρώπῳ μόνη προσήκουσα διαγωγή.

§. 82 *Ἀλεξήματα κατὰ τῆς ὑπερηφανίας.*

Καί τοι ἀνίατος δοκεῖ ἀσθένεια τοῦ πνεύματος ἡ ὑπερηφανία, οὐ μὴν ἀπολύτως τοιαύτη ἐστίν, ἀλλ' εἴτις βούλοιτο τοῖς ὁμολογουμένοις ἀλεξήμασιν ἐπιμελῶς χρῆσθαι, οὐκ ἀνίατος φανεῖται. Εἴη δ' ἂν τάδε. Α'. τὸ συνεχῶς καὶ σπουδαίως ἀναμιμνήσκεσθαι τῆς ἐξαρτήσεως ἡμῶν ἀπὸ τοῦ Θεοῦ. Πόθεν γὰρ πάντα τὰ ἡμέτερα; Καὶ ποῦ ἂν εἴημεν ἔτι καὶ νῦν, εἰ ἀφέλοι ὁ Θεὸς ἀφ' ἡμῶν τὴν πατρικὴν αὐτοῦ χεῖρα; Ὡς οὐδὲν ὁ ἄνθρωπος χωρὶς τοῦ Θεοῦ! Β'. Τὸ ἀπροκαταλήπτως χρίνειν τὰ τῶν ἀνθρώπων μεγαλεῖα, καὶ τὰς δόξας καὶ τὰς τιμὰς καὶ τοὺς ἐπαίνους. Τί γὰρ ταῦτα πάντα εἰσὶν ἀληθῶς ἐξεταζόμενα; Τίς ἂν εὖ φρονῶν ἔσοιτο καὶ ἐπ' ἐλάχιστον πεποιθὼς ἐπ' αὐτά; ἢ οὐχὶ ἀβέβαια πάντα καὶ εὐμετάβλητα καὶ ὀλιγοχρόνια; Τῆς δὲ ἐπιγείου λήξεως ἐπιστάσης, τί ἂν εἴη πάντων τούτων ὄφελος; Γ'. Τὸ συνεχῶς παρατιθέναι τὴν νῦν ἡμῶν κατάστασιν, πρὸς ἣν ἔδει, διὰ τῶν δοθέντων ἡμῖν χαρισμάτων, ἀφικέσθαι. Ὅσον ἀπέχει ἀφ' ἡμῶν τὸ τέρμα! Δ'. Τὸ θεωρεῖν συνεχῶς τὴν τῶν ἄλλων πρόοδον εἰς τὴν ἠθικὴν τελειότητα, διὰ τῆς μείζονος σπουδῆς καὶ ἀσκήσεως. Ε'. Τὸ ἀναλογίζεσθαι ἀκριβῶς τὴν καθ' ἡμᾶς ἀτέλειαν καὶ τὴν ἐξ ἀλλοτρίας βοηθείας ἐξάρτησιν. Πόσον ἔτι εἰς μόνα τὰ αἰσθητὰ καὶ τὰ ἀθέμιτα ῥέπομεν, πόσον ἔτι βραδεῖς καὶ νωθροὶ ἐσμὲν εἰς τὸ

Digitized by Google

ἀγαθὸν, ὅπερ ἡδυνάμεθα πρᾶξαι, εἰ καὶ ἡ θέλησις παρῆν. Ὅσῳ οὖν συνεχέστερόν τε καὶ σπουδαιότερον ἀναλογίζεταί τις ταῦτα, τοσούτῳ μᾶλλον καὶ ἡ φαντασία καταβιβάζει τὴν ἑαυτῆς ὑπερήφανον πτέρυγα ἐπὶ τὴν λογικὴν μετριοφροσύνην, ἣν καὶ ταπείνωσιν ὀνομάζομεν.

§. 83. *Φιλαργυρία ἢ περὶ τῆς γενέσεως αὐτῆς.*

Ἀνέκαθεν καὶ ὑπὸ τῆς ἰδίας καὶ ὑπὸ τῆς ἀλλοτρίας πείρας μανθάνει πᾶς τις, τίνα τὰ πρὸς συντήρησιν τῆς ζωῆς καὶ πρὸς εὐπάθειαν τοῦ σώματος συντελοῦντα· καλοῦνται δὲ ταῦτα, ἐπιτήδεια, καί εἰσι πολλὰ, καὶ διάφορα τὴν ἀξίαν, κατὰ τὴν σχέσιν αὐτῶν πρὸς τὸ τέλος· ἡ δὲ περιουσία αὐτῶν καλεῖται κοινῶς πλοῦτος. Ὁρμὴ οὖν τις ἐμπέφυκε παντὶ ἀνθρώπῳ εἰς τὸ πορίζεσθαι οὐχ ἁπλῶς τὰ εἰς τὸν καθ' ἡμέραν βίον ἐπιτήδεια, ἀλλὰ καὶ περιουσίαν αὐτῶν, ἵνα μή ποτε κινδυνεύσῃ σπανίσαι, ἢ καὶ ὅλως στερηθῆναι τούτων, ὡς μὴ παρούσης ἀεὶ τῆς δυνάμεως, οὐδὲ τοῦ καιροῦ, εἰς τὸ πορίζεσθαι ταῦτα· Θείας δήπου οἰκονομίας ἡ ὁρμὴ αὕτη τυγχάνει, ἥπερ δεῖ πείθεσθαι, καὶ μὴ ἀμερίμνως τὸν βίον διάγειν, ἀλλ' οὐ τοῦτο ἔργον κυριώτατον ἡγεῖσθαι τοῦ βίου, ἀλλὰ τῇ κατὰ λόγον μετριότητι θεραπεύειν τὴν ὁρμὴν ταύτην, καὶ περιστέλλειν ἐντὸς τῶν ὑπὸ τοῦ ἠθικοῦ νόμου τεθειμένων ὁρίων. Καὶ οὕτω μὲν ἔδει γίνεσθαι, καὶ τοῦτο δὴ τὸ καθῆκον, ἀλλὰ γὰρ πείρᾳ εἰδότες γινώσκομεν, ὅτι πολλάκις καὶ πολλαχῶς ὑπεράλλεται τῶν ὁρίων ἡ ὁρμὴ αὕτη, καὶ εἰς ἀκόρεστον ἐπιθυμίαν διαστρέφεται, μηκέτι ὑπὸ τοῦ δικαίου ἢ ἀδίκου κρατουμένη· Αὕτη οὖν ἡ ἀκράτητος καὶ ἀχαλίνωτος ὁρμὴ εἰς τὸ θησαυρίζειν ἄμετρον τῶν ἐπιτηδείων περιουσίαν καλεῖται γενικῶς μὲν πλεονεξία, εἰδικώτερον δὲ φιλαργυρία.

Digitized by Google

§. 84. *Περὶ τῶν διαφόρων εἰδῶν αὐτῆς.*

Ὥσπερ ἡ ὑπερηφανία, διὰ τὸ ποικίλως ἐκδηλοῦσθαι, πολλὰς προσωνυμίας λαμβάνει, οὕτω καὶ ἡ πλεονεξία· κοινότερα δὲ ταύτης ὀνόματα λέγονται ταῦτα· ἀ, ἐναγώνιος μέριμνα τῶν βιωτικῶν· β', πλεονεξία· γ', φιλαργυρία· δ', τοκογλυφία· ε, αἰσχροκέρδεια· ς', φειδωλία· ζ', γλισχρότης καὶ ῥυπαρία ἢ μικρολογία. Καὶ ἐναγώνιος μὲν καλεῖται μέριμνα, ὅταν ἡ πρὸς τὸν πορισμὸν, μᾶλλον δὲ πρὸς τὴν περίσσειαν τῶν ἐπιτηδείων σπουδὴ διενεργῆται μετὰ δειλίας μικροψύχου καὶ μετὰ ταλαιπωρίας, χωρὶς ἀνέσεως, καὶ ὅπου ἔτι, κατὰ πάντα λογισμὸν ἀνθρώπινον, οὐδεὶς φαίνεται ἐνδεχόμενος κίνδυνος στερήσεως· κυρίως δὲ καὶ ὅταν ὑπάρχῃ δυσπιστία τις εἰς τὴν θείαν πρόνοιαν. Πλεονεξία δὲ, ὅταν τις ἐξ ἀπληστίας μηδὲν ὅριον τίθηται ἢ μέτρον τῇ πρὸς τὴν κτῆσιν σπουδῇ. Φιλαργυρία δὲ ἰδίως, ὅταν πρὸς τὸ ἀργύριον μάλιστα χαίνῃ, καὶ τὴν τούτου κτῆσιν ὑπόθεσιν παντὸς τοῦ βίου ποιῆται, ὡς πᾶν ἄλλο τῶν ἐπιτηδείων ἀναπληροῦντος. Πάλιν δὲ κερδοσκοπία καὶ τοκογλυφία, ὅταν εἰς ὑπέρμετρα καὶ ἄδικα καὶ ἄνομα κέρδη παρεκτρέπηται. Ἐλισχράτης, ὅταν τῶν ὑπαρχόντων οὕτως ἀντέχηται καὶ φυλάττῃ, ὥστε οὐδ' αὐτὸς ἔτι ἅπτεσθαι αὐτῶν ἢ χρήσασθαι ταλαῖ πρὸς τὰς ἑαυτοῦ χρείας, ἥκιστα δὲ πρὸς τὰς ἀλλοτρίας, ὅπου τὸ τῆς φιλανθρωπίας ἢ καὶ τῆς δικαιοσύνης καθῆκον ἐπιβάλλει τὴν χρῆσιν αὐτῶν. Ῥυπαρία δὲ καὶ μικρολογία τελευταῖον καλεῖται, ἐπειδάν τις εἰς τεχνάσματα ἀπρεπῆ καὶ φειδωλίας αἰσχράς τε καὶ γελοίας καταφεύγῃ, ἵνα τὸ πολὺ ἔτι πλεῖον ποιήσῃ.

§. 85. *Περὶ τῶν ἐκ τῆς φιλαργυρίας κακῶν.*

Πολλὰ μὲν καὶ ποικίλα εἰσὶ τὰ ἐκ τῆς φιλαργυρίας

Digitized by Google

κακὰ, διὸ καὶ ἡ θεία Γραφὴ ἐν κεφαλαίῳ λέγει περὶ αὐτῆς, ὅτι «ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία» (α). τὰ δὲ κορυφώτατα τῶν ἐξ αὐτῆς εἰσι ἀ, ἡ σκληροκαρδία καὶ ἀσπλαγχνία εἰς τὴν τοῦ πλησίον δυστυχίαν· β', ἡ παντοδαπὴ εἴδους ἀδικία· γ', ὁ δόλος καὶ ἡ ἀπάτη· δ', ἡ ἀπιστία καὶ προδοσία, ὅπου ἂν φαίνηται ἐκ τούτων κέρδους ἐλπίς· ε', ὀλιγωρία τῆς ἑαυτοῦ προόδου εἰς τὴν ἠθικότητα· ς', ἡ εἰς Θεὸν ἀσέβεια· ζ', ἡ τελεία ἐξαχρείωσις. Ἔτι δὲ καὶ αὐτὴν τὴν τοῦ ἀνθρώπου ὑγίειαν ἐπηρεάζει δεινῶς ἡ φιλαργυρία τῇ ἀδιαλείπτῳ μερίμνῃ τε καὶ λύπῃ κατατρύχουσα, ἄλλως τε, καὶ ἐπειδὰν μὴ κατ' εὐχὴν ἀποβαίνωσιν, ἢ ὅλως ἀποτυγχάνωσιν αἱ ἐλπίδες. Ὅτι δὲ ἡ φιλαργυρία τὴν τοῦ κρείττονος ἐμπαιστὶ καταφρόνησιν, ἐδίδαξε σαφῶς ὁ Σωτὴρ ἡμῶν διὰ τούτων. «Ὁ δὲ εἰς τὰς ἀκάνθας σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον καὶ ἄκαρπος γίνεται.» (β). Ὅτι δὲ καὶ σκληροκάρδιον αὐτὸν ἀπεργάζεται καὶ πρὸς τὴν τοῦ πλησίον ἀθλιότητα ἀναίσθητον, ἐν τῇ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου παραβολῇ ἐδήλωσε προσθεὶς καὶ τὴν παραίνεσιν, «Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ» (γ). Εἶπε δὲ καὶ ἄλλην παραβολὴν «Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα κ. τ. λ. (δ) ἐλέγχων τὸ μωρὸν καὶ ἀσύνετον τῆς ἁμαρτίας ταύτης. Καὶ ὅλως δὲ ἡ πρὸς τὸν πλοῦτον ἄμετρος σπουδὴ κωλυτικόν ἐστι τῆς πρὸς τὰ κρείττονα σπουδῆς καὶ τῆς δικαιοσύνης, καὶ φιλαδελφίας. Οὕτω δὲ σφοδρῶς θέλγει τὴν ἀνθρωπίνην καρδίαν ὁ πλοῦτος, δεσμεύων καὶ

(α) Α'. Τιμοθ. ς'. 9. (β) Ματθ. ιγ'. 3. κ. ε. (γ) Λουκ. ις'. 19. (δ) Λουκ. ιβ'. 15.

Digitized by Google

καταγοητεύων αὐτὴν καὶ ἐξαπατῶν, ὥστε, εἰμὴ τοῦτο ἡ καθ' ἡμέραν πεῖρα ἐδίδασκεν, ἄπιστον ἂν ἐδόκει. Ἐγγενομένη γὰρ ἅπαξ ἡ τοῦ πλουτεῖν ἐπιθυμία, ὅλου αὐτίκα τοῦ ἀνθρώπου κατεξουσιάζει οὕτως, ὥστε μηκέτι δύνασθαι, μήτε ἀκούειν ἄλλο, μήτε λογίζεσθαι, μήτε ἐπιθυμεῖν, ἢ πῶς ἂν τὸ πολὺ πλέον ποιήσειε. Διὰ τοῦτο ὁ Σωτὴρ ἡμῶν ἔφη, «Ὅπου ἐστὶν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν» (α) Ὅλον γὰρ ἑαυτὸν φέρων ὁ φιλάργυρος τῷ, ὃν φιλεῖ, πλούτῳ ἀνατίθησιν, οὐκ ἔτι ἡσυχίαν ἄγων, οὐκ ἔτι κορρενύμενος, μέχρις ἂν ξηράνῃ καὶ καταστρέψῃ πᾶσαν αὐτοῦ τὴν ζωήν. Τούθ' ἕνεκα ἀποκαλεῖ ὁ θεῖος Παῦλος τὴν φιλαργυρίαν ἀντικρυς εἰδωλολατρείαν (β), καὶ ἐντόνως τῷ ἑαυτοῦ μαθητῇ Τιμοθέῳ γράφει, «Παραγγέλλειν τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πλουσίως πάντα εἰς ἀπόλαυσιν, ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικοὺς, ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς» (γ).

§. 86. *Ἐν τίνι τὸ τῆς φιλαργυρίας κακόν.*

Ἡ φιλαργυρία διαστροφή τίς ἐστι τοῦ νοὸς καὶ τῆς θελήσεως. Ὁ γὰρ φιλάργυρος τοῦ κρείττονος ἀπολειπόμενος καὶ καταφρονῶν, ἐπὶ τὸ χεῖρον ὅλως πέποιθε, καὶ τοῦτο ἀσπάζεται τὸ ἀσταθὲς καὶ εὐμετάβλητον, καὶ ὀλίγου ἄξιον, καὶ τούτῳ πᾶσαν τὴν ὕπαρξιν αὐτοῦ ἀνατίθησιν. Οὕτω δὲ παραφρονῶν, τὴν μὲν τοῦ ἀνθρώπου ἀξίαν ἐν ἑαυτῷ ἀτιμάζει, τὸν δὲ Θεὸν, τὸ μόνον ὕψιστον καὶ τελειότατον ἀγαθὸν, δεύτερον τίθεται τῶν μη-

(α) Λευκ. ιβ'. 34. (β) Ἐφ. ε. 5. (γ) Α'. Τιμ. ς'. 17—19.

Digitized by Google

δενὸς ἀξίων παρ' αὐτῷ λογιζομένων, τὸ δὲ ὁμόφυλον πολλαχῶς ἀδικεῖ ἀποστερῶν αὐτοὺς διὰ πλεονεξίαν τῶν ὀφειλομένων εὐεργετημάτων, καὶ καταπιέζων καὶ λυμαινόμενος.

§ 87. *Περὶ τῆς ἐν τῇ φιλαργυρίᾳ εὐθύνης.*

Διάφοροι δ' εἰσὶ καὶ τῆς φιλαργυρίας βαθμοί. Ὅσῳ γὰρ μᾶλλον τῇ πρὸς τὸν Θεὸν ἀσεβείᾳ συνέχεται, καὶ τῇ τῶν καθηκόντων ὀλιγωρίᾳ, ἔτι δὲ καὶ τῇ ἀπηνείᾳ καὶ τῇ ἀναλγησίᾳ καὶ τῇ ἀδικίᾳ πρὸς τὸ ὁμόφυλον, καὶ οἱονεὶ τῷ ἀργυρίῳ καὶ τοῖς ἄλλοις κτήμασιν ἐπιμαίνεται, τοσούτῳ μείζων καὶ ἡ ταύτης κακία καὶ ἁμαρτία κρίνεται. Ἄρχεται δ' ἐκεῖθεν, ὅταν τις μηκέτι τοῖς ἐκ τῆς συνήθους ἐπιμελείας τε καὶ φιλοπονίας, ἥπερ παντός ἐστι καθῆκον, γινομέναις ἐπιτηδείοις τῷ βίῳ ἀρκούμενος, δόλους καὶ τέχνας παντοίας μηχανᾶται, οὐχ ἵνα ἐντίμως διατρέφηται, καὶ ἄλλους ὠφελῇ, ἀλλ' ἵνα τοῖς παροῦσι τὰ μὴ πρασόντα συνάψῃ, καὶ ἐπὶ παντὸς πράγματος τὸ πλέον ἔχῃ τοῦ δέοντος καὶ ἐπιβάλλοντος. Προβαίνει δὲ περαιτέρω, ἐπειδὰν ἄρξηταί τις καὶ ἐν τῇ τροφῇ καὶ ἐν τῷ ἱματισμῷ καὶ ἐν τῇ ἄλλῃ τοῦ τε σώματος καὶ τοῦ πνεύματος θεραπείᾳ περιστέλλειν ἑαυτὸν καὶ τοὺς ἄλλους πέρα τοῦ μετρίου, ἵνα καὶ ἐκ τούτου προστεθῇ τι τοῖς ὑπάρχουσιν αὐτῷ. Πρόεισι δ' ἐπὶ μεῖζον, ἐπειδὰν ἄρξηται καὶ ἀδικεῖν ἀτεχνῶς ἐκ πλεονεξίας, καὶ ζημιοῦν μετὰ δόλου, καὶ κλέπτειν δι' ἀπάτης, καὶ πάντα μηχανᾶσθαι, ὅπως τὰ μὴ προσήκοντα ἁρπάσῃ. Ἐπὶ δὲ τὸ μέγιστον ἀφικνεῖται, ἐπειδὰν ἀδιάφορον δοκῇ τῷ φιλαργύρῳ τὸ ὅσιον καὶ ἱερὸν ἢ τὸ βέβηλον, ἐὰν μόνον εἰς κέρδους τινὸς ἀπόλαυσιν συντελῇ. Οὕτω γὰρ βέβηλος παντάπασι γίνεται, ἤτοι ἀλλότριος

Digitized by Google

τοῦ Θεοῦ, καὶ πρὸς πᾶν τὸ ἐν ἀνθρώποις ἀγαθὸν καὶ δίκαιον καὶ τίμιον ἀναίσθητος ὁ φιλάργυρος.

§. 88. *Αἱ συνήθεις τῶν φιλαργύρων προφάσεις.*

Καί περ οὕτως ἐπονειδίστου κακίας οὔσης τῆς φιλαργυρίας, ὅπου ἂν ἅπαξ κατισχύσῃ, οὐκ ἐλλείπουσι μέντοι οὐ δὲ τῷ ῥυπαρωτάτῳ τῶν φιλαργύρων προφάσεις, αἷς ἀγωνίζεται καλύπτειν τὴν μωρίαν τῆς ἑαυτοῦ κλίσεως, καλλίστοις ἐπιχρωννύων χρώμασιν αὐτὴν ὡς καὶ τῶν ἄλλων ἕκαστος τὴν ἑαυτοῦ κακίαν. Κυριώτατα δὲ τούτων εἰσὶ ά· Εἴτις, φησὶν ὁ τοῦ Κυρίου Ἀπόστολος, τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων (α). Τί δ' ἄλλο ποιῶ ἐγὼ περὶ τοῦ ἐμαυτοῦ οἴκου φροντίζων, ἢ ὅπερ ὁ λόγος τοῦ Θεοῦ ἐντέλλεται; β'. Ἡ ἀσωτεία καὶ ἡ ἀλόγιστος τῶν χρημάτων διασπάθησις κλοπὴ καὶ ἁμαρτία τυγχάνει. Τίς οὖν μοι μέμψεται τὸ μὴ βούλεσθαι τοιαύτῃ ἁμαρτίᾳ ἔνοχον εἶναι; γ', Τὸ μὲν ἀεί τι κατατίθεσθαι πρὸς τὰς ἐνδεχομένας ἀνάγκας, φρόνιμον, τὸ δ' ἀμερίμνως διάγειν, μωρὸν καὶ ἀδόκιμον. Ἐγὼ τοίνυν μωραίνειν οὐ βούλομαι· δ', Ἡ μετὰ φρονήσεως φειδὼ καὶ οἰκονομία καλὸν πανταχοῦ παρέχει καταφύγιον, καὶ πρὸς ὑγίειαν ὠφέλιμος, οἱ δὲ γαστρίμαργοι καὶ δαπανηροὶ μυρίαις ἐμπίπτουσιν ἀνάγκαις καὶ θλίψεσι, καὶ νόσους ἐφέλκονται, καὶ τὸν βίαν βραχὺν καὶ ὀδυνηρὸν πολλάκις ἀπεργάζονται. Ἐγὼ δὲ ἐν τῇ οἰκονομίᾳ, τούτων ἀπήλλαγμαι, καὶ εὖ ἔχω. Τίς ἄν τοῦτο ἀποδοκιμάσειεν; ε', Καὶ ἄλλοι πρὸς τὸ ἴδιον ἀφορῶντες, ἐμμένουσιν, ὅπου ἂν ὄφελός τι βλέπωσιν. Οὐκ ἄρα δίκαιος κἀγὼ τοῦτο πράττειν; Οἱ λόγοι οὗτοι ὀρθῶς μὲν

(α) Α'. Τιμ. ε'. 8.

Digitized by Google

ἐκλαμβανόμενοι, πάντως σωτήριοι κανόνες τῆς ἠθικῆς εἰσιν, ὑπὸ δὲ τοῦ φιλαργύρου καταχρηστικῶς λέγονται, ἵνα μόναν δικαιώσῃ ἐνώπιον τῶν ἀνθρώπων τὴν ἑαυτοῦ ῥυπαρίαν καὶ πλεονεξίαν. Μωρία μὲν γὰρ δήπου καὶ ἀδικία οὐ μικρὰ καὶ πρὸς ἑαυτὸν καὶ πρὸς τοὺς οἰκείους τὰ ἀμερίμνως διάγειν περὶ μηδένα δίκαιον περιαμὰν ἀσχολούμενον· οὕτω καὶ τὸ εἰκῇ καὶ ἀπειδῶς καταναλίσκειν τὰ ἐνόντα, καὶ ἀνάγκαις καὶ θλίψεσι περιπίπτειν. Χρὴ δὲ περιεκόπτειν τὰ περιττὰ, ἵνα ἐν τοῖς ἀναγκαίοις πλουτῶμεν, οὐ γὰρ τὸ πλοῦτον ἔχειν, ἀλλὰ τὸ μὴ δεῖσθαι πλούτου, πλοῦτός ἐστι μέγιστος. Ἀλλὰ μὴν πόσῳ διαφέρει ταῦτα τῆς τοῦ φιλαργύρου ἐναγωνίου μερίμνης, καὶ τῆς ἀκαρέστου δίψης τοῦ πλουτίζεσθαι! διὸ καὶ οὐδαμῶς προσήκουσιν αὐτῷ τὰ σεμνὰ ταῦτα καὶ εὔλογα, οὐδὲ τὴν μωρὰν αὐτοῦ ἐπιθυμίαν τε καὶ ματαιοπονίαν δικαιοῦσι. « Ζητεῖτε πρῶτον, παραγγέλλει ὁ Σωτὴρ ἡμῶν, Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. »

§. 89. *Τῆς φιλαργυρίας ἀλεξήματα.*

Ἔφη μὲν ὁ Κύριος, ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' οὐχὶ ἀπολύτως· οὐ γὰρ ὁ πλοῦτος κακὸν, ἀλλὰ κακὸν ἡ πλεονεξία, κακὸν ἡ φιλαργυρία. Οὐχ ὁ πλοῦτος κακὸν, ἀλλὰ τὸ κακῶς κεχρῆσθαι τῷ πλούτῳ, καλὸν δὲ τοῖς διοικοῦσιν αὐτὸν, κἂν τῇ θεοσεβεῖ ψυχῇ ἀφορμὴ πρὸς εὐποιΐαν κατὰ τὴν μεταδοτικὴν κοινωνίαν ὁ πλοῦτος γίνεται· ὡς φησιν ὁ μέγας Βασίλειος (α)· διὸ καὶ τὸ καλῶς πλουτεῖν οὐ κεκώλυκεν ὁ Θεὸς, ἀλλὰ γὰρ τὸ

(α) Ἐν κφ. ιά. Ἠσαΐ.

Digitized by Google

ἀδίκως καὶ ἁπλήστως πλουτεῖν. Ἔστι τοίνυν, ὅπως καὶ ὁ πλούσιος σώζοιτο, εἰ γινώσκοι καὶ χρῷτο τούτοις, ἁ ἀναλογίζεσθαι συνεχῶς καὶ σπουδαίως τὰ ἐκ τῆς φιλαργυρίας κακὰ (§ 85) ἐπειδὰν κατισχύσῃ δ', ὁρᾷν μετὰ προσοχῆς τὸ ἄστατον καὶ ἐπισφαλὲς τῶν, ἐφ' οἷς ὁ πλεονέκτης οὕτω μοχθεῖ θλιβόμενος, κακουχούμενος, καὶ πεποιθὼς οὕτως ἐπ' αὐτά. Δραπέτης γὰρ ὁ πλοῦτος ἀεί, καὶ τὸ βεβηκὸς οὐκ ἔχει, μεθύει δὲ μᾶλλον καὶ διανένευκεν εἰς ἀποστασίαν, καὶ πόδας ἔχει σαθρούς· ἢ ὡς φησιν ὁ Μέγας Βασίλειος (α) « Ῥευστὴ ἡ » φύσις τοῦ πλούτου· χειμάρρου ὀξύτερον τοὺς ἔχον- » τας παρατρέχει· ἄλλοτε ἄλλον πέφυκε παραμείβεσθαι. » Ὥσπερ ποταμὸς, ἀφ' ὑψηλοῦ φερόμενος, ἐγγίζει μὲν » τοῖς παρεστῶσι τῇ ὄχθῃ, ὁμοῦ δὲ ἥψατο, καὶ εὐθὺς » ἀνεχώρησεν, οὕτω καὶ ἡ τοῦ πλούτου εὐκολία ὀξυτά- » την ἔχει καὶ ὀλισθηρὰν τὴν παρουσίαν, ἄλλους ἐξ » ἄλλων παραμείβεσθαι πεφυκυῖα· Σήμερον τοῦδε ἀγρὸς » καὶ αὔριον ἑτέρου, καὶ μετ' ὀλίγον ἄλλου. Καὶ χρυ- » σὸς, ἀεὶ τὰς τοῦ ἔχοντος χεῖρας διαῤῥέων, ἐφ' ἕτερον » μεταβαίνει, καὶ ἀπ' ἐκείνου πρὸς ἄλλον· μᾶλλον δύ- » νασαι ὕδωρ τῇ χειρὶ περιλαβὼν κατασχεῖν, ἢ πλοῦτον » σεαυτῷ διαρκῶς συντηρῆσαι. » Ὁ Ἰὼβ ἦν πλούσιος σφόδρα, ἀλλ' αἴφνης πτωχότατος ἔμεινε, διὰ τοῦτο παραινεῖ ὁ μακάριος Δαυίδ, « Πλοῦτος ἐὰν ῥέῃ, μὴ προσ- » τίθεσθε καρδίαν » (β)· γ', παραβάλλειν συνεχῶς τὸ παρὰ τοῦ κόσμου διδόμενον πρὸς ὃ ἐπαγγέλλεται δώσειν ἡμῖν ὁ Θεὸς ἐν τῇ μελλούσῃ ζωῇ, ἐὰν ὡς τέκνα ἀγαπητὰ τῷ παναγίῳ αὐτοῦ θελήματι ὑπακούωμεν· δ', γνῶσιν ἐναργῆ καὶ τελείαν, ὅσον ἐνδέχεται, κτᾶσθαι τῆς τοῦ Θεοῦ πατρικῆς προνοίας. Ὁ γὰρ μὴ παντάπασι

(α) Ἐν ψαλμ. ξϛ'. (β) Ψαλμ. ξέ. 10.

Digitized by Google

νωθρὸς καὶ ἀργὸς, ἀλλ' ἐπιμελῶς τε ἔργον τίμιον ἐργαζόμενος, ὑπὸ τὴν προστασίαν τῆς ὑπερτάτης δυνάμεως καὶ σοφίας καὶ ἀγαθότητος τοῦ Θεοῦ διατελεῖ, καὶ ἐν χειρὶ Θεοῦ ἔσται ἀεὶ τὰ κατ' αὐτὸν ἔν τε τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι, καὶ οὐκ ἂν ἀπώσαιτο οὐδὲ παρίδοιεν αὐτὸν ἡ καὶ τοῖς κόραξι παρέχουσα τροφὴν ἀνεξάντλητος ἀγαθότης· ὁ γὰρ ἐν μικροῖς μέγας, κἂν τοῖς μεγάλοις μείζων φανεῖται. Εἴτις οὖν ταῦτα συνεχῶς ἀναλογίζοιτο, οὐκ ἔτι ἔσται ἐν ἀγωνίᾳ περὶ τῶν ἀναγκῶν τοῦ βίου, ὡς εἰ ἐξ ἑαυτοῦ ἠδύνατο, χωρὶς τῆς παρὰ τοῦ Θεοῦ εὐδοκίας καὶ ἀντιλήψεως κατεργάζεσθαι τὴν ἑαυτοῦ εὐδαιμονίαν. « Οὔτε τοῦ θέλοντός, φησιν, οὔτε τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. » (α) ἑ, Ἀσκεῖν τὴν πρακτικὴν ἀγάπην πρὸς τὸν πλησίον. Πολλάκις γὰρ ὁ πλεονέκτης ἄσπλαγχνος γίνεται καὶ σκληροκάρδιος, ὅτι οὐδέποτε ἐκ τοῦ σύνεγγυς τὴν τῶν ἀνθρώπων ἐθεάσατο δυστυχίαν, οὐδ' ἐπειράσατο, ὅσῳ ἥδιον καὶ μακαριώτερον διδόναι ἢ λαμβάνειν. Διὸ καὶ ὁ Κύριος ἐντέλλεται, « Δότε ἐλεημοσύνην, ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς » (β). Ἀλλ' οὐδὲν ὄφελος πάντων τῶν ἄλλων, ἐὰν μὴ πρόῤῥιζον ἀνασπασθῇ τὸ κακόν. Εἰσὶ δὲ ῥίζαι τούτου ά, ὁ τῆς ἐνδείας φόβος· β', ἡ τῶν οἰκείων ὑπερβάλλουσα ἀγάπη, καὶ ἡ περὶ αὐτῶν ὑπέρμετρος μέριμνα· γ', ἡ κενοδοξία, ὅπως τις ὅμοιος ἄλλοις τισὶν ἐν τῷ πλούτῳ γένηται. Ὅθεν οὖν ἡ πλεονεξία βλαστάνει, ἐκεῖ καὶ ἀγωνιστέον ἐκριζῶσαι αὐτήν· τῆς γὰρ ῥίζης ἀναιρεθείσης, αὐτίκα καὶ οἱ βλαστοὶ μαραίνονται καὶ ἐκλείπουσιν, ἐκείνης δὲ μενούσης, ματαιοπονεῖν ἐστι τὸ τοὺς βλαστοὺς ἀποκόπτειν.

(α) Ῥωμ. θ'. 16. (β) Λουκ. ιβ'. 33.

Digitized by Google

Περὶ πορνείας.

§. 90. *Ἀρχικὸν τέλος τῆς γεννητικῆς ὁρμῆς, καὶ νόμιμος αὐτῆς θεραπεία.*

Ἀνὰ πᾶσαν τὴν φύσιν, ὅπου φαίνεται ζωή τις, δηλοῦται πολυειδῶς καὶ ὁρμὴ πρὸς τὸ γενναν. Ἔστι δ' αὕτη ἀναγκαία πρὸς τὴν τοῦ γένους διατήρησιν, ὡς ἀνακαινίζουσα διὰ τῆς γεννήσεως τὰ καθ' ἑκάστην ἀποβιοῦντα ἄτομα. Προσετέθη δὲ τῇ ὁρμῇ ταύτῃ καὶ ὄργανα, ἐν οἷς δείκνυται, καὶ τῇ τῶν ὀργάνων χρήσει αἴσθημα ὀξὺ καὶ ἡδὺ συνῆπται, ὑφ' οὗ, κατὰ τὸ θέλημα τοῦ γενεσιουργοῦ τῶν ὅλων Θεοῦ, ἡ τοῦ γένους προαγωγή τε καὶ διατήρησις βοηθεῖται. Ἐπεὶ δ' ἡ τοῦ ἀνθρώπου γέννησίς τε καὶ ἀνατροφὴ λίαν δυσχερὴς καὶ ἐπικίνδυνός ἐστι, καὶ οὐκ ἂν πολλοὶ ῥᾳδίως τεκνοποιεῖν ἐπιχειρήσειαν, εἰ μὴ ὑπὸ σφοδρᾶς ἐπιθυμίας συνωθοῦντο, ὀξύτερόν τε καὶ σφοδρότερον τῷ ἀνθρώπῳ ἐμπέφυκε τὸ ῥηθὲν αἴσθημα. Ἡ μὲν οὖν ὁρμὴ αὕτη, σφοδροτάτη οὖσα καὶ ἀκάθεκτος, ἐὰν μὴ ἀδιαλείπτως περιστέλληται ἐντὸς τῶν ὁρίων τῆς λογικῆς μετριότητος, πολλάκις αἰτία γίνεται ταραχῆς παντοίας καὶ φθορᾶς ἀλγεινοτάτης. Πῶς δὲ χρὴ θεραπεύειν αὐτήν; Μόνον θεμιτὸν καὶ δίκαιον ὁμολογεῖται τὸ διὰ τοῦ νομίμου γάμου, καὶ σὺδαμῶς ἄλλως ἔξεστι χρήσασθαι τῇ ὁρμῇ ταύτῃ καὶ τοῖς ὀργάνοις· κἀκεῖ δὲ, ἵνα τὸ καθ' ἑαυτὸν ἕκαστος τῇ διαμονῇ τῆς ἀνθρωπότητος, ὡς εἰκόνος Θεοῦ, συντελέσῃ· πᾶσα δὲ ἄλλη χρῆσις, παρὰ τὴν εἰρημένην, ἄνομός ἐστι καὶ ἁμαρτωλή, ὡς ἐναντία ἁ, τῇ τοῦ Θεοῦ ἐντολῇ β', τῇ ὠφελείᾳ ἑκάστου τῶν ἐκγόνων· γ', τῷ ἀγαθῷ πάσης τῆς ἀνθρωπότητος· καὶ γὰρ καὶ αὐτῇ τῇ προαγωγῇ τῶν ἀνθρώπων καὶ τῇ ἠθικότητι βλαβερωτάτη γίνεται πᾶσα ἄλλη θεραπεία τῆς ὁρμῆς ταύτης, παρὰ

Digitized by Google

τὴν ἐν τῷ νομίμῳ γάμῳ. Ἐνέθηκε μὲν γὰρ ὁ Θεὸς τὴν ὁρμὴν ταύτην, βουλόμενος διαμένειν ἐπὶ τῆς γῆς τὸν ἄνθρωπον, ἔπλασε δὲ κατ' ἀρχὰς ἕνα ἄνδρα, καὶ γυναῖκα μίαν, συνάψας αὐτοὺς τῷ γάμῳ εἰς σημεῖον ἅ, ὅτι θέλημα αὐτοῦ ἦν διατηρεῖσθαι τὸν ἄνθρωπον οὕτως ἐπὶ τῆς γῆς· καὶ β', ὅτι καὶ τὸν γάμον αὐτὸν ἐν ἑνὶ ἀνδρὶ καὶ μιᾷ γυναικὶ δεῖ γίνεσθαι. Οὕτω γὰρ καὶ περὶ τῶν τέκνων αὐτῶν προσηκόντως δύνανται φροντίζειν.

. . . . . .

§. 91. *Περὶ τῆς ἀθεμίτου θεραπείας τῆς ὁρμῆς ταύτης.*

. . . . . .

Οἱ ἀθεμίτως τὴν γεννητικὴν ὁρμὴν θεραπεύειν ζητοῦντες, οὐδόλως περὶ τῶν ἐκ τῆς παρανόμου μίξεως τικτομένων φροντίζουσι, τί ἂν γένοιντο ταῦτα ἐν τῷ κόσμῳ. Διὸ καὶ συνήθως τυγχάνουσι ταῦτα ἐγκαταλελειμμένα, καὶ οὐ μόνον ἄχρηστα, ἀλλὰ καὶ βλαβερὰ τῆς ἀνθρωπίνης κοινωνίας μέλη. Ἐκ τούτου οὖν ἤδη δῆλον γίνεται, διατί πᾶσα ἐκτὸς τοῦ νομίμου γάμου θεραπεία τῆς γεννητικῆς ὁρμῆς ἀθέμιτός ἐστι καὶ ἁμαρτωλή. Ἔτι δὲ ἐπαισθητότερον γίνεται, ἐὰν τὰ τῇ ἀθεμίτῳ θεραπείᾳ παρεπόμενα πρὸς τὸ ἦθος καὶ τὴν διατήρησιν τῶν ἀνθρώπων λογίσηταί τις. Ὅταν γὰρ ἅπαξ ἡ ὁρμὴ αὕτη ἐξυπνισθεῖσα παρανόμως θεραπευθῇ, βιαιοτέρα τε καὶ συνεχέστερον ἀεὶ ἐπανέρχεται· καὶ ἐπεὶ οὐδενὶ δεσμῷ οἴεται ἑαυτὸν ὁ ἄγαμος συνέχεσθαι ᾧ κατεχρήσατο προσώπῳ, πρὸς τὴν τῆς ὁρμῆς αὐτοῦ θεραπείαν, ῥᾳδίως ἐπ' ἄλλο τρέπεται, διεγείρων καὶ ἐν ἐκείνῳ καὶ ἐξυπνίζων τὴν ὁρμὴν ταύτην, καὶ οὕτω λίαν ἐπικίνδυνος τῇ ἀθωότητι καὶ τῇ ἀρετῇ καθίσταται, προβαίνων οὕτως εἰς πλάτος καὶ εἰς μῆκος, καὶ μεταδιδοὺς πολλαχοῦ τὴν διαφθοράν. Διὰ τοῦτο παραγγέλλει ὁ λόγος τοῦ Θεοῦ, « μὴ συναναμίγνυσθαι πόρνοις... οὐκ οἴδατέ, φησιν, ὅτι μικρὰ

Digitized by Google

ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; » (α) Ἡ γὰρ ὁρμὴ, αὐτίκα εἰς πάθος μεταβαλλομένη, ἀκάθεκτός τε καὶ ἀκόρεστος γίνεται, καὶ λίαν καταστρεπτικὴ τοῦ τε σώματος καὶ τοῦ πνεύματος. Ἡλίκης δὲ ζημίας αἰτία γίνεται τῷ τε ἤθει διὰ τῆς ἀπάτης καὶ τοῦ κακοῦ παραδείγματος, καὶ τῇ προαγωγῇ καὶ διατηρήσει τοῦ ἀνθρώπου ἐν γένει, διὰ τῆς ἀτόπου καταναλώσεως τῶν γεννητικῶν δυνάμεων, ἀπερίγραπτόν τε καὶ ἄφραστον φαίνεται. Οὐδέποτε γὰρ ἀληθῶς ἡσυχίαν ἄγει οὐθ' ἡμέρας οὔτε νυκτὸς ὁ ἄθλιος ὑπὸ τοῦ πάθους, περιίπτανται δ' αὐτὸν πανταχοῦ αἱ τῆς διεφθαρμένης φαντασίας εἰκόνες, πολλάκις καὶ παρὰ γνώμην τῇ ὄψει παριστάμεναι, καὶ τὴν ὁρμὴν τῆς σαρκὸς ἀδιαλείπτως ἐρεθίζουσαι, μέχρις ἂν εἰς τέλος ἐξαντληθεὶς κατατακῇ. Καὶ εἴ ποτέ τις κακία πᾶσαν αἴσθησιν τῶν κρειττόνων ἀναγκῶν τοῦ ἀνθρώπου, καὶ τοῦ ἀπολύτου ἀγαθοῦ παντελῶς ἀποσβέννυσιν, εἴτις τὴν πρὸς τὸν Θεὸν ἀγάπην καὶ τὴν ἐν αὐτῷ ἀγαλλίασιν ἀποσκορακίζει, εἴτις καὶ νῦν ἔτι τὴν τῆς κολάσεως φλόγα ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου ἐκκαίει, οὐδεμία ἄλλη τυγχάνει, ἢ αὐτὴ ἡ καλουμένη λαγνεία, ἡ μυρία δεινὰ καὶ θλίψεις τοῖς ἀνθρώποις ἐπάγουσα. Ὠφελιμώτατον ἄρα, μᾶλλον δὲ ἀναγκαιότατον καὶ σωτηριωδέστατον τὸ ὑπὸ νόμου ἰδίου ἀπαγορεύεσθαι τὴν ἄλλως πως, ἢ ἐν τῷ νομίμῳ γάμῳ θεραπείαν τῆς γεννητικῆς ὁρμῆς. Ἐπερείδεται δ' ὁ νόμος οὗτος τῇ τῆς ἀνθρωπίνης φύσεως ἀξίᾳ, καὶ τῷ λογικῷ, καὶ αὐτῇ τῇ θείᾳ ἐντολῇ. Οὐ γὰρ κατὰ συνθήκην ἁπλῆν, ἢ ἐκ τῆς δυσκολίας ἠθολόγων τινῶν ἀποδοκιμάζεται πᾶσα ἄλλη, πλὴν τῆς ἐν τῷ νομίμῳ γάμῳ, θεραπεία τῆς γεννητικῆς ὁρμῆς, καὶ κατὰ τὸ μᾶλλον ἢ ἧττον αἰσχρὰ καὶ ἄτιμος λογίζεται· ἀλλ' ἐν τῷ καθολικῷ τῶν ἀνθρώπων νοὶ ἐμπέφυκέ τις ἀποστροφὴ καὶ

(α) Α' Κορ. ε. 6.

Digitized by Google

καταφρόνησις κατὰ πάσης παρανόμου θεραπείας τῆς εἰρημένης ὁρμῆς, ὥσπερ πανταχοῦ καὶ παρὰ πᾶσιν ἀνθρώποις, αἰσχρὰ καὶ κτηνώδης λογίζεται ἡ γυνὴ ἡ ἀλλοτρίαις ἐπιθυμίαις ὄργανον ἑαυτὴν παρέχουσα. Ἔξεστι γὰρ αὐτῇ ἑνὶ ἀνδρὶ κατὰ νόμον συνοικῆσαι, ἐπειδὰν βεβαιωθῇ, ὅτι διὰ βίου παραμενεῖ αὐτῇ ἀχώριστος, καὶ περιποιήσεται καὶ αὐτὴν καὶ τὰ ἐξ αὐτῆς τέκνα, καὶ διαθρέψει, καὶ ἀγαπήσει κατὰ τὸν ὅρον τοῦ νομίμου γάμου. Ἀλλὰ καὶ ὁ ἀνὴρ οὐχ ἧττον ἄτιμος λογίζεται, ἐὰν τὰς μὲν ἡδονὰς τοῦ γάμου διώκῃ, τὸ δὲ βάρος αὐτοῦ μὴ βούληται βαστάσαι, ἀποσείων αὐτὰ ἐπὶ μόνῃ τῇ ἀπατηθείσῃ πρὸς τὰς αὐτοῦ ἐπιθυμίας, καὶ ἐξ ἁπλότητος ἢ ἐλαφρίας θῦμα τῇ ἀκολασίᾳ αὐτοῦ γενομένῃ. Ἰδοὺ δὲ τί περὶ τούτου λέγει ἡ θεία γραφή: « Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι » (α)· ἤτοι ἡ τῷ σώματι ἐμπεφυκυῖα γεννητικὴ ὁρμὴ οὐδαμῶς ἄλλως θεραπευτέα, εἰ μὴ ἐν τῷ κατὰ νόμον γάμῳ, καὶ κατὰ μόνην τὴν θείαν ἐντολὴν χρηστέον αὐτῇ καὶ τοῖς ὀργάνοις αὐτῆς. « Μὴ πλανᾶσθε, φησίν, οὔτε πόρνοι... οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται .... βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι » (β)· Πανταχοῦ ἄρα καὶ ἐν τῇ θείᾳ Γραφῇ καὶ παρὰ πᾶσιν ἀνθρώποις κατεγνωσμένη εὑρίσκεται ἡ παράνομος θεραπεία τῆς γεννητικῆς ὁρμῆς.

§. 92. Τὰς παρὰ φύσιν ἁμαρτίας, τὰς διὰ καταχρήσεως τῆς γεννητικῆς ὁρμῆς πραττομένας, ἀναφέρει ὁ θεῖος Ἀπόστολος λέγων, « Παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς » καὶ αὖθις κατωτέρω: Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη

(α) Α'. Κορ. ς'. 13. (β) Α'. Κορ. ς'. 9—10.

Digitized by Google

ἀτιμίας· αἵτε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν· ὁμοίως τε καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες, καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα » (α). Ἐν τούτοις οὖν δείκνυσιν ὁ μακάριος Παῦλος καὶ τὴν κακὴν ῥίζαν, ἐξ ἧς πᾶσαι αἱ παρὰ φύσιν αὗται ἁμαρτίαι καὶ βδελυρίαι φύονται. Ἡ γὰρ ἀποστροφὴ ἀπὸ τοῦ Θεοῦ, καὶ ἡ ἀποθέωσις, οὕτως εἰπεῖν, τῆς σαρκός ἐστι πάσης τῆς τοιαύτης βδελυρίας τὸ αἴτιον. Τοῦτο διδάσκει τὸ « Καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ . . . μεστοὺς . . . κακοηθείας » διὰ τοῦτό, φησιν, « οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν ».

Κοινοτάτη δέ, ἀλλὰ δὴ καὶ ὀλεθριωτάτη τῶν παρὰ φύσιν ἀκαθαρσιῶν ἐστιν ἡ αὐτοφθορία, μετὰ πολλῆς ὕβρεως καὶ θράσους πραττομένη, ἐπειδάν τις αὐτὸς τὰ ἑαυτοῦ γεννητικὰ μόρια ἐρεθίζῃ διὰ τὸ ἐξ αὐτοῦ γεννώμενον αἴσθημα. Ἡ ἀκαθαρσία αὕτη πρὸς τῷ ἀτιμάζειν τὴν τοῦ ἀνθρώπου ἀξίαν καταβιβάζουσα αὐτὸν κατωτέρω καὶ τῶν κτηνῶν, καὶ λίαν καταστρεπτική ἐστιν, ἐκνευρίζουσα μὲν καὶ παραλύουσα πάσας τὰς τοῦ πνεύματος καὶ τὰς τοῦ σώματος δυνάμεις, πρόωρον δὲ καὶ ὀδυνηρὸν ἐπάγουσα θάνατον, ὡς ἀμοιβὴν τῆς τοιαύτης βδελυρίας, πρὸ δὲ τούτου, ταραχὴν ἐσωτερικὴν, καὶ δει-

(α) Ῥωμ. α. 26—29.

Digitized by Google

λίαν, καὶ ἔκστασιν μάλιστα φρενῶν, ὅταν καὶ ὁ θάνατος προσεγγίζῃ. Ἀντίκειται δ' ἡ ἀκαθαρσία αὕτη ἀπ' εὐθείας τῷ τέλει τῆς γεννητικῆς ὁρμῆς, ὡς ἄσκοπος διασπάθησις τοῦ ὑπὸ τῆς φύσεως πρὸς κρεῖττόν τι ἐντεθέντος εὐγενεστάτου χυμοῦ· καὶ διὰ τὴν μετ' αὐτῆς ὀξεῖαν ἡδονὴν, ὅπου ἂν ἐνστῇ, ἐπὶ πολὺν χρόνον διαμένῃ, καὶ εἰς ἕξιν, μᾶλλον δὲ εἰς φυσικὴν ἀνάγκην ἐπὶ τέλους μεταβάλλεται, καίτοι τοῦ συνειδότος διηνεκῶς τὸ αἰσχρὸν καὶ ἀθέμιτον ταύτης ἐλέγχοντος· πολλάκις δὲ καὶ εἰς μανίαν περιέστη, καὶ ἑτέροις διὰ τῆς ἁπάτης μεταδίδοται. Ἔστι δὲ τοῖς νεωτέροις τὰ μάλιστα φθοροποιὸς διὰ τὴν ἔτι τῶν σωματικῶν ἀγγείων τε καὶ ὀργάνων τρυφερότητα, καὶ διὰ τὸ χαλεπῶς τὴν ἐν αὐτῇ συνήθειαν ἀφαιρεῖσθαι, ἀλλὰ διαμένειν, μέχρις οὗ ὀδυνηρὸς θάνατος καὶ τὸ σῶμα καὶ τὰς ὁρμὰς αὐτοῦ ἐλεεινῶς καταστρέψῃ.

§. 93. *Τί χρὴ ποιεῖν, ὅταν, καὶ παρὰ γνώμην, ἡ σαρκικὴ ὁρμὴ ἀνακινῆται.*

Ἐπειδάν τις τάχιστα γνῷ τοιαύτας ὁρμὰς καὶ αἰσθήματα διεγειρόμενα, ἐπιμελητέον ἐστὶν εὐθὺς παντὶ σθένει, ὅπως μὴ ἐπικρατήσαντα παρακρούσωνται τὸ πνεῦμα, καὶ κατισχύσωσιν αὐτοῦ. Ἀσφαλέστατον δὲ πρὸς τοῦτο, ἀ, εἰς ἔργον τραπέσθαι, δεόμενον τῆς τε προσοχῆς τοῦ πνεύματος καὶ τῆς τοῦ σώματος ἐνεργείας· β', ἐνατενίζειν τῷ Θεῷ τῷ παντεπόπτῃ καὶ κριτῇ καὶ ἀνταποδότῃ πάσης πράξεως. Ἐὰν γάρ τις ἀκίνητος μένῃ, καὶ ἀμελῇ περιστεῖλαι καὶ κατευνάσαι τὰς τοιαύτας ὁρμὰς, εὐλόγως ἂν δόξειεν ἐνασμενίζεσθαι καὶ χαίρειν αὐταῖς. Ἔτι δὲ δεῖ καὶ ἀπολείπεσθαι τῶν συνεχῶν ἐπισκέψεων καὶ συνδιαλέξεων, καὶ τῶν ἀμφιβόλων χαριεντισμῶν, καὶ τῶν ὁρ-

Digitized by Google

χήσεων, καὶ τῶν νυκτερινῶν συναναστροφῶν, καὶ τῶν κατὰ μόνας περιπάτων, καὶ τῶν ἀσέμνων ἀθυρμάτων, ὅσα ἀφορμὴν εἰς ἐρεθισμὸν τοῖς φιλοσάρκοις παρέχουσιν.

§. 94. *Τὰ ἐκ τῆς λαγνείας κακά.*

Ἀπερίγραπτά τε καὶ ἀνέκφραστά εἰσιν, ἅπερ ἡ λαγνεία συνεπάγεται κακά. Τὰ δὲ κυριώτερα τούτων εἰσὶ ά, Πώρωσις τοῦ πνεύματος· αἱ γὰρ σαρκικαὶ ἡδοναὶ καταγοητεύουσι καὶ καταπίνουσιν, ὡς εἰπεῖν, ὅλον τὸ πνεῦμα, καὶ δεσμεύουσιν αὐτὸ καὶ πᾶσαν αὐτοῦ τὴν ἐνέργειαν πρὸς τὴν ἀπόλαυσιν αὐτῶν, ὥστε φαίνεται αὐτῶν ἕνεκα μόνον ζῶν ἔτι καὶ κινούμενον, πρὸς δὲ τἆλλα πάντα ἀηδιάζον. β', Ἀστάθεια γνώμης· κἂν γάρ ποτε γνοίη τις ἐπὶ τὸ κρεῖττον μεταβαλόμενος διορθώσασθαι, οὐκ ἐμμένει ὕστερον τῇ γνώμῃ, ἀλλὰ πρὸς τὴν τυχοῦσαν εὐκαιρίαν αὐτίκα, ὧν ἔγνω, ἐπιλανθάνεται. γ', Μῖσος ἐναντίον τοῦ Θεοῦ, ἢ γοῦν τῆς πατρικῆς αὐτοῦ καὶ ἁγίας ἐντολῆς, ὑφ' ἧς αἱ τῆς λαγνείας ἐπιθυμίαι καταστέλλονται. ε', Ἄκρα φιλοζωία· ἐφίεται γὰρ ζῆν ἐπὶ μήκιστον ὁ λάγνος, οὐχ ἵνα ἀγαθόν τι ἐργάσηται, ἀλλ' ἵνα μᾶλλον τῆς ἡδονῆς ἀπολαύσῃ. ε', Καταφρόνησις καὶ ὀλιγωρία παντὸς τοῦ κρείττονος, καὶ ἀπιστία περὶ τῆς μελλούσης ζωῆς· οὐδὲ γὰρ βούλεται περὶ τούτου ἀκούειν, ὀνείρους ταῦτα λέγων, καὶ μόνῃ τῇ τῆς σαρκὸς ἡδονῇ προσέχων. ζ', Ὄλεθρος καὶ καταστροφὴ τελεία τῆς ὑγιείας καὶ τῆς ζωῆς, ταραχὴ δὲ καὶ βάσανος ἀδιάλειπτος τοῦ συνειδότος. Συμβαίνουσι δὲ πάντως πάντα ταῦτα τῷ ἀκολάστῳ ἐκ τῆς καταχρήσεως καὶ μωρᾶς καταναλώσεως τῶν ἑαυτοῦ δυνάμεων, ἐκ τῶν σκανδάλων, καὶ τῆς ζημίας τῆς πρὸς ἑαυτὸν καὶ πρὸς ἄλλους, ἐκ τῆς αὐτοῦ λαγνείας γινομένης. Ὅσῳ γὰρ μᾶλλον κρατύνε-

Digitized by Google

ται ἡ λαγνεία μετατρεπομένη εἰς πάθος, τοσούτῳ καὶ βλαβερωτέρα καὶ αἰσχροτέρα καθίσταται καὶ ἑαυτῷ καὶ τοῖς ἄλλοις, καὶ ὅσον οὐκ ἄν τις εἴποι, οὐδ' ὁρίσαιτο.

§. 95. *Ἀναγκευὴ τῶν τῆς λαγνείας προφάσεων.*

Καθάπερ οὐκ ἔστιν ὅστις τῶν κακούργων οὐ σοφίζεται, ἵνα τὴν ἑαυτοῦ κακίαν καλύψῃ αἰσχύνην, οὕτω καὶ ὁ σαρκικὸς ἀγωνίζεται διὰ παντὸς κατασοφιζόμενος, ἵνα τὸ τῆς ἰδίας διαγωγῆς αἶσχος καλύψῃ. Λέγει τοίνυν· ά, Ἐπεὶ αὐτὸς ὁ Θεὸς ἐνέθηκε τῇ ἀνθρωπίνῃ φύσει τὴν γεννητικὴν ὁρμὴν, ἄρα καὶ θεραπεύειν αὐτὴν ἡμᾶς βούλεται. β', Ἡ ὁρμὴ αὕτη τῶν σφοδροτάτων πέφυκε, καὶ ἡ πρὸς θεραπείαν αὐτῆς ροπὴ ἰσχυρά ἐστι καὶ σφοδρά· θεμιτὸν ἄρα, εἴποτε καὶ κατάχρησις ταύτης γίνεται. γ', Τίς γὰρ μεταβαλεῖν τὴν φύσιν δύναται; Ἐν αὐτῇ πέφυκεν ἡ ὁρμὴ διὸ καὶ καθάπερ ἐκείνη, οὕτω καὶ αὕτη ἀμετάτρεπτος μένει· δ', Τοὺς τοῦ σώματος χυμοὺς ἀκωλύτως χρὴ διεξιέναι· εἰ γάρ τις τὸν δρόμον αὐτῶν κωλύει, λυμαίνεται καὶ καταστρέφει τὴν ὑγίειαν. ε', Ἡ μετὰ τοῦ θήλεος συμπεριφορὰ λεπτύνει τὸ ἦθος, καὶ προάγει τὸν ἄνθρωπον ἀποδείκνυσι, καὶ τὸν νοῦν ἀκονᾷ ἡ πρὸς αὐτὸ συνδιάλεξις, καὶ οὐχ οὕτως ἰοβόλος καὶ κινδυνώδης ἡ γυνὴ, ὅσον μελαγχολῶντές τινες ἠθικολόγοι ἀποφαίνονται. Τοιαῦτα φλυαροῦντες λέγουσιν ὁσημέραι οἱ ἀκρατεῖς καὶ λάγνοι, τὸ τῆς ἑαυτῶν διαγωγῆς αἶσχος καλύπτειν ἐπιμελούμενοι. Ἀλλ' εἴτις ὀρθῶς καὶ σωφρόνως πάντα ταῦτα ἐξετάσειε, τί ἂν ἄλλο ἴδοι, ἢ ὕθλους καὶ φληνάφους ἀτέχνως; Οὐ λόγοι σεσοφισμένοι, ἀλλὰ φρόνημα ὀρθὸν, καὶ βίος χρηστὸς καὶ νόμιμος, ὑπὸ τοῦ συνειδότος δοκιμαζόμενα, ἡσυχίαν ἀληθῆ καὶ ἀνάπαυσιν παρέχουσι,

Digitized by Google

καὶ εὐδαιμονίζουσι, καὶ δόκιμον παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις ἀποφαίνουσι τὸν ἄνθρωπον. Ἐνέθηκε μὲν γὰρ δήπου ὁ Θεὸς τῇ ἀνθρωπίνῃ φύσει τὴν γεννητικὴν ὁρμὴν, καὶ θεραπεύειν αὐτὴν ἡμᾶς βούλεται, ἀλλάγε καὶ τάξιν ἔθηκεν ὁ αὐτὸς, καθ' ἣν δεῖ θεραπεύειν, καὶ ἡ τάξις αὕτη ὁ νόμιμος γάμος ἐστίν. Ἐν ταύτῃ οὖν ἕκαστος μενέτω μετὰ λόγου καὶ μετριότητος, καὶ οὕτω πράξει ὀρθῶς· τὸ δὲ παρὰ τὴν ὡρισμένην τάξιν, κακὸν καὶ ἁμαρτία. Οὕτω καὶ τὸ δεύτερον· εἰ γὰρ καὶ τῶν σφοδροτάτων τυγχάνει ἡ γεννητικὴ ὁρμὴ, καὶ ἡ χρεία τῆς θεραπείας αὐτῆς μεγάλη, ἀλλ' οὐδαμῶς τὴν κατάχρησιν δικαιοῖ. Τὸ γὰρ τῆς ὁρμῆς βίαιον καὶ σφοδρὸν προσεκτικωτέρους τε καὶ προνοητικωτέρους δεῖ ποιεῖν, οὐχὶ δὲ συγκαταβατικωτέρους. Ὁ γὰρ λόγος περιέλλειν αὐτὴν δύναται καὶ χαλιναγωγεῖν, ἐὰν μόνον καὶ ἡ γνώμη παρῇ. Ἀλλὰ καὶ ἐν τούτῳ σοφίζονται, ὅτι οὐδεὶς δύναται τὴν φύσιν μεταβαλεῖν. Πάντως οὐ δύναται κατά γε τὸν οὐσιώδη αὐτῆς ὀργανισμόν, ἀλλ' οὐδ' ἀναγκαῖον, οὔτε ζητεῖται τοῦτο οὐδαμῶς. Ζητεῖται δὲ μόνον καταστέλλειν αὐτὴν ἐν τῇ ὑπὸ τοῦ δημιουργοῦ ὡρισμένῃ τάξει, καὶ μὴ διαστρέφειν· τοῦτο δὲ παντὶ τῷ βουλομένῳ δυνατὸν πέφυκε, ὡς μυρίων ὅσων τὸ παράδειγμα βεβαιοῖ. Καὶ τὸ χρῆναι δὲ μὴ κωλύειν τὴν διέξοδον τῶν τοῦ σώματος χυμῶν, εὖ ἂν ἔχοι, ἀλλὰ ζητεῖται, εἰ τοιαύτην διέξοδον ἀναγκαῖον αὐτοῖς παρέχειν, οἵαν ὁ λάγνος καὶ ἀκρατὴς κατεργάζεται μετὰ βίας καὶ παρανόμως. Πῶς γὰρ ἡ τούτων ματαία διαπάθησις δικαιωθήσεται; Ἢ καὶ αὕτη συντελεῖ πρὸς τὴν ὑγίειαν; Ἀλλ' ἡ καθ' ἡμέραν πεῖρα τουναντίον δείκνυσιν, ἡ μὲν γὰρ ἄνομος καὶ ἄκαιρος τῶν τοιούτων χυμῶν κατανάλωσις μυρίους πρὸ ὥρας εἰς τὸν τάφον ἐλεεινῶς κατέπεμψεν· ἡ δὲ φειδὼ τούτων, οὐδένα οὐδέποτε οὐδαμοῦ

Digitized by Google

ἡ ἱστορία δείκνυσιν. Ἀλλὰ καὶ ἰατρῶν παῖδες ὁμολογοῦσιν, ὅτι ὅσῳ ἄν τις φειδωλότερος ἦ τῶν εὐγενεστάτων χυμῶν τοῦ σώματος, τοσούτῳ καὶ μείζονα τὴν ἀκμὴν καὶ ῥώμην καὶ ζωηρότητα, καὶ τὸ θάρρος καὶ τὴν διάρκειαν ἔχει, ἡ δὲ τούτων ἀσώτευσις τοὐναντίον ἐπάγει. Ἀλλὰ τὸ ἦθος λεπτύνεται καὶ ἐξευγενίζεταί, φασι, ὑπὸ τῆς συχνοτέρας μετὰ τοῦ θήλεος συμπεριφορᾶς. Ἀόγος μάταιος καὶ διακενής! Ἵνα δέ τις δεόντως πεισθῇ, θεασάσθω ἀπροκαταλήπτως τοὺς περὶ ταῦτα τεθηπότας καὶ ἐπτοημένους, καὶ χρινάτω. Καὶ τοσαῦτα μὲν πρὸς τὰ τῶν φιλοσάρκων σοφίσματα. Καλὸν μὲν οὖν, μᾶλλον δὲ κράτιστον παντὶ ἀπὸ πάσης οἵας δήποτε καταχρήσεως τῆς γεννητικῆς ὁρμῆς φυλάττεσθαι· τοῦτο πάντες ἂν ὁμολογήσειαν· ἀλλ' οἱ μὴ δυνάμενοι κρατεῖν ἑαυτῶν, ἀκουσάτωσαν τῆς ἀποστολικῆς ἐντολῆς· « Θέλω, φησί, πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν (παρθένος γὰρ ἦν), ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ τοῦ Θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως· λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν, ἐὰν μείνωσιν ὡς κἀγώ, εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖσσον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι. » (α)

§. 96. *Προφυλακτικὰ ἀπὸ τῆς λαγνείας.*

Ὅπως δέ τις ἀπὸ τῆς λαγνείας προφυλάττηται, ἀναγκαῖά εἰσι τάδε.

Α'. Φεύγειν μὲν τὸν ἀργὸν καὶ τρυφηλὸν βίον, τῇ δ' ἐργασίᾳ καὶ τῇ ὀλιγοσιτίᾳ ὑπωπιάζειν μᾶλλον καὶ δουλαγωγεῖν τὸ σῶμα. Ὁ γὰρ τρέφων δοῦλον ἀργόν, κατὰ τὸν Σειρὰχ, γνώσεται αὐτὸν αὐθάδη.

(α) Α'. Κορ ζ'. 7—10.

Digitized by Google

Β'. Τηρεῖν ἐπιμελῶς τὰς αἰσθήσεις, ὅρασιν, ἀκοὴν κ. λ. διὰ γὰρ τούτων οἱονεὶ θυρῶν τὰ ἔξωθεν τῇ ψυχῇ ἐπεισέρχεται· καὶ βλέμμα δ' ἀφύλακτον μυρία δύναται τῇ ψυχῇ πράγματα παρασχεῖν, οἷον ἐγένετο ἐν τῷ Δαυὶδ, ἰδόντι τὴν Βηρσαβεέ.

Γ'. Φεύγειν τὴν συνήθειαν καὶ ἀναστροφὴν μετὰ τοῦ θήλεος, καὶ τὴν μετὰ τῶν ἀσέμνων περὶ τοὺς λόγους· « Μὴ πλανᾶσθε ἀδελφοὶ, φησὶν ὁ θεῖος Παῦλος, φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί » (α)· καὶ ὁ Σολομῶν· « Μακρὰν ἀπὸ γυναικὸς πονηρᾶς, καὶ μὴ ἐγγίσῃς ταῖς θύραις τοῦ οἴκου αὐτῆς. » (β)

Δ'. Ἀποστρέφεσθαι τὰ βιβλία ἐκεῖνα καὶ τὰς εἰκόνας, καὶ τὰς παραστάσεις καὶ διαχύσεις, δι' ὧν αἱ σαρκικαὶ ὀρέξεις διαγείρονται· κινδυνωδέστατα δὲ μάλιστα τῶν βιβλίων τὰ τὴν τρυφὴν ἐξυμνοῦντα ὡς τὴν ἄκραν εὐδαιμονίαν τοῦ ἀνθρώπου.

Ε'. Μεμνῆσθαι διὰ παντὸς τοῦ αἰσχροῦ καὶ μηδαμινοῦ πασῶν τῶν παρανόμων ἡδονῶν τῆς σαρκὸς, καὶ λογίζεσθαι τὰ ἐξ αὐτῶν κακά· « Ἀκαριαῖον μὲν γάρ ἐστι τὸ ἡδύνον, αἰώνιον δὲ τὸ λυποῦν », φησὶν ὁ μακάριος Αὐγουστῖνος (γ)· ἔτι δὲ καὶ τὸ τοῦ σαρκικοῦ τέλος, ὅτι τὰ ὀψώνια τῆς ἁμαρτίας θάνατος, μετὰ δὲ τοῦτο εὐθύνη βαρεῖα ἐνώπιον τοῦ παντογνώστου καὶ ἀδεκάστως κρίνοντος Θεοῦ, καὶ τελευταῖον κόλασις αἰώνιος· « Τὸ γὰρ τέλος ἐκείνων θάνατος » (δ).

(α) Α'. Κορ. ιέ. 33.
(β) Παροιμ. ς'. 29.
(γ) Momentaneum est quod delectat, aeternum quod cruciat.
(δ) Ῥωμ. ς'. 21.

Digitized by Google

Περὶ φθόνου.

§. 97. *Ὅρος καὶ φυσικὴ αὐτοῦ ἰδιότης.*

Ὁ φθόνος ποικιλοτρόπως φανεροῦται, νῦν μὲν, ὡς χαρὰ ἐπὶ τῇ ζημίᾳ καὶ δυσπραγίᾳ τοῦ πλησίον· νῦν δὲ, ὡς δυσμένεια πρὸς τὰ ἀγαθὰ τοῦ πλησίον, ὅτε καὶ ἐφίεται ὁ φθονερὸς, εἰ ἠδύνατο, ἀφελέσθαι μὲν ἐκείνου, ἑαυτῷ δὲ περιποιήσασθαι ταῦτα. Ὥστε φθόνος ἂν εἴη οὐ μόνον λύπη ἐπὶ τῇ τῶν πέλας εὐπραγίᾳ, ἀλλὰ καὶ χαρὰ ἐπὶ τῇ ζημίᾳ καὶ δυσπραγίᾳ αὐτῶν. Κατ' οὐσίαν ἄρα ἐχθρικόν τι δοκεῖ, καὶ σύνεστιν ἀεὶ τῇ ἀλαζονείᾳ καὶ τῇ πλεονεξίᾳ ταῖς τὴν ἔχθραν διεγειρούσαις. Βουλόμενος γὰρ ὁ φθονερὸς ὑπερέχειν πάντων, ἢ ἴσος γε εἶναι τῇ τῶν κτημάτων περιουσίᾳ, ἐπιθυμεῖ τῶν ἀλλοτρίων, καὶ ἀγωνίζεται, εἴπως ἀφελόμενος αὐτῶν ταῦτα, ἑαυτῷ κτήσαιτο. Ἀλλὰ τούτου οὐκ ὄντος δυνατοῦ, ἐγγίνεται μῖσος καὶ ἔχθρα, θλίψιν μεγάλην καὶ δυσθυμίαν ἐπάγουσα, καὶ, ἵν' ὁπωσοῦν τὴν ἀποτυχίαν παραμυθήσηται, χαίρει ἐπὶ τῇ ζημίᾳ τοῦ βασκαινομένου, ὥσπερ ἐπὶ τῇ εὐτυχίᾳ καὶ τῇ εὐοδώσει τῶν ἐπιχειρημάτων αὐτοῦ ἀνιᾶται δεινῶς, καὶ πρὸς πᾶσαν ἀδικίαν ἤδη διατίθεται. Καὶ ὁ φθόνος οὖν, εἰ μὲν ἅπαξ περί τι δηλοῦται, ἁμαρτία τοῦ φθόνου λέγεται· κακία δὲ, ἐὰν ἐν ἕξει καταστὰς διαμένῃ.

§ 98. *Τὰ ἐκ τοῦ φθόνου κακά.*

Ὥσπερ καὶ ἐν τοῖς ἄλλοις τῶν ψυχικῶν παθῶν αἱ συχναὶ αὐτῶν ἐκδηλώσεις εἰς ἕξιν τὸ πάθος μεταβάλλουσιν, ὅπερ δὴ τότε πηγὴ μυρίων δεινῶν γίνεται, οὕτω καὶ ἐν τῷ φθόνῳ. Ἀντίκειται γὰρ ἐν γένει τῇ τε φιλαδελφίᾳ καὶ τῇ δικαιοσύνῃ· τῇ μὲν γὰρ προσήκει χαίρειν ἐπὶ τῇ τῶν πέλας

Digitized by Google

εὐπραγίᾳ· ὁ δὲ φθονερὸς, τοὐναντίον, λυπεῖται ἐπ' αὐτῇ· φιλαδελφίας ἐστὶ τὸ κλαίειν μετὰ κλαιόντων, καὶ εἰς δύναμιν τῷ δυστυχοῦντι βοηθεῖν· ὁ δὲ φθονερὸς ἐπ' οὐδενὶ ἄλλῳ οὕτω μάλιστα ἥδεται, ὅσον ἐπὶ τὸ βλέπειν τὸν φθονούμενον κακῶς πράττοντα καὶ ζημιούμενον. Οὕτω παντάπασιν ἐναντίος τῇ φιλαδελφίᾳ ὁ φθόνος εὑρίσκεται. Οὐμὴν ἀλλὰ καὶ αὐτῇ τῇ δικαιοσύνῃ. Τῆς μὲν γὰρ ἴδιον, ὡς ἱερὰ τὰ ἀλλότρια ἔχοντα, μηδαμῶς ἅπτεσθαι αὐτῶν· ὁ δὲ φθόνος, ἅμα τυχὼν καιροῦ, καὶ χεῖρας ἀδίκους τε καὶ ἁρπακτικὰς ἐπ' αὐτὰ ἐκτείνει, καὶ, ἢν μὴ δυνηθῇ ὑφελέσθαι τι καὶ ζημιῶσαι τὸν φθονούμενον, ἀσχάλλει ἐπὶ τούτῳ, καὶ ἀδημονεῖ, καὶ εἰς συκοφαντίας καὶ ἐκφαυλισμὸν τοῦ βασκαινομένου ἐκτρέπεται, ὑπούλως τε ταῦτα καὶ σιγῇ διαδιδοὺς, ἢ καὶ μετὰ φανεροῦ καταδιωγμοῦ. Ἡοῖ δ' ἀσπλαγχνίας τε καὶ ἀπανθρωπίας δύναται ὁ φθόνος παρεκτρέψαι, μυρία δείκνυσι παραδείγματα ἡ τῶν ἀνθρώπων ἱστορία, οἷον τὸ τοῦ Κάϊν, τὸ τῶν υἱῶν τοῦ Ἰακὼβ πρὸς τὸν ἑαυτῶν ἀδελφὸν Ἰωσὴφ, τὸ τοῦ Σαοὺλ, τοῦ Ἀχαὰβ, καὶ ἄλλα ὅτι πλεῖστα. Διὰ ταῦτα καὶ ὁ φθονερὸς φίλος καλεῖται καὶ βοηθὸς τοῦ διαβόλου. « Φθόνῳ δὲ διαβόλου ὁ θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον, μιμοῦνται δὲ αὐτὸν οἱ τῆς ἐκείνου μερίδος ὄντες » (α). Οὐ μόνον δὲ τοῖς ἀνθρώποις ἐχθρὸς ὑπάρχει ὁ φθονερὸς, ἄδικός τε καὶ ἄσπλαγχνος, ἀλλὰ καὶ κατ' αὐτοῦ τοῦ Θεοῦ ὀργίζεται, ἀσχάλλων ἐπὶ τῇ πατρικῇ αὐτοῦ προνοίᾳ καὶ ἀγαθότητι, ὅτι καὶ τὸν φθονούμενον ἀγαθοποιεῖ. Ἐπὶ τούτῳ λυπούμενος καταμέμφεται τὴν σοφίαν καὶ ἀγαθότητα αὐτοῦ, κατηγορεῖ τῆς δικαιοσύνης, γογγύζει κατὰ τῆς γενικῆς αὐτοῦ οἰκονομίας. Ἐντεῦθεν οὖν τὸ τοῦ φθόνου κακόηθές τε καὶ

(α) Σοφ. Σολ. β', 24.

Digitized by Google

διεφθαρμένον δηλοῦται· ἐκ γὰρ τοῦ διαβόλου ἐγεννήθη, καὶ διαβολικός ἐστι, ὡς ἐκ τῶν ἐξ αὐτοῦ κακῶν φαίνεται.

§. 99. *Περὶ τῆς ἐκ αὐτῷ εὐθύνης.*

Ὅτι μὲν οὖν ὁ φθόνος ἁμαρτία ἐστὶ φύσει μεγάλη καὶ βαρεῖα, καὶ μάλιστα, ὅταν, ἐν ἕξει γενόμενος, δεικνύηται δι' ὧν ἀνωτέρω ἐμνήσθημεν, ἤτοι διὰ τὴς πρὸς τὸ ὁμόφυλον ἀσπλαγχνίας καὶ ἀδικίας, καὶ διὰ τῆς ἀγανακτήσεως ἐναντίον τῆς ἐν τῷ κόσμῳ τάξεως καὶ οἰκονομίας τοῦ Θεοῦ, παρὰ πάντων ὁμολογεῖται· ἧττων δ' ἁμαρτία λογίζεται, ὅταν τὰ ἐν οἷς δηλοῦται, μικρὰ καὶ εὐτελῆ ὦσιν, ἡ δὲ πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν πλησίον διάθεσις οὐχ οὕτω κακοήθης καὶ διεστραμμένη, ὥστε καὶ τὰ τοῦ φθόνου δηλωτικὰ τῇ ἀπερισκεψίᾳ μᾶλλον, ἢ τῇ κακοήθει προαιρέσει φαίνονται προσήκοντα. Διὸ κἂν τούτῳ προσεκτέον, μὴ τὸν ἀγαθὸν ζῆλον ἢ τὴν ἄμιλλαν ἀντὶ φθόνου ὑπολαμβάνωμεν· ὑπάρχουσι γὰρ καὶ ταῦτα, καὶ ἀγαθά εἰσι καὶ πλείστου ἄξια, ἐὰν ἐν μετριότητι καὶ κατὰ τὸν ἠθικὸν νόμον φανερῶνται· καὶ προτρέπει ἡμᾶς εἰς αὐτὰ ὁ θεῖος λόγος ἐν τούτοις· « Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα, διώκετε τὴν ἀγάπην, ζηλοῦτε τὰ πνευματικά » (α). Θῖον, ὁρῶμέν τι τῶν ἀγαθῶν παρά τινι, καὶ τοῦτο ἐγείρει τὴν ἐπιθυμίαν ἐν ἡμῖν, τοῦ κτήσασθαι καὶ ἡμᾶς αὐτό, καὶ ἀρχόμεθα ἤδη διαλογίζεσθαι, πῶς ἂν καὶ ἡμεῖς αὐτὸ πορισαίμεθα. Εἰ μὲν οὖν τὰ πρὸς τοῦτο αἱρεθέντα, ἀγαθὰ τυγχάνουσι, καὶ χωρὶς μίσους πρὸς τοὺς ἄλλους μηδὲ ζημίας, καὶ χωρὶς ἀγανακτήσεως κατὰ τῆς προνοίας καὶ τῆς ἐν τῷ κόσμῳ θείας οἰκονομίας τὴν κτῆσιν τοῦ ἀγαθοῦ διώκει ὁ ζῆλος, οὐ μόνον ἀνεπίληπτος κρίνεται, ἀλλὰ καὶ

(α) Α'. Κορ. ιβ'. 1.

Digitized by Google

ἐπαίνων ἄξιος. Οὗτός ἐστιν ἡ εὐγενὴς ἅμιλλα, ἥπερ εὐκταῖον ἂν εἴη ὑπάρχειν ἐν πᾶσιν. Οὐδ', ὅταν τις, ὁρῶν τοὺς ἀναξίους, ἐν ἀξιώματι ὄντας καὶ ἐν πράγμασι πολιτικοῖς, καὶ εἰδὼς αὐτοὺς τῇ ἐξουσίᾳ καὶ τῇ δυνάμει καταχρησομένους εἰς τρυφὴν, καὶ εἰς ὕβριν καὶ καταπίεσιν τῶν ἀσθενεστέρων, ἀσχάλλῃ καὶ δυσανασχετῇ, οὐδέπω οὐδὲ τοῦτο φθόνος, ἀλλὰ ζῆλος ἐπαινετὸς, ὑπὲρ τῆς κοινῆς ἀσφαλείας καὶ δικαιοσύνης, ἐὰν ἐπιθυμῇ ἰδεῖν αὐτοὺς τάχιστα τὴν ἐξουσίαν ἀφαιρεθέντας, καὶ μεταστάντας, ὅπου ἂν ἧττον ἐπιζήμιοι τοῖς ἄλλοις εἶεν· χρὴ δὲ μόνον μετὰ μετριότητος καὶ φιλαδελφίας ζηλοῦν περὶ τούτων. Εἰ δὲ σὺν ἔχθρᾳ κατὰ τοῦ προσώπου, καὶ ὀργῇ κατὰ τῆς ἐν τῷ κόσμῳ θείας οἰκονομίας μίγνυται ὁ ζῆλος οὗτος, αὐτίκα εἰς ἀληθῆ μεταπίπτει φθόνον. Οὐ γὰρ δυσχερὴς ἡ ἀπὸ τοῦ ζήλου καὶ τῆς ἁμίλλης εἰς τὸν φθόνον μετάπτωσις.

§. 100. *Ἀλεξήματα κατὰ τοῦ φθόνου.*

Χαλεπὴ μὲν καὶ λίαν ἐπίπονος ἡ θεραπεία τοῦ φθόνου, ὅτε μάλιστα πάλαι τυγχάνει τῇ τοῦ ἀνθρώπου φύσει πρασπεφυκώς· τῇ δὲ σὺν ἐπιμελείᾳ χρήσει τῶν πρὸς τοῦτο ἐπιτηδείων, οὐκ ἀνίατον. Προσφορώτατα τοίνυν κρίνονται ταῦτα, Α'. Μηδαμῶς τεθηπέναι καὶ ἐπτοῆσθαι, κατὰ τοὺς πολλοὺς καὶ μωροὺς, ἐπὶ τῇ δυνάμει καὶ ἐξουσίᾳ καὶ τῷ πλούτῳ καὶ ταῖς ἡδοναῖς. Ταῦτα γὰρ, ὑπὲρ ὃ δεῖ θαυμαζόμενα, τὸν φθόνον ἀναφλέγουσιν· ἀεὶ δὲ μνημονεύειν τοῦ ἀποστολικοῦ λόγου, «Ἔστι πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας, οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα» (α). Β'. Τὸ τοῦ φθόνου αἰσχρὸν καὶ μωρὸν, καὶ τὰς ὑπ' αὐτοῦ ἐπιφερομένας τοῖς ἀνθρώποις ζημίας

(α) Α'. Τιμ. ϛ'. 6—8.

Digitized by Google

συνεχῶς τε καὶ σπουδαίως ἀναλογίζεσθαι. Οὐχὶ πάντες ἡμεῖς ἀδελφοὶ ἀλλήλων ἐσμέν; Οἷον δὲ αἶσχος βασκαίνειν ἀλλήλοις ἀδελφοὺς ὄντας, καὶ πολλάκις ἐπὶ μικροῖς καὶ εὐτελέσιν! Ἡλίκας δὲ ταραχὰς καὶ δεινὰ ἐπήνεγκεν ὁ φθόνος ἀνέκαθεν! Οὐχὶ διὰ φθόνον ἐφονεύθη ὁ ἀθῶος Ἄβελ ὑπὸ τοῦ ἀδελφοῦ Κάϊν; οὐχὶ Δαυὶδ, ὁ πραότατος καὶ πιστὸς τοῦ Σαοὺλ θεράπων, διὰ φθόνον ἐδιώκετο ἀπηνῶς ὑπ' αὐτοῦ; οὐχὶ διὰ φθόνον καὶ ὁ Ἀχαὰβ κατέκρινε τὸν πτωχὸν Ναβουθαὶ λιθασθῆναι, καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων παρέδωκαν τὸν ἄμωμον Ἰησοῦν Πιλάτῳ σταυρωθῆναι; Γ'. Ὀρθὰς καὶ ἐναργεῖς κτᾶσθαι γνώσεις τῆς θείας προνοίας, τῆς τὰ πάντα πανσόφως καὶ παναγάθως κυβερνώσης, ἔτι δὲ καὶ τῆς θείας σοφίας καὶ ἀγαθότητος καὶ δικαιοσύνης. Ἐξιχνιάσαι μὲν γὰρ ἐντελῶς τὰ ἀνεξερεύνητα τοῦ Θεοῦ κρίματα, καὶ καταμαθεῖν, διατί τοῦτον μὲν ὑψοῖ, ἐκεῖνον δὲ ταπεινοῖ, καὶ διατί νῦν μὲν οὕτως, νῦν δὲ ἄλλως τὰ τῶν ἀνθρώπων διεξάγει, ἀνέφικτον ἡμῖν τοῦτό γε ὅτι δὲ οὐδένα ἀδικεῖ, ἐγγυᾶται ἡμῖν ἀποχρώντως ἡ ἄπειρος αὐτοῦ σοφία καὶ ἀγαθότης καὶ δικαιοσύνη. Δ'. Μηδέποτε τῶν λόγων ἐπιλανθάνεσθαι, ὑφ' ὧν ἡ γνησία κρατύνεται καὶ ἀκμάζει φιλαδελφία· ἔνθα γὰρ ἂν αὕτη παρείη, οὐδεὶς ἂν εἰσίοι φθόνος. Ὁ ἄνθρωπος ὑπάρχει τὸ κατὰ πᾶσαν τὴν ὁρατὴν κτίσιν ἔξοχον ἀριστούργημα τῆς πανταδυναμίας, τῆς σοφίας, καὶ τῆς ἀγαθότητος τοῦ Θεοῦ, ὡρισμένον εἰς εἰκόνα ζῶσαν καὶ ἐξομοίωσιν τοῦ δημιουργοῦ αὐτοῦ, ἠξιώθη δὲ καὶ προνοίας ἐξαιρέτου, καὶ ἀγάπης, καὶ ἐλέους παρὰ τοῦ τῶν ὅλων Θεοῦ, ἐξαγορασθεὶς τῷ τιμίῳ αἵματι τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ καὶ σωτῆρος ἡμῶν Θεοῦ, καὶ λυτρωθεὶς ἀπὸ τῆς δουλείας τῆς ἁμαρτίας καὶ τῆς φθορᾶς. Ὁ δὲ πατὴρ ἡμῶν ὁ οὐράνιος διανέμει ποικίλως ἡμῖν τὰ πλούσια αὐτοῦ

Digitized by Google

δῶρα, οὐχ ἵνα φθονῶμεν καὶ δυσμενῶς ἔχωμεν πρὸς ἀλλήλους, ἀλλ' ἵνα εὐκαιρίαν ἔχωμεν ἀγαθοποιεῖν τε καὶ δεικνύναι τὴν ἀγάπην τὴν εἰς ἀλλήλους. Ηγηὶ δὲ πρώτη τοῦ φθόνου τυγχάνει ἡ ὑπερφιλαυτία, ἐξ ἧς ἡ μετὰ λύπης πλεονεξία, ἣν καλοῦμεν φθόνον, νῦν μὲν εἰς φιλαργυρίαν, νῦν δὲ εἰς ὑπερηφανίαν ἀπορρέπουσα· ὅπου δ' ἂν μηδεμία λείπηται ἐλπὶς τοῦ τυχεῖν ὧν ἐφίεται, εἰς χαιρεκακίαν ἡ δυσμένειαν μεταβάλλεται. Ὥσπερ δὲ πρὸς θεραπείαν παντὸς κακοῦ ἀναγκαῖον τὴν ῥίζαν ἐξευρόντα ἀνασπάσαι, οὕτω καὶ ἐν τῷ φθόνῳ.

Περὶ γαστριμαργίας.

§. 101. *Ὅτι ἐμπέφυκε τῇ σωματικῇ φύσει ἡ τῆς βρώσεως καὶ τῆς πόσεως χρεία.*

Πᾶν τὸ ζωῆς μέτοχον, καὶ ἐφιέμενον τοῦ ζῆν φαίνεται· ἐκ δὲ τούτου ἡ περὶ τῶν τοῦ ζῆν συντηρητικῶν φροντὶς, καὶ ὁ φόβος ἀπὸ τῶν λυμαινομένων αὐτό. Καλοῦνται δὲ τὰ τῆς ζωῆς συντηρητικὰ, ἐπιτήδεια ἢ ἀναγκαῖα τοῦ ζῆν, ὡς ἀλλαχοῦ εἴρηται· καὶ τούτων τὰ μέν εἰσι στερεὰ, τὰ δὲ, ῥευστά· ἀμφοτέρων δὲ δεῖται πρὸς συντήρησιν πᾶσα ὀργανικὴ ζωὴ, καὶ αὐτὴ ἡ τοῦ ἀνθρώπου. Εἰ γὰρ μὴ καθ' ἑκάστην ἀναπληροῦται διὰ τῆς τροφῆς τὸ ἐκ τῆς διαφορήσεως καὶ τῶν ἄλλων φυσικῶν κενώσεων διηνεκῶς ἀφαιρούμενον τῆς δυνάμεως, κινδυνεύει ταχέως ἡ ὀργανικὴ ζωὴ ἀπομαρανθῆναί τε καὶ παντελῶς διαλυθῆναι. Πάλιν δὲ τῶν ἐπιτηδείων τὰ μὲν στερεὰ καλοῦνται βρώματα· ποτὰ δὲ, τὰ ῥευστά. Ἐν μὲν οὖν τῇ τοῦ παντὸς δημιουργίᾳ προϋνόησεν ὁ πανάγαθος Θεὸς ἐξαιρέτως καὶ περὶ τῆς τοῦ ἀνθρώπου διατροφῆς, ὁρίσας πρὸς τοῦτο τὰ πλεῖστα τῶν φυτῶν καὶ τῶν ζώων, ὡς

Digitized by Google

οὐ μόνον ἐκ τῆς αὐτῶν φύσεως, ἀλλὰ δὴ καὶ ἐκ τῆς θείας Γραφῆς δηλοῦται. « Καὶ ἐξανέτειλεν ἔτι ὁ Θεὸς ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν· καὶ ἐνετείλατο κύριος ὁ Θεὸς τῷ Ἀδὰμ λέγων, ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ. » (α) καὶ κατωτέρω, « Καὶ εἶπεν ὁ Θεὸς τῷ Νῶε, καὶ πᾶν ἑρπετὸν, ὅ ἐστι ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν, ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα » (β). Ποικίλα ἄρα, ὡς ἐκ τῶν θείων λογίων μαρτυρεῖται, τὰ πρὸς τὴν ζωὴν τοῦ ἀνθρώπου ἐπιτήδεια, ἀλλ' οὐκ ἀνάγκη καὶ ἀπολαύειν ἅμα πάντων, μᾶλλον δὲ καὶ ὠφελιμώτερον δείκνυται ὑπὸ τῆς πείρας τὸ ἀπέχεσθαι τῆς τῶν βρωμάτων ποικιλίας ἐν τῇ τῆς τροφῆς μεταλήψει. « Πάντα μοι ἔξεστί, φησιν ὁ μακάριος Παῦλος, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος, τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν « (γ).

§. 102. *Πῶς δεῖ τῶν πρὸς τροφὴν μεταλαμβάνειν.*

Ὥσπερ ἐν τῇ θεραπείᾳ τῆς γεννητικῆς ὁρμῆς, οὕτω καὶ ἐν τῇ μεταλήψει τῆς τροφῆς ἐμπέφυκέ τι τῶν ἡδέων αἰσθημάτων, πανσόφως ὑπὸ τοῦ παναγάθου δημιουργοῦ οὕτως οἰκονομηθὲν, ἐφ' ᾧ πᾶς τις προτρέπηται καὶ ἀναγκάζηται εἰς τὸ πορίζεσθαι ἐπιμελῶς τὰ ἐπιτήδεια, καὶ κατὰ μέτρον δίκαιόν τε καὶ πρέπον μεταλαμβάνειν αὐτῶν. Οὐ χρὴ δὲ κυρίως τῆς τροφῆς ἀπολαύοντας, πρὸς τὸ ἐξ αὐτῆς ἡδὺ ἀφορᾶν, ἀλλὰ πρὸς τὴν τῆς ζωῆς καὶ τῆς ὑγιείας διατήρησιν· ταύτης δὲ πάλιν σκοπὸς ἔστω ἡ διὰ τῆς καθ' ἡμέραν ἐκπληρώσεως τῶν ἡμετέρων καθηκόντων προσέγγισις εἰς τὸν ὕψιστον

(α) Γεν. β'. 9. (β) Γεν. θ'. 3. (γ) Α'. Κορ. ς'. 13.

Digitized by Google

σκοπὸν τῆς ἀνθρωπότητος, ὃς ἐστιν ἡ πρὸς τὸν Θεὸν ἐξομοίωσις. Τοῦτο οὖν καὶ οἱ ἀρχαῖοι τῶν ἔξω σοφῶν συνειδότες ἔλεγον· Ἐσθίομεν, ἵνα ζῶμεν, οὐ ζῶμέν δὲ ἵνα ἐσθίωμεν. Ἀλλ' ὅμως ῥέπουσί τινες σφόδρα πρὸς τὴν ἐκ τῆς μεταλήψεως τῆς τροφῆς ἡδονὴν, καὶ ἡ ροπὴ αὕτη λίαν ἐπικίνδυνος τῇ ἀρετῇ καθίσταται, εἰς ὁρμὴν ἀκάθεκτον μεταβαλλομένη, καὶ τὸ πνεῦμα ἐπισκοτίζουσα, καὶ δεσμεύουσα αὐτὸ τῷ σώματι, καὶ κατασπῶσα τὸν ἄνθρωπον ἐπὶ τὸ κτηνῶδες. Συμβαίνει δὲ τοῦτο μάλιστα, ὅταν τέλος μὲν τῆς τροφῆς μόνη ἡ ἐκ ταύτης ἡδονὴ κακῶς λογίζηται, τὸ δὲ προσῆκον μέτρον ἐν τῇ μεθέξει ταύτης ὑπερβαίνηται, χάριν δὲ ταύτης καταναλίσκηται καὶ χρόνος, καὶ πόνος, καὶ δαπάνη τοσαύτη, ὥστε καὶ πρὸς τὰ κρείττονα τῶν καθηκόντων μηκέτι ἡμᾶς ἐπαρκεῖν. Κατὰ ταῦτα τοίνυν περιγραφείη ἂν ἡ γαστριμαργία ὡς ἐν τύπῳ, οὐκέτι ὄρεξις ἐκ τῆς φυσικῆς ἀνάγκης ἐγειρομένη, καὶ ὑπὸ τοῦ λόγου διακουμένη, ἀλλ' ὁρμὴ ἀκάθεκτος πρὸς τὴν ἐκ τῆς βρώσεως ἡδονήν. Δηλοῦται δὲ, ἢ ὡς πρᾶξις μία, καὶ αὕτη ἐστὶν ἡ ἁμαρτία, ἢ ὡς διάθεσις ἐν ἕξει πρὸς τὰς τοιαύτας πράξεις, καὶ αὕτη ἐστὶν ἡ κακία τῆς γαστριμαργίας. Καὶ ἡ μὲν πρὸς τὴν ἐκ τῆς βρώσεως ἡδονὴν ροπὴ καλεῖται αὐτὸ τοῦτο κυρίως γαστριμαργία· ἡ δὲ πρὸς τὴν ἐκ τῆς πόσεως, φιλοποσία, ἧς ὁ ἀνώτερος βαθμός, ὅταν ἡ τοῦ λόγου ἐνέργεια πρὸς καιρὸν διακόπτηται καὶ κωλύηται, κραιπάλη καλεῖται καὶ μέθη, ὥσπερ ἡ τῶν συνήθων βρωμάτων καταφρονοῦσα, καὶ ἐπὶ τὴν ὀξυτέραν ἢ λεπτοτέραν ἡδονὴν τὴν ἐκ τῆς βρώσεως ἀπορρέπουσα ὁρμὴ, λαιμαργία, καὶ λιχνεία καλεῖται. Ἐὰν δὲ καὶ δαπάνη μείζων τῆς δεούσης χάριν τῆς λαιμαργίας ἀναλίσκηται, ὥστε καὶ φθείρειν τὴν ὑπάρχουσαν οὐσίαν καὶ

Digitized by Google

τὴν ἐν αὐτῇ εὐημερίαν, ἀδηφαγία, καὶ κοιλιοδουλεία, μᾶλλον δὲ ἀσωτία ἄντικρυς καὶ ἀκρασία λέγεται.

§. 103. *Τὰ ἐκ τῆς γαστριμαργίας κακά.*

Ποικιλώτερα ταῦτά εἰσι καὶ πλείονα, ἢ ὥστε δύνασθαι πάντα καταλέξαι, τὰ δὲ ὀνομαστότερά εἰσι ά, χαρὰ ματαία καὶ ἄφρων· β', βωμολοχία καὶ γελωτοποιία· γ', ἀκαθαρσία· δ', σκότωσις τοῦ νοός· ε, ἀπήνεια πρὸς τὴν τῶν πέλας δυστυχίαν· ς', φθορὰ τῆς ὑγιείας· ζ', ἀσώτευσις τῶν ὑπαρχόντων· ἡ, ὀλιγωρία τῶν ὑψηλοτέρων καθηκόντων· θ', λήθη καὶ ἀδιαφορία περί τε τοῦ Θεοῦ, καὶ τῶν ἔργων αὐτοῦ· ι, παντελὴς ἀμεριμνία περὶ τῆς ὑψηλῆς κλήσεως τοῦ ἀνθρώπου. Διὰ τοῦτο καὶ ὁ κοινὸς τῶν ἀνθρώπων νοῦς, καὶ ἡ θεία Γραφὴ τὸ τῆς γαστριμαργίας καὶ ἀκρασίας κακὸν ὡς πάνυ αἰσχρόν τε καὶ βλαβερὸν κατακρίνουσι· « Προσέχετε ἑαυτοῖς, φησιν ὁ Χριστὸς, μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς. » (α) Ὁ δὲ θεῖος Παῦλος τοὺς περὶ ταῦτα ἀκρατεῖς « δούλους ἀποκαλεῖ τῆς σαρκὸς, καὶ ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος, φησὶν, ἀπώλεια, ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν » (β). Ἐν δὲ τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ τοὺς κώμους καὶ τὴν μέθην ἐν τοῖς ἔργοις τοῦ σκότους καταριθμεῖ, ἴσα τῇ πορνείᾳ καὶ τῇ μοιχείᾳ· « Ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις. » (γ) Καὶ ἀλλαχοῦ πάλιν καταλέγει τὴν μέθην καὶ τὴν γαστριμαργίαν ἐν τοῖς ἔργοις τῆς σαρκὸς, ἀποφαινόμενος, ὅτι « Οἱ τὰ τοιαῦτα πράσσοντες

(α) Λουκ. κά. 34. (β) Φιλιπ. γ'. 18. (γ) Ῥωμ. ιγ'. 12.

Digitized by Google

βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν » (α). Ἀναγνώτω δέ τις ἐνταῦθα καὶ τὴν περὶ τοῦ πλουσίου καὶ τοῦ πτωχοῦ Λαζάρου παραβολὴν τοῦ Κυρίου (β). Ὁ δὲ κοινὸς νοῦς, πῶς περὶ ταῦ κώμου καὶ τῆς μέθης διαλογίζεται καὶ κρίνει; ἢ οὐχὶ πάντες ὑπὸ δειλίας τινὸς καὶ φρίκης καὶ ἀποστροφῆς κατέχονται, ὁρῶντες τὸν ὑπὸ τῆς μέθης παραπαίοντα καὶ κλονούμενον; Οὐχὶ πάντες ὁμολογεῖν ἀναγκαζόμεθα, ὅτι τὸ οὕτως ἔχειν παρὰ φύσιν ἐστὶ, καὶ αἴσχιστον καὶ λίαν ἐπονείδιστον; Βεβαιοῖ δέ μου τὸν λόγον τὸ τῶν ἀρχαίων Σπαρτιατῶν ἔθος, οὐδενὶ ἄλλῳ νομιζόντων ἀποτρέψειν τῆς μέθης τοὺς ἑαυτῶν παῖδας ἀσφαλέστερον, ἢ τῷ δεικνύναι αὐτοῖς τοὺς Εἵλωτας μεθύοντας καὶ κεκραιπαληκότας. Τὸ δ' αἰσχρὸν καὶ κακὸν αὐτῆς ἐν τούτῳ μάλιστα συνίσταται, ὅτι ὁ τῇ ἀκρασίᾳ ταύτῃ δουλωθεὶς, πάντα τὰ κρείττονα ὑπὲρ τῆς σαρκὸς θυσιάζει, ἢ κινδυνεύει γε πάντα αὐτῇ προσενεγκεῖν εἰς θυσίαν.

§. 104. *Ἡ ἐπὶ τῇ γαστριμαργίᾳ εὐθύνη.*

Ἡ ἐπὶ τῇ γαστριμαργίᾳ, ἢ γενικώτεραν, ἐπὶ τῇ ἀκρασίᾳ εὐθύνη μεγάλη τε καὶ βαρεῖα λογίζεται, μάλιστα δὲ ἁ, ὅταν πρὸς βλάβην τῆς ὑγιείας καὶ τῆς τῇ καταστάσει προσηκούσης εὐημερίας ὑπερθάλπηται καὶ διατηρῆται· β', ὅταν καὶ ὀλιγωρίᾳ τῶν σπουδαίων καθηκόντων αὐτῇ παρέπηται· γ', ὅταν καὶ τότε ἔτι κατισχύῃ, ἐπειδὰν τὰ ἐξ αὐτῆς κακὰ συνιέναι ἄρξηταί τις, καὶ τὴν ἐξ αὐτῆς αἰσχύνην καθορᾷ. Διὰ γὰρ τῆς μέθης καὶ τοῦ ὑπερκορεσμοῦ ἡ ὑψηλὴ ἀξία τῆς ἀνθρωπότητος ἀτιμάζεται, καὶ τὸ τοῦ Θεοῦ ἀφομοίωμα ἐπὶ τὸ κτηνῶδες καταπίπτει, καὶ καταπιέζεται· ἀλλὰ καὶ τῆς φθορᾶς τῆς ὑγιείας ὁ θεμέλιος καταβάλλεται, καὶ

(α) Γαλ. ε. 21. (β) Λουκ. ιϛ'. 19—31.

Digitized by Google

τοιαύτη παρεισάγεται διάθεσις, ἐν ᾗ πρὸς καιρὸν ἀνίκανος γίνεται πᾶν καθῆκον ἐπιτελέσαι.

§. 105. *Τὰ τῆς γαστριμαργίας σοφίσματα.*

Πολυτρόπως οἱ γαστρίμαργοι ἀγωνίζονται τὸ τῆς ἑαυτῶν ἀκρασίας αἶσχος ἐπικαλύπτειν· διὸ καί φασιά, Τίς ἂν δύναιτο διὰ παντὸς ἐν σταθμῷ καὶ μέτρῳ τῆς τροφῆς μεταλαμβάνειν; Οὐ χρὴ καὶ πειρᾶσθαί ποτέ τινα, πόσον ἂν οἷός τε εἴη φέρειν; β', Ἡολλάκτις ἀνάγκη ἡμῖν ἐπίκειται ταλαιπωρεῖν τὸ σῶμα, χρὴ ἄρα καὶ περιποιεῖσθαι αὐτὸ ἐνίοτε. Εἶτα οὐ καθ' ἑκάστην τοῦτο γίνεται, ἀλλὰ συμβαίνει, ὅτε καὶ εὐθυμῆσαι δεῖ ὑπὲρ τὸ σύνηθες· γ', Πρὸς τί τοσαῦτα ὑπὸ τοῦ Θεοῦ ἐδωρήθησαν ἡμῖν, εἰ μὴ θέμις καὶ ἀπολαύειν; Ἀλλ' ἡδέως ἂν ἐροίμην τὸν ταῦτα λέγοντα· Ἰσχύουσιν ἄρα πάντα ταῦτα κατασιγάσαι τὴν φωνὴν τῆς συνειδήσεως, τὴν διηνεκῶς τὸ τῆς ἀκρασίας κακὸν ἐλέγχουσαν; Οὐδαμῶς. Οὐ δύναται μὲν γάρ τις ὄντως σταθμίζειν ἀεὶ τὴν βρῶσιν ἢ τὴν πόσιν, ἀλλ' οὐδ' ἀνάγκη ποτεῖν οὕτω· ῥᾳδίως γὰρ τοῖς τῷ λόγῳ ὑπείκουσι, τί τὸ ἀρκοῦν καὶ μέτριον, καὶ τί τὸ περισσὸν καὶ ὑπερβάλλον εὑρίσκεται. Χρὴ καὶ πειρᾶσθαι ἑαυτοῦ τινα ἔστιν ὅτε! Καὶ διατί δὲ διὰ τοῦ ὑπερκορεσμοῦ, ὃς κατὰ πᾶσαν πεῖραν, πάσας ἐλαττοῖ καὶ λυμαίνεται τὰς δυνάμεις; Οὕτω δὲ καὶ πρὸς τὸ δεύτερόν φαμεν. Μεταξὺ θεραπείας καὶ πληθμονῆς, μεταξὺ περιθάλψεως καὶ ὑπερκορεσμοῦ μέγα ἐστὶ τὸ διάφορον. Πῶς δ' ἂν τις διὰ τοῦ ὑπερκορεσμοῦ, τοῦτ' ἔστι διὰ τῆς ἀλγηδόνος, θεραπεύσειε τὸ σῶμα; Ἀλλ' οὐ καθ' ἑκάστην τοῦτο γίνεται. Ἀρκεῖ ὅτι ἅπαξ· μὴ καὶ ἐπαίνου ἄξιον, ὅτι οὐ παρὰ χρῆμα εἰς κτηνωδίαν πρόεισιν; Οὕτω καὶ τῶν τοῦ θεοῦ πλουσίων δωρεῶν ἔξεστι μὲν ἀπολαύειν

Digitized by Google

σωφρόνως, οὐ μέντοι καὶ ἀκολασταίνειν. Πανταχοῦ δ' ὁ ἄνθρωπος, ὡς λογικὸς, ὀφείλει ἐν τῷ μέτρῳ διαμένειν, ὅπερ ἄριστα τῇ ἑαυτοῦ γενέσει καὶ τῇ κλήσει ἁρμόττει, καὶ μηδὲν αὐτοῖς βλάπτει, τὸ δὲ πλέον ἁμαρτία ἐστὶ καὶ αἰσχύνη.

§. 106. *Ἀλεξήματα κατὰ τῆς γαστριμαργίας καὶ ἐν γέρει κατὰ τῆς ἐν τῷ ἐσθίειν καὶ πίνειν ἀκρασίας.*

Α'. Φεῦγε τὰς εὐκαιρίας καὶ τὰς συνηθείας, ἐν αἷς ῥᾳδίως ἂν, τῇ προτροπῇ ἢ τῷ παραδείγματι, εἰς ὑπερβολὴν καὶ ἀμετρίαν ἐξολισθήσειας. Μετὰ γὰρ ὁσίου, ὅσιος ἔσῃ, καὶ μετὰ στρεβλοῦ, διαστρέψεις· ὡς φησιν ὁ Ψαλμῳδός. Μὴ ἔχων δὲ ἀπολιπέσθαι, ἔμμενε τῷ μέτρῳ τῷ παρὰ πάντων δεδοκιμασμένῳ, καὶ μηδαμῶς τὴν ὑγίειαν βλάπτοντι.

Β'. Ἀναλογίζου συνεχῶς τῆς μὲν ἐκ τούτων ἡδονῆς τὸ βραχὺ, τῆς δ' ἐξ αὐτῶν βλάβης τὸ μέγεθος.

Γ'. Μνημόνευε τῶν ἀγαθοποιῶν σκοπῶν τοῦ Θεοῦ, ὃς ἐδωρήσατο ἡμῖν ταῦτα, οὐχὶ πρὸς τρυφὴν καὶ ἀκολασίαν καὶ ὕβριν, ἀλλὰ πρὸς διατροφὴν, ἵνα, ἐνισχυόμενοι δι' αὐτῶν, καὶ ἐνθαῤῥυνόμενοι, πιστοὶ τοῖς καθήκουσιν ἡμῖν ὦμεν, καὶ ἀγαπῶμεν μᾶλλον τὸν τούτων δοτῆρα καὶ εὐεργέτην, καὶ εὐχαριστῶμεν.

Δ'. Ἀναμιμνήσκου συνεχῶς τῶν ἐκ τῆς τρυφῆς καὶ τῆς ἀκρασίας κακῶν τῶν ἐν τῷ παρόντι καὶ ἐν τῷ μέλλοντι αἰῶνι· ἀλλὰ καὶ τοὐναντίον, τῶν ἐκ τῆς χριστιανικῆς μετριότητος καὶ αὐταρκείας μεγάλων ὠφελημάτων. Ὑπὸ γὰρ ταύτης καὶ τὸ σῶμα κρατυνόμενον, εὔθετον εἰς τὰς ἀναγκαίας ἐργασίας γίνεται, καὶ τὸ πνεῦμα εἰς διηνεκῆ γοργότητα καὶ εὐθυμίαν διατηρεῖται· καὶ οὕτως ἡ ἐγκράτεια ὄργανον τῆς προόδου εἰς τὴν ἀρετὴν γίνεται τὰ ἐκ τῆς ἀκρασίας κωλύματα ἀφαιροῦσα.

Digitized by Google

Ἰδοὺ δὲ τί περὶ τούτων ἡ θεία Γραφὴ διδάσκει. « Μὴ ἀπλησταύου ἐν πάσῃ τρυφῇ, καὶ μὴ ἐκχυθῇς ἐπὶ ἐδεσμάτων. Ἐν πολλοῖς γὰρ βρώμασιν ἔσται πόνος, καὶ ἡ ἀπληστία ἐγγιεῖ ἕως χολέρας. Δι' ἀπληστίαν πολλοὶ ἐτελεύτησαν, ὁ δὲ προσέχων προσθήσει ζωήν » (α). Ὁ δὲ Ἡσαΐας οὐχ ἧττον παθητικῶς ἐλεεινολογεῖ τὸν φιλοπότην. « Οὐαί, φησιν, οἱ ἐγειρόμενοι τὸ πρωΐ καὶ τὰ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. Μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα Κυρίου οὐ κατανοοῦσι » (β). Ἀλλὰ καὶ Σολομῶν ἐρωτᾷ: Τίνι οὐαί; Τίνι θόρυβος; Τίνι κρίσεις; Τίνι δὲ ἀηδίαι καὶ λέσχαι; Τίνι συντρίμματα διακενῆς; Τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; Οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις; οὐ τῶν ἰχνευόντων, ποῦ πότοι γίνονται; Μὴ μεθύσκεσθε ἐν οἴνοις, ἀλλ' ὁμιλεῖτε ἀνθρώποις δικαίοις, καὶ ὁμιλεῖτε ἐν περιπάτοις. Ἐὰν γὰρ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς ὀφθαλμούς σου, ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου... Πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει, καὶ ἐνδύσεται διερρηγμένα, καὶ ῥακώδη πᾶς ὑπνώδης » (γ). Καὶ ὁ προφήτης δὲ Ἰεζεκιὴλ λέγει, ὅτι ῥίζα πάσης τῆς διαφθορᾶς τῶν Σοδόμων καὶ τῆς παρὰ φύσιν βδελυρᾶς αὐτῶν ἁμαρτίας ἦν ἡ γαστριμαργία «. Τοῦτο τὸ ἀνόμημα Σοδόμων ὑπερηφανία, καὶ ἐν πλησμονῇ ἄρτων, καὶ ἐν εὐθηνίᾳ ἐσπατάλων » (δ).

Ἕκαστος δὲ ὑπὸ τῆς ἰδίας πείρας διδάσκεται, ὅτι τῷ μετρίως βρῶσιν τε καὶ πόσιν αἱρουμένῳ καὶ σῶμα καὶ πνεῦμα εὐαρμοστότερόν τε καὶ ἐπιτηδειότερον κατὰ πάντα μένει, ἢ τοῖς τὸ ἁβροδίαιτον καὶ τὴν πολυτέλειαν ἀσπαζομένοις

(α) Σειραχ. λζ'. 29. (β) Ἡσαΐ. ε. 11. κ ε. (γ) Παροιμ. κγ'. 29. κ. ε.
(δ) Ἰεζεκ. ις'. 49.

Digitized by Google

Καὶ ἡ φρονίμη δὲ καὶ χριστιανικὴ μετριότης οὐ μόνον ἐν τῷ φεύγειν σταθερῶς τὴν ἀμετρίαν θεωρεῖται, ἀλλὰ καὶ ἐν τῷ ἐμμένειν τῇ λιτότητι καὶ ἁπλότητι, καὶ τὸ μᾶλλον ἐπιτήδειον τοῦ ἁπλῶς τοιούτου αἱρεῖσθαι, καὶ τοσοῦτον μετέχειν, ὅσον ἀρκεῖ εἰς τὸ τὰς σωματικὰς δυνάμεις ἀναλαμβάνειν, ἀλλὰ μὴ συμπιέζειν. Ἔτι δὲ διδάσκει ἡ πεῖρα, ὅτι οὐ πᾶσι πάντα ἐπιτήδεια· ὁ οὖν σωφρονῶν ἑκάστου πειρᾶται, εἰ ἐπιτήδειον αὐτῷ, καὶ ἐπὶ πόσον, καὶ ἅμα γνούς τι τῶν ποτῶν ἢ τῶν ἐδεσμάτων μὴ ἐπιτήδειον τῇ ὑγιείᾳ, ἀπέχει αὐτοῦ, κἂν ἥδιστον τυγχάνῃ τῇ γεύσει. Ὅλως δὲ τὸ μηδὲν περιττὸν, ἢ μὴ ἀναγκαῖον, μηδὲν πολυτελέστερον τοῦ ἐπιβάλλοντος, δι' οὗ ἢ ἡμεῖς ἡμᾶς αὐτοὺς ἄλλων ἀναγκαίων στερήσομεν, ἢ ἄλλους καταθλίψομεν, τοῦτο παντὸς σωφρονοῦντος τὸ ἀξίωμα εἶναι δεῖ.

Περὶ ὀξυθυμίας καὶ ὀργῆς.

§. 107. *Περὶ τῆς γενέσεως καὶ τῆς ἐκδηλώσεως αὐτῶν.*

Ἡ ὀξυθυμία καὶ ἡ ὀργὴ οὐκ εἰσὶ τῷ εἴδει διάφορα, ἀλλὰ τοῦ αὐτοῦ πάθους ἐκδηλώσεις διάφοροι· ὁ μὲν γὰρ θυμὸς ὀξὺς καὶ ὀλιγοχρόνιος, ἡ δὲ ὀργὴ βραδυτέρα μὲν, μονιμωτέρα δέ. Δοκεῖ δὲ ἡ ὀξυθυμία προηγεῖσθαι πανταχοῦ τῆς ὀργῆς, καὶ συμπαρομαρτεῖν αὐτῇ, διὸ καὶ πρῶτον περὶ αὐτῆς ῥητέον.

Ἐπειδὰν, ὅθεν δήποτε λυπηρόν τι ἢ δυσάρεστον τῷ ἀνθρώπῳ συμβῇ, δυοῖν θάτερον γίνεται· ἢ γὰρ ἀταράχως τε καὶ γενναίως φέρει αὐτὸ, ἢ ὡς προγινώσκων, ὅτι οὐδὲν αὐτῷ ἔσται ὄφελος ἐκ τῆς στενοχωρίας καὶ ἀντιστάσεως, ἢ ὡς συνειδὼς ἑαυτὸν αἴτιον τοῦ λυπηροῦ· καὶ τοῦτο ἐστὶν, ὃ καλεῖται ὑπομονὴ καὶ μακροθυμία· ἢ τοὐναντίον,

Digitized by Google

οὐ φέρει τὸ δυσάρεστον, ἀλλ᾽ ἀνθίσταται δεικνύων εὐθὺς καὶ μετὰ σφοδρότητος τὴν ἐπ᾽ αὐτῷ δυσαρέσκειαν, καί περ εἰδὼς, ὅτι οὐ διὰ τοῦτο ἀπαλλάττεται τοῦ συναντήματος· καὶ τοῦτο καλοῦμεν ὀξυθυμίαν. Αὕτη τοίνυν, οἷα δὴ λύπη ἐσωτερικὴ ἐπὶ τοῖς παρὰ γνώμην συμβαίνουσιν ἀνιαροῖς, μετὰ σφοδρότητος ἐκδηλουμένη, ἵνα ἀπελάσῃ ταῦτα, ἢ γοῦν, ἵνα μὴ ἀταράχως καὶ καρτερικῶς ὑπομείνῃ, κωλύει καὶ διακόπτει τὸν λογισμὸν, μόνῳ τῷ συναντήματι προσέχουσα. Ἡ δὲ φαντασία ἐρεθισθεῖσα μεγεθύνει τὸ ἐξ αὐτοῦ κακὸν, καὶ οὐκ ἐᾷ θεωρῆσαι καὶ λογίσασθαι ὀρθῶς, ὥστε τοῖς ἐπιτηδείοις πρὸς ἀπαλλαγὴν χρήσασθαι, ἔστι δ᾽ ὅτε καὶ πρὸς τὰ ἐναντία τῆς ἀφαιρέσεως ἢ τῆς ἐλαττώσεως αὐτοῦ ἐκ τῆς σκοτώσεως τοῦ λογικοῦ τρέπεται.

§ 108 *Περὶ τῶν ἐκ τῆς ὀξυθυμίας κακῶν.*

Ἡ ὀξυθυμία ἢ ὡς μία τις πάθησις, ἢ ὡς ἐν ἕξει διάθεσις πρὸς αὐτὴν, ἀεὶ φέρει ζημίαν, καὶ ταῦτα, ἐπειδὰν ὁπωσοῦν ἐπιτεταμένη ᾖ. Ταράττουσα γὰρ τὸν λογισμὸν ἐμποιεῖ ἢ ἔξαψιν δεινὴν καὶ ταχεῖαν, ἢ θλῖψιν τῇ σιγῇ ὑποθαλπομένην· καὶ ἡ μὲν εἰς λοιδορίας καὶ ὕβρεις καὶ βλασφημίας καὶ ἀρὰς κατὰ τῶν ἀνθρώπων ἐκρήγνυται, καὶ βιαιοπραγίας δὲ καὶ ἀδικίας, ἔστι δ᾽ ὅτε καὶ μῖσος, καὶ γογγυσμὸν καὶ βλασφημίαν κατὰ τοῦ Θεοῦ ἀποκυεῖ· ἡ δὲ, ὑπονοίας ἀλλοκότους, καὶ ἔχθραν καὶ μισανθρωπίαν ἐγείρει, μάλιστα δὲ κατὰ τῶν δοκούντων αἰτίων τοῦ λυπηροῦ συναντήματος, εἰς δὲ τὸν Θεὸν δυσπιστίαν καὶ γογγυσμόν. Ἔτι δὲ καὶ καταβιβρώσκει οὕτω τὴν καρδίαν, καὶ τὴν ὑγίειαν καταναλίσκει, ὥστε ἐν ὀλίγῳ φέρει τὴν φθορὰν καὶ τῷ σώματι καὶ τῷ πνεύματι· καὶ ἐπειδὰν εἰς ἕξιν καὶ πάθος ἔμμονον προαχθῇ, πᾶν αἴσθημα δικαιοσύνης καὶ ἀδικίας, ἀγαθοῦ καὶ κακοῦ, ἀποσβέννυσι, πρὸς

Digitized by Google

μόνην ἐκδίκησιν διατιθεῖσα. Ταῦτα οὖν ἀεὶ τῇ ὀξυθυμίᾳ παρεπόμενα τὸ μωρὸν καὶ κακόηθες αὐτῆς μαρτυροῦσιν· ἵνα δὲ ὀρθῶς περὶ τούτων κρίνωμεν, θεωρητέον ἀεὶ ἀ. μέχρι τίνος προαχθείη ἂν ἡ ὀξυθυμία καὶ ἡ ὀργή· β'. τί τὸ ἔργω ἐξ αὐτῆς γενόμενον· γ', ἐπὶ πόσον ἂν αὐτὸ τῇ τοῦ ἀνθρώπου προαιρέσει προσλογισθείη.

§ 109 *Περὶ τῶν προφάσεων τῆς ὀξυθυμίας.*

Οὐδὲ τοῖς ὀξυθύμοις καὶ ὀργίλοις λείπουσι προφάσεις, αἷς τὸ ἀπρεπὲς τῆς ἰδίας διαγωγῆς καὶ λίαν κακόηθες, ἔστιν ὅτε, δικαιοῦν πειρῶνται· φασὶ τοίνυν Α'. « Φύσει πᾶς τις τὰ δεινὰ ἀποστρέφεται· πῶς ἂν οὖν ἐγὼ ἐπίμεμπτος εἴην ἀνθιστάμενος καὶ ἀγανακτῶν ἐπ' αὐτοῖς; » Ὀρθὸν μὲν δὴ τὸ πρῶτον, μέγα δὲ διαφέρει ὁ τῆς ἀντιστάσεως τρόπος. Ἔξεστι μὲν γὰρ ἀντιστῆναι, ἀλλὰ μετριοπαθῶς καὶ προσηκόντως τῇ τε ἀξίᾳ καὶ τῇ κλήσει τοῦ ἀνθρώπου· ἔξεστιν ἐπὶ τοῖς δεινοῖς ἀγανακτῆσαι καὶ λυπηθῆναι δὲ, καὶ ταῦτα ἐπειδὰν ἐπέρχωνται, μηδεμίαν αἰτίαν ἢ ἀφορμὴν παρ' αὐτοῦ λαβόντα, ἀλλὰ τὸ καὶ μέχρι παραφροσύνης καὶ μανίας ἀλύειν καὶ χαλεπαίνειν παρὰ τὴν τοῦ λογικοῦ ἀξίαν, ἀνάνδρου ὅλως καὶ ἀγενοῦς ψυχῆς ἐστι τεκμήριον· διὸ καὶ αἰσχρὸν καὶ ἐπίμεμπτον. Β'. « Ἀλλ' ἀνιαρώτατόν, φησι, τὸ συνάντημα, καὶ οὐκ ἄν τις ἀταράχως αὐτοῦ ἀνάσχοιτο! » Ἆρ' οὖν βοηθεῖται ἢ κουφίζεται δεινὴν ἀθυμίαν ἢ ὀργὴν ἀντιτάσσων τῷ δεινῷ; Καὶ ἔστι τι οὕτω μέγα καὶ δεινὸν, ὅπερ οὐκ ἄν τις πράως ὑπενέγκοι, εἰ πρὸς τὸν Θεὸν ἐνατενίζοι, ὃς ἐν πᾶσι τοῖς δεινοῖς καὶ ὡρισμένον τίθησι τέρμα καὶ μέτρον πανσόφως καὶ παναγάθως; Γ'. « Ἀλλ' ὑπομείναιμι ἂν πάντα τἄλλα, εἰ τοῦτο μόνον ἢ ἐκεῖνο ἀπείη. » Τοῦτο οὐδὲν ἄλλο δείκνυσιν, ἢ φιλαυτίαν μεγάλην. Οὐκ οἶδεν

Digitized by Google

Ἆρα κρεῖττόν σου ὁ παντογνώστης Θεὸς, τί τὸ μᾶλλον λυσιτελοῦν, ἢ ἀνεκτόν σοι; Τὸ δεινὸν, ὅπερ ὑφίστασαι, κατὰ παραχώρησιν, ἢ κατ' εὐδοκίαν συμβαίνει, πρὸς δοκιμὴν, ἢ πρὸς τιμωρίαν· οὐ χρὴ ἄρα τῇ πατρικῇ τοῦ Θεοῦ βουλῇ πείθεσθαι; Δ'. «Ἀλλὰ διὰ τί πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων ἀθλιώτατος καὶ κακοδαιμονέστατος μόνος ἐγώ; Διατὶ ἄλλοι οὐδαμῶς ἐμοῦ κρείττους εὐδαιμονοῦσι μᾶλλον ἐμοῦ;» Πόσον ἄδικος καὶ μωρὸς καὶ ἀντιχριστιανικός ἐστιν ὁ λόγος οὗτος, οὐδείς ἐστιν, ὃς οὐκ αὐτίκα κατανοεῖ. Πόθεν γὰρ, ἢ πῶς οἶσθα, ὅτι πάντων κακοδαιμονέστατος εἶ σύ; Πόθεν τὰ τῶν ἄλλων οὕτως ἀκριβῶς ἔγνως; κἂν δ' ἀληθῶς οὕτως ἔχῃ, δίκαιος εἶ ἄρα θυμοῦσθαι καὶ χαλεπαίνειν ἐπὶ τούτῳ; ἢ οὐκ οἶσθα ἡλίκων ἀγαθῶν αἴτια γίνονται τὰ δεινὰ τῷ μετὰ πραότητος καὶ ὑπομονῆς καὶ πεποιθήσεως εἰς τὸν Θεὸν ἀνεχομένῳ τούτων; Ταῦτα γὰρ τὴν μὲν καρδίαν ἀπὸ τῶν φθαρτῶν καὶ προσκαίρων ἀποσπῶσι, τὴν δὲ ἀρετὴν καθαίρουσι, καὶ αὔξουσι, τὴν δὲ πίστιν καὶ ἀγάπην εἰς τὸν Θεὸν κρατύνουσιν. Οὐ μέγα ὄφελος ταῦτα; Διὰ τοῦτο μακαρίζει ὁ Σωτὴρ ἡμῶν τοὺς μεθ' ὑπομονῆς τὰ δεινὰ ὑποφέροντας. «Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν κ. λ.» (α).

§. 110. *Ἀλεξήματα κατὰ τῆς ὀξυθυμίας.*

Τὸ πρώτιστον καὶ ἄριστον. Ἀπότρεπε, ὅσον οἷόν τε, ἀπὸ τοῦ δεινοῦ τὴν προσοχὴν, μέχρις ἂν ἡ ταραχὴ παρέλθῃ καὶ τὸ τῆς θλίψεως λωφήσῃ· πρόσχες δέ τινι τῶν ἀγαθῶν, ἢ τῇ τοῦ Θεοῦ προνοίᾳ τῇ τὰ πάντα πανσόφως διεπούσῃ καὶ ἐκ τῶν δεινῶν ἀγαθὰ τοῖς πεποιθόσιν ἐπ'

(α) Ματθ. Ε'. 11.

Digitized by Google

αὐτὴν ποριζούσῃ. Β'. Ἐπίστησον εἰς τὸ τέλος, πρὸς ὃ ἡ Πρόνοια εὐδοκεῖ ἢ συγχωρεῖ πειραθῆναί σε τοῦ δεινοῦ. « Τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ; Εἰ παιδείαν ὑποφέρετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί.» (α) Γ'. Γύμναζε σεαυτὸν θεωρεῖν πᾶν συνάντημα ὡς τοῦ Θεοῦ εὐεργέτημα, καὶ ὡς τεκμήριον τῆς πατρικῆς αὐτοῦ προνοίας καὶ ἀγάπης. Σέβου πάντα τὰ κρίματα τοῦ Θεοῦ. Εὐχαρίστει αὐτῷ ἀνατιθεὶς πᾶσαν σεαυτοῦ τὴν ἐλπίδα ἐπ' αὐτόν. Μὴ θέλε νομοθετῆσαι αὐτῷ, τίσι καὶ ἐπὶ πόσον δοκιμάσει τὴν ὑπομονήν σου, ἀλλ' ἐπιμελοῦ μόνον, ὅπως δόκιμος παρ' αὐτῷ γένῃ ὡς υἱός. Δ'. Ἀναλογίζου συνεχῶς τὰ ἐκ τῆς ὀξυθυμίας καὶ ὀργιλότητος κακὰ, καὶ τὴν μωρίαν αὐτῆς, ἀλλὰ καὶ τοὺς ἡδίστους καρποὺς τῆς ὑπομονῆς τῆς ἐκ τῆς εἰς τὸν Θεὸν πεποιθήσεως, οὓς καθορᾷ τις ἐν αὐτῷ τῷ Χριστῷ, «ὃς ἐγένετο ὑπήκοος τῷ πατρὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρὸς » (β)· ἀλλὰ καὶ ἐν πᾶσι τοῖς ἁγίοις αὐτοῦ. Ε'. Μηδὲν ἐν τῷ τοῦ θυμοῦ πυρετῷ δεδόχθω σοι πρὸς ἀπαλλαγὴν τοῦ δεινοῦ, ἀλλ' ἀνάβαλλε, μέχρις ἂν ὁ νοῦς εἰς ἡσυχίαν καὶ γαλήνην καταστῇ· ἄλλως γὰρ ἔχων, οὔτε τὸ δίκαιον οὔτε τὸ ὀρθὸν διαγνώσεται.

Ὁ τούτοις οὖν ἐπιμελῶς χρώμενος, καὶ τῷ λόγῳ μετριάζειν τὰς παθήσεις ἀσκήσας, ῥᾳδίως τῶν ἐκ τῆς

(α) Ἑβρ. ιβ'. 7. (β) Φιλιπ. β'. 8—12.

Digitized by Google

ὀργιλότητος κακῶν κρειττων φανεῖται. Οὐκ ἀπηγόρευται δὲ ὅλως ἡ ἐπὶ ταῖς συμφοραῖς μετρία λύπη καὶ ἀδημονία, ἀλλὰ τὸ μὴ ἀφιέναι αὐτὴν ἐπικρατεῖν οὕτως, ὥστε καὶ τὴν ὑγίειαν βλάπτειν, καὶ εἰς ἔργα βίαια καὶ ἄδικα παραφέρειν, καὶ τὴν σπουδαίων καθηκόντων ἐκπλήρωσιν κωλύειν. Οὐδ' ὅταν δὲ τὰ μὲν δεινὰ μεγάλα καὶ βαρέα ἐπέρχωνται, αὐτὸς δέ τις συγγινώσκῃ ἑαυτῷ μηδενὸς τούτων αἴτιος ὢν, οὐδὲ τότε, φημὶ, κωλύεται ἡ μετρία λύπη καὶ ἀδημονία. Οὕτως ἐλυπήθη καὶ ὁ Σωτὴρ ἡμῶν ἐπὶ τῷ θανάτῳ, καὶ πεσὼν ἐπὶ πρόσωπον αὐτοῦ ἐδεήθη τοῦ πατρὸς, εἰ δυνατὸν, παρελθεῖν ἀπ' αὐτοῦ τὸ ποτήριον, « πλὴν οὐχ ὡς ἐγὼ θέλω, προσέθηκεν, ἀλλ' ὡς σὺ, πάτερ! » (α) καὶ ἐπὶ τοῦ σταυροῦ κρεμάμενος ἔκραξε, « Θεέ μου, Θεέ μου! ἵνα τί με ἐγκατέλιπες; » Ἐκ τούτων συνάγεται, ὅτι ἔξεστιν ἐν τοῖς δεινοῖς λυπηθῆναι, ἐὰν ἡ ἠθικὴ διαμένῃ εὐθύτης, καὶ ἀναφέρειν εἰς τὸν Θεὸν, ὡς πατέρα πάντων, τὴν ἀνάγκην, καὶ ταπεινῶς δεηθῆναι ἀφελεῖν ἀφ' ἡμῶν τὸ δεινὸν, ἢ μετριάσαι κατὰ τὴν αὐτοῦ σοφίαν καὶ ἀγαθότητα καὶ δικαιοσύνην. Πάντα γὰρ ταῦτα προσήκει τοῖς υἱοῖς, καὶ τὴν πρὸς αὐτὸν ἀγάπην δείκνυσι.

§. 111. *Περὶ ὀργῆς καὶ ἐκδικήσεως ἐκτενέστερον.*

Ὁ θυμὸς, μὴ κολαζόμενος ὑπὸ τοῦ λόγου, ῥᾳδίως εἰς ὀργὴν μεταβάλλεται.

Ἔστι δὲ ὀργὴ πάθος ψυχῆς μετ' ἀχθηδόνος καὶ ὁρμῆς ἰσχυρᾶς πρὸς ἀντίδοσιν ἐγειρόμενον κατὰ τῶν δοκούντων ἠδικηκέναι ἡμᾶς τι, ἢ οὓς ἡμεῖς φιλοῦμεν· καὶ ὁ μὲν θυμὸς εἰς τὰ δεινὰ τείνει, ἡ δὲ ὀργὴ εἰς τὰ πρόσωπα, ἐξ ὧν τὰ δεινά· σύνεστι δὲ πολλάκις τῇ δυσμενείᾳ καὶ τῇ ἀρᾷ,

(α) Ματθ. κς'. 38.

Digitized by Google

ὅτε δὴ καὶ ἀγανάκτησις καλεῖται· εἰ δὲ καὶ ἡ ἐπιθυμία τοῦ κακῶς ποιῆσαι τὸν δοκοῦντα ἠδικηκέναι πρόσεστι, ἐκδίκησις τότε γίνεται.

Καθόλου μὲν οὖν ἡ ὀργὴ ἀθέμιτόν τι καὶ ἁμαρτία· μάλιστα δὲ, ἅ, ὅταν κατὰ ἀθώων τε καὶ ὅλως ἀναιτίων ἐγείρηται· β', ὅταν τὰ τῆς φιλανθρωπίας καὶ τῆς δικαιοσύνης βρια ὑπεράλληται· γ', ὅταν ἐπὶ πολὺν χρόνον καὶ ἄμετρος καὶ σκληρὰ ἐν ταῖς ἐκδηλώσεσιν αὐτῆς διαμένῃ, καὶ μίσει ἀγρίῳ μιγνύηται, καὶ τὴν ἐπιθυμίαν τῆς ἀμύνης σφοδρὰν διεγείρῃ, καὶ εἰς τὸ κακῶς ποιῆσαι διὰ παντὸς παρασκευάζηται. Τοιαύτη οὖν ὀργὴ καὶ φαυλοτέρα φαίνεται, καὶ εὐθύνην ἐπάγει μείζονα· φαυλοτάτη δὲ, ὅταν μὴ πρότερον παύηται, πρὶν ἂν τὸν μισούμενον κακῶς ἴδῃ παθόντα· ὅταν δὲ καὶ εἰς αἱματοχυσίαν προβῇ, καὶ τῇ θλίψει καὶ τῇ ζημίᾳ τοῦ μισουμένου ἐφήδηται, οὐκ ἔτι ἁπλῶς ὀργή ἐστιν, ἀλλὰ μανία, ἀλλὰ λύσσα θηριώδης· οὐδὲ γὰρ τὸ θηρίον μαινόμενον περαιτέρω προβαίνει. Ἐντεῦθεν δὲ δῆλον, ὡς ἡ ὀργὴ ἐπιταθεῖσά τε καὶ αὐξανομένη, λίαν ἐστὶ θηριῶδες καὶ ταπεινωτικὸν τῆς τοῦ ἀνθρώπου ἀξίας, μᾶλλον δὲ μανία ἄντικρυς μικρὰ, καὶ τῷ χρόνῳ μόνῳ τῆς ὄντως μανίας διαφέρουσα, εἰς ἣν παρεκτρέπεταί τις, μὴ κολάζων τῷ λόγῳ τὰ ἑαυτοῦ πάθη. Διὰ τοῦτο δὲ μάλιστα καὶ ἁμαρτία φύσει μεγάλη καὶ βαρεῖα λογίζεται.

§. 112. *Περὶ τῶν ἐκ τῆς ὀργῆς κακῶν.*

Εἴτις τὰ ἐκ τῆς ὀργῆς κακὰ ἀναλογίσαιτο, ῥᾳδίως καὶ τὴν ἐπ' αὐτῇ ἠθικὴν εὐθύνην κατανοήσει. Τούτων δὲ κυριώτατά εἰσι τὰ ἑπόμενα· ἅ, τὸ πολλάκις χρῆσθαι τῷ πλησίον μετὰ πολλῆς ὠμότητος καὶ ἀδικίας· β', ὀνειδισμοὶ καὶ ἀραὶ καὶ ὕβρεις καὶ βλασφημίαι, βα-

Digitized by Google

ναύσω; τε καὶ ἀγρίως κατὰ τοῦ πλησίον ἐκτοξευόμεναι· γ', ἔχθραι καὶ μίση θανατηφόρα· δ', τραύματα, ἀκρωτηριασμοὶ, φόνοι βίαιοι κ. λ. Πόσον δὲ καὶ τὰ τῆς φιλανθρωπίας καθήκοντα ὑπ' αὐτῆς ὀλιγωροῦνται, καὶ ἡ ὑγίεια ὑποσκάπτεται καὶ καταστρέφεται, καὶ μάλιστα ἐπειδὰν ἕξις γένηται, οὐδεὶς, ὅστις ἀγνοεῖ. Ὅσῳ γάρ τις μᾶλλον ἐνδίδωσι τῇ ὀργῇ, καὶ αὔξεσθαι αὐτὴν ἐν σφοδραῖς ἐκρήξεσιν ἀφίησι, τοσούτῳ καὶ πάντα τὰ νεῦρα εὐερεθιστότερα εἰς τὰς ἐκδηλώσεις αὐτῆς γίνονται, καὶ οἱ κλονισμοὶ αὐτῶν βιαιότεροι. Οὕτως ὑπεδήλωσε καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς βαθμοὺς διαφόρους τῆς ἁμαρτητικότητος τῆς ὀργῆς ἐν οἷς λέγει, ὅτι καὶ ἐνώπιον τοῦ βήματος αὐτοῦ διαφόρων βαθμῶν ἡ ὀργὴ καὶ ἡ ἐπ' αὐτῇ εὐθύνη λογίζεται· « Ἠκούσατέ φητιν, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ, ὃς δ' ἂν εἴπῃ μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός « (α). Θεωροῦνται δὲ ἐκ τοῦ μεγέθους τῆς πικρίας καὶ τοῦ μίσους τῶν ἐν τῇ καρδίᾳ διὰ τὴν ὀργὴν τρεφομένων, καὶ ἐκ τοῦ πλήθους τῶν κακῶν τῶν τῇ ὀργῇ παρεπομένων. Ὅταν δὲ εἰς τὸν ὕπατον βαθμὸν ὑψωθῇ κατά τε τὴν ὁρμὴν καὶ τὴν φαυλότητα, ἴση καὶ τῷ φόνῳ λογίζεται κατὰ τὴν εὐθύνην, ὡς ὁ Σωτὴρ ἡμῶν ἀπεφήνατο· « Ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει » (β), ἤτοι τῇ κρειττονι καὶ θείᾳ,

(α) Ματθ. ε. 21. 22. (β) Ματθ. αὐτόθι.

Digitized by Google

πάντων δὲ μάλιστα ὁ ἐν τῇ ὀργῇ λοιδορῶν καὶ ὀνειδίζων τὸν ἀδελφὸν αὐτοῦ, ἔτι δὲ καὶ ὁ αἰκίζων, καὶ αὐστηρῶς καὶ πικρῶς καταχρώμενος. Οὕτω φησὶ καὶ ὁ ἠγαπημένος τοῦ Κυρίου μαθητής· « Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστὶ (εἰ καὶ μὴ ἔργῳ, ἀλλά γε τῇ προαιρέσει) καὶ οἴδατε, ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν ἑαυτῷ μένουσαν » (α).

§. 113. *Περὶ τῶν κενῶν προφάσεων τῶν ὀργιζομένων.*

Ἐμοί, φησί τις, ὡς κράσεως θερμῆς εἰληχότι ἐκ φύσεως, οὐχ οἷόν τε μὴ ἐξάπτεσθαι εἰς θυμὸν καὶ ὀργὴν, καὶ χεῖρα ἐπενεγκεῖν πολλάκις καὶ τοῖς μηδὲν ἡμαρτηκόσι μοι.

Ἀπ. Ἡ ἰδιοσυγκρασία τυγχάνει ἴσως χρησίμη εἰς ἀπολογίαν ἐνίοτε καὶ ἐπὶ μικροῖς τισιν ἐνώπιον τῶν ἀνθρώπων, ἀλλ' ἄρα γε ἀρκεῖ εἰς δικαίωσιν ἡμῶν καὶ ἐνώπιον τοῦ Θεοῦ καὶ ἐπὶ μεγάλοις ἁμαρτήμασιν; Ἢ οὐκ ὀφείλει πᾶς τις, ὅσῳ θερμοτέρας κράσεως σύνοιδεν ἑαυτῷ εἰληχὼς, τοσούτῳ καὶ μᾶλλον προσέχειν, ἵνα κρατῇ τῆς ὀργῆς; Διὰ τοῦτο ἐρρέθη τῷ Κάϊν· « Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ (τοῦ πάθους) καὶ σὺ ἄρξεις αὐτοῦ. » (β)

Πάλιν ἀδύνατόν, φησι, κρατῆσαι τοῦ θυμοῦ κατὰ κράτος· πολλάκις γὰρ καὶ πρὸ τοῦ συνιέναι με αὐτὸν ἐγειρόμενον, καὶ παρὰ γνώμην ἐγείρεται ἐρεθισθείς. Ἀλλὰ καὶ ἀναγκαῖον, ἔστιν ὅτε, τὸ θυμοῦσθαι καὶ ὀργίζεσθαι· ποῦ γὰρ οὐκ ἂν προέβησαν ἀταξίας τε καὶ ταραχῆς οἱ κακόβουλοι καὶ οἱ κακοῦργοι, εἰ μή τις καὶ τὴν ὀργὴν καὶ τὴν αὐστηρότητα ἀντέταττεν αὐτοῖς;

Ἀπ. Παρατηρητέον δὲ πρὸ πάντων τὸν τοιαῦτα λέγοντα· πολλάκις μὲν γὰρ ὀρθῶς ἂν ἔχοι ταῦτα λέγειν, πολ-

(α) Ἰωαν. Α'. Ἐπιστολ. γ'. 15. (β) Γένεσ. δ'. 7.

λάκις δὲ καὶ σκῆψις ἁπλῆ τῆς ἔχθρας καὶ τοῦ μίσους ἂν εἴη. Εἰ γὰρ παρὰ χρηστῶν ἀνθρώπων ταῦτα λέγεται, καὶ ἐπὶ ταῖς ἀρχαῖς τῆς ὀργῆς λυπουμένων, διδακτέον τοὺς τοιούτους, καὶ παραμυθητέον, ὅσον ἂν δοκῇ ἀναγκαῖον, λέγοντας μὴ οἷόν τε εἶναι ἐν τῷ παρόντι βίῳ, ἐν ᾧ τοσαῦτα ὑπάρχει τὰ λυπηρὰ, εἰς παντελῆ ἀοργησίαν ἀφικέσθαι, δεῖ δὲ μόνον τὴν διαμονὴν καὶ αὔξησιν τῆς ὀργῆς κωλύειν καὶ περιστέλλειν. Εἰ δέ τινες μοχθηροὶ ὄντες, ταῦτα λέγουσιν, ἵνα μόνον τὴν ἑαυτῶν πικρίαν καὶ δυσμένειαν καλλωπίζωσι, πρὸς τοὺς τοιούτους ἄλλως χρὴ λέγειν. Πρὸς μὲν ἀνθρώπους κακούργους καὶ ἀμελεῖς καὶ ἀπροσέκτους χρὴ ἐνίοτε ὀργῇ καὶ αὐστηρότητι χρῆσθαι, ἀλλὰ πρὸς μόνους τοὺς χρήζοντας καὶ ἀξίους ταύτης, ἀλλὰ καὶ πρὸς αὐτοὺς μὴ ὑπεράλλεσθαι τοὺς ὅρους τῆς δικαιοσύνης καὶ φιλαδελφίας, καὶ ἐν γένει τοὺς τῆς ἀνθρωπότητος, καὶ μίσους κατὰ τοῦ προσώπου καθαρεύειν, καὶ ζηλοῦν ἀληθῶς ὑπὲρ τοῦ ἀγαθοῦ, ἢ ὀργίζεσθαι ἐναντίον τοῦ κακοῦ. Οὕτω γὰρ οὐ μόνον οὐκ ἀπόβλητον οὐδὲ μεμπτὸν ἡ αὐστηρότης, ἀλλὰ καὶ παντὸς τοῦ τὴν τάξιν καὶ τὴν ἀρετὴν τιμῶντος καθῆκον. Τῆς δὲ μετὰ μίσους καὶ ἐκδικήσεως κατὰ τοῦ προσώπου ὀργῆς τί ἂν ὄφελος εἴη; Μὴ δὶ αὐτῆς ἰσχύσωμεν ἢ κακόν τι ἀφ' ἡμῶν ἀποτρέψαι, ἢ τοὺς μοχθηροὺς εἰς μείζονα προσοχὴν καὶ ἐπιμέλειαν διεγεῖραι; Οὐδαμῶς· ἡ γὰρ ὀργὴ ἀντίστασιν μόνον συνήθως φέρει, ἢ, ὅπου μὴ δυνατὸν ἀντιστῆναι, καταφρόνησιν μυστικήν.

§. 114. *Αλεξήματα κατὰ τῆς ὀργῆς.*

Παρὰ τοῖς ἀρχαίοις πολλὰ τοιαῦτα εὑρίσκονται, κυριώτερα δὲ τούτων εἰσί. Α'. Τὰς πηγὰς τῆς ὀργῆς ἐ-

Digitized by Google

πιμελητέον ἀποφράττειν πρὸ πάντων καὶ ἀποκόπτειν. Τοιαῦται δ' εἰσὶν ἡ οἴησις μεγάλη περὶ ἡμῶν αὐτῶν, ἐξ ἧς τὸ εὐόργητον, ἡ ἄμετρος πλεονεξία, ἤ τι τοιοῦτο. Τούτων γὰρ μὴ ἱκανοποιουμένων, αὐτίκα τὸ τοῦ θυμοῦ καὶ τῆς ὀργῆς καὶ ἐκδικήσεως πῦρ ἀναφλέγεται. Β'. Κωλύειν καὶ ἀναστέλλειν εὐθὺς ἐν ἀρχῇ τὴν ἐκδήλωσιν τοῦ θυμοῦ. Ἐὰν γάρ τις κατισχύσαι αὐτὸν ἐάσῃ κατ' ἀρχὰς, χαλεπῶς ὕστερον, καὶ βουλόμενος, καὶ ἐπιμελούμενος, ἐγκρατὴς ἂν αὐτοῦ γένοιτο. Γ'. Μηδενὶ ἐπιχειρεῖν ὀργιζόμενον· « Ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται » (α). Δ'. Μνημονεύειν καὶ παραβάλλειν συνεχῶς τὰ ἑαυτοῦ πρὸς τὰ τῶν ἄλλων πλημμελήματα. Ἆρ' οὐχί ποτε καὶ ἡμεῖς τοιαῦτα τυγχάνομεν κατειργασμένοι, ἐφ' οἷς νῦν τοῖς ἄλλοις χαλεπαίνομεν; « Ἀλλήλων, φησὶν ὁ θεῖος Παῦλος, τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ· εἰ γὰρ δοκεῖ τις εἶναί τι, μηδὲν ὢν, ἑαυτὸν φρενατᾷ » (β). Ε'. Ὑπολαμβάνειν καὶ ἑρμηνεύειν τὰ τῶν πέλας πρὸς τὸ ἀγαθὸν, ὅσα οὕτως ἑρμηνευθῆναι κατὰ τοὺς κανόνας τῆς κατὰ Χριστὸν φρονήσεως καὶ φιλαδελφίας ἐνδέχεται (γ). ς'. Συνεχῶς ἀναλογίζεσθαι τὸν νοῦν τῆς καθ' ἡμέραν παρ' ἡμῶν προφερομένης κυριακῆς προσευχῆς, καὶ τὴν ἐν αὐτῇ οἱονεὶ συνθήκην μετὰ τοῦ Θεοῦ· » Ἄφες, λέγεις, ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. » (δ) Ποίᾳ γὰρ ἂν συνειδήσει οὕτως εὔξαιο, ἐν τῇ καρδίᾳ ἔχων τὸ μῖσος καὶ τὴν ἐκδίκησιν κατὰ τοῦ ἀδελφοῦ; Μέμνησο δὲ καὶ τῆς τοῦ Χριστοῦ ἐπαγγελίας. « Ἐὰν γάρ, φησιν, ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει

(α) Ἰακώβ. ά. 20. Ἰδὲ καὶ Σενέκ. περὶ ὀργῆς, βιβλ. γ'. κφ. 12.
(β) Γαλ. ς'. 2—4.
(γ) Ἰδὲ Σενέκ. περὶ ὀργῆς, βιβλ. β'. κφ. 24. (δ) Ματθ. ς'. 12.

Digitized by Google

καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.» (α) Ζ'. Ἀναμιμνήσκεσθαι τῶν γενομένων τῷ ἐν τῷ εὐαγγελίῳ ἀσπλάγχνῳ δούλῳ, τῷ μὴ βουλομένῳ ἐλεῆσαι τὸν σύνδουλον αὐτοῦ (β), ἔτι δὲ καὶ τοῦ παραδείγματος τοῦ Ἰησοῦ, ὃς καὶ ἐπὶ τοῦ σταυροῦ κρεμάμενος, ὑπὲρ τῶν ἑαυτοῦ σταυρωτῶν ἐδέετο, λέγων· » Πάτερ! ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι.» (γ) Τί δ' εἰσὶν ἃ σὺ πάσχεις, πρὸς ἃ ἐκεῖνος ὑπὲρ ἡμῶν ἔπαθε; Κἀκεῖνος μὲν ἀθῶος καὶ ἀναμάρτητος, καὶ κύριος, καὶ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, σὺ δὲ ἆρα ἀθῶος ὅλως τυγχάνεις ἐφ' οἷς πάσχεις;

Περὶ ἀκηδίας.

§. 115. *Ὅρος αὐτῆς περιγραφικός.*

Ἡ ἀκηδία ἢ ὀκνηρία, οἷα ἐνταῦθα ἠθικῶς ἐκλαμβάνεται, ἀδράνειά τίς ἐστι περὶ τὴν ἐκτέλεσιν τῶν καθηκόντων, ἐξ ἀλόγου δειλίας ἀπὸ τῶν ἐν αὐτῇ πόνων τε καὶ δυσχερειῶν. Ἀντίκειται ἄρα τῇ ἀρετῇ, ὡς ἀνδρία καταφρονητικῇ πάντων τῶν τοιούτων πρὸς τὴν τοῦ ἀγαθοῦ κατόρθωσιν· ἐμπέφυκε δὲ μάλιστα τῷ τοῦ ἀνθρώπου αἰσθητικῷ, ὅπερ διώκει μὲν ἀεὶ τὴν εὐπάθειαν, ἐκκλίνει δὲ ἀπὸ πάσης κακοπαθείας καὶ πόνου, καὶ δύο τῶν ἑπομένων κακῶν αἰτία γίνεται, τοῦ μὲν, ἵνα μηδέποτέ τις καλῶς ὑπὲρ τοῦ ἀγαθοῦ διακέηται, ὡς ἐπιπόνου καὶ καρτερίας χρήζοντος· τοῦ δὲ, ἵνα, κἄν ποτε μὴ δύνηται ἀποφυγεῖν, αὐτίκα τε καὶ ῥᾳδίως ἀποτρέπηται ἀπὸ τοῦ ἔργου καὶ τοῦ κρατίστου, διὰ τὸ μετὰ

(α) Ματθ. ς'. 14. 15. (β) Ἴδε Ματθ. ιή. 23—35. (γ) Λουκ. κγ'. 34.

Digitized by Google

πόνου τινὸς καὶ δυσχερείας γίνεσθαι· ἀμφότερα δὲ ταῦτα βλαβερώτατα τυγχάνουσιν. Ἐπεὶ δ' ἅμα καὶ ὁρμή τις πρὸς ἐνέργειαν ἔνεστιν, ἣν οὐκ ἀεὶ καταστεῖλαι καὶ ἀποβαλεῖν ὅλως δύναται, ὀκνεῖ μὲν ἐπιχειρῆσαι τῷ ἀγαθῷ, ὡς πόνου δεσμένῳ, ἐπὶ δὲ τὰ φαῦλα ἄσμενος τρέπεται, ὡς εὐπάθειαν σωματικὴν παρέχοντα, καὶ ταῖς ἐπιθυμίαις τῆς σαρκὸς μᾶλλον ἁρμόττοντα, ἢ τῇ καθαρᾷ ἀρετῇ. Διὸ καὶ ὀρθῶς τινες ἀπεφήναντο, ὅτι μηδὲν ποιοῦντες, τὸ κακὸν ποιεῖν διδασκόμεθα. Οὐ γὰρ ἀπέχει μακρὰν τῆς φαυλότητος ἡ ὀκνηρία, ἀλλὰ καὶ λίαν συγγενὴς αὐτῇ. Ὑποθάλπεται δὲ ἐν τῷ ἀνθρώπῳ, τῷ καὶ ἄλλως ἐπ' αὐτὴν ῥέποντι, ὑπὸ τῶν ἑπομένων τούτων, οἷον· ἁ, ὑπὸ τῆς ἰδίας ἀσθενείας τε καὶ ὀργανικῆς δυσκινησίας τοῦ σώματος· β', ὑπὸ τῆς ἑκουσίου ναρκώσεως τοῦ πνεύματος· γ', ὑπὸ τῶν συχνῶν καὶ μακρῶν εὐθυμιῶν καὶ διαχύσεων· δ', ὑπὸ τῆς τῶν σωματικῶν καὶ τῶν ψυχικῶν δυνάμεων διηνεκοῦς καταναλώσεως περὶ τὰ μικροῦ ἄξια καὶ ἄχρηστα· ε, ὑπὸ τῆς ἐλλείψεως τῆς ἀναγκαίας γνώσεως τοῦ κατὰ τὴν ἀρετὴν ὠφελίμου τε καὶ ἀναγκαίου, καὶ τῆς ἀξίας αὐτῆς, ἔτι δὲ καὶ τοῦ ὑψηλοῦ σκοποῦ, εἰς ὃν ὁ ἄνθρωπος ὑπὸ τῆς ἀγαθότητος τοῦ Θεοῦ προωρίσθη· ς', ὑπὸ τῆς σφαλερᾶς γνώμης περὶ τῶν πόνων, οἷς ἡ ἀρετὴ καὶ ἡ πιστὴ τοῦ καθήκοντος ἐκπλήρωσις συνῆπται. Ὅσῳ οὖν μᾶλλον ἔνεστι ταῦτα τῷ ἀνθρώπῳ, καὶ οὐ φροντίζει, καίτοι δυνάμενος, ἀποβαλεῖν αὐτὰ, ὡς ἡδόμενος ἐπ' αὐτοῖς, τοσούτῳ μείζων καὶ ἡ εὐθύνη ἐπίκειται, καὶ ἀληθὴς ἁμαρτία ἡ ὀκνηρία τότε λογίζεται. Τούθ' ἕνεκα καὶ ἀκάρπῳ δένδρῳ ἐν ταῖς ἁγίαις Γραφαῖς ὁ ὀκνηρὸς ὅμοιος κρίνεται, ὅπερ ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται, καὶ καίεται (α). Καὶ Σολομῶν ἐν ταῖς Παροιμίαις

(α) Ματ. κέ. 19.

Digitized by Google

φησὶ περὶ αὐτοῦ· « Ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργὸς, χεῖρας δὲ ἀνδρείων ἐν ἐπιμελείᾳ » (α). Πολλὰ μὲν ἐπιθυμεῖ, πολλὰ δὲ καὶ προτίθεται ποιεῖν ὁ ὀκνηρὸς, ἀλλ' αἱ ἐπιθυμίαι αὐτοῦ εἰσιν ἀσθενεῖς, καὶ τὰ ἔργα ἀσύμφωνα τῇ προθέσει. Διὸ καὶ πολλὰ παραλείπει, ἅπερ ῥᾳδίως ποιεῖν ἠδύνατο, καὶ οὐδὲν τέλειον οὐδ' ἀκέραιον πράττει, ὅ δὴ καὶ πράττει.

§. 116. *Περὶ τῆς ἐπὶ τῇ ἀκηδίᾳ εὐθύνης.*

Τὴν ἐπὶ τῇ ἀκηδίᾳ εὐθύνην μεγάλην τε καὶ βαρεῖαν ἡγητέον, ἀ, ὅταν σπουδαῖα δι' αὐτὴν καθήκοντα ὀλιγωρῶνται, ἢ ἀμελῶς πράττωνται· β', ὅταν ἡ τοῦ βίου διόρθωσις καὶ ἡ σπουδὴ πρὸς τὴν ἀρετὴν, ἢ ὅλως παρορᾶται, ἢ καὶ μέχρι τῆς ἐσχάτης ὥρας ἀναβάλληται· γ', ὅταν ὁ ὀκνηρὸς δι' αὐταρέσκειαν τῶν παραινούντων καὶ ἐπὶ τὸ ἀγαθὸν προτρεπόντων καταφρονῇ, καὶ χλευάζῃ αὐτούς. Ἀντίκειται δ' ἀπ' εὐθείας ἡ ἀκηδία τῷ τοῦ ἀνθρώπου τελικῷ σκοπῷ, ὃς κεῖται μὲν ἄνωθί που εἰς ὕψος, ὁ δ' ὀκνηρὸς κάτω μένει ἀεί, μᾶλλον δὲ καὶ ὀπισθοδρομεῖ, ἀναισθήτως πρὸς πᾶν ἀγαθὸν καὶ γενναῖον ἔχων, καὶ ἐπὶ τὸ κτηνῶδες ὅλος κατὰ μικρὸν καταφερόμενος, καὶ οὐκ ἔτι οὐδ' ἀκούειν δύναταί τι τῶν πνευματικῶν καὶ θείων πραγμάτων· « Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ, μωρία γὰρ αὐτῷ ἐστι, καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται » (β). Ὅπερ δηλοῖ, ὅτι ἡ ἀκηδία λελησθότως φέρει εἰς ἀδιαφορίαν τελείαν πρὸς πάντα τὰ πνευματικὰ τῆς ἀνθρωπότητος συμφέροντα. Καὶ ἐντεῦθεν μάλιστα τὸ κακὸν αὐτῆς καταφαίνεται, ὡς ἀθεράπευτον ζημίαν τῷ ἀνθρώπῳ ἐμποιούσης. Οὕτω παρίστα-

(α) Παροιμ. ιγ'. 4. (β) Α'. Κορ. β'. 14.

Digitized by Google

ται ἐν τῇ Ἀποκαλύψει: « Οἶδά σού, φησι, τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς εἶ, οὔτε ζεστός· ὄφελον ψυχρὸς εἶης, ἢ ζεστός! Οὕτως ὅτι χλιαρὸς εἶ, καὶ οὔτε ψυχρὸς οὔτε ζεστὸς, μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός μου. » (α)

§. 117. *Προφάσεις τοῦ ὀκνηροῦ.*

Καὶ οἱ ὀκνηροὶ, ἵνα τὴν αἰσχύνην αὐτῶν καλύψωσι, προφασίζονται λέγοντες. Α', Ἡ τελεία ἀρετὴ ἀνέφικτον τῷ ἀνθρώπῳ, ὡς ὑπὸ τῆς ἁμαρτίας διαφθαρέντι· ἐμοὶ δὲ καὶ πλεῖστον δοκεῖ τῆς καθολικῆς ταύτης μεταδοθῆναι φθορᾶς. Β', Τὰ ἴδια ἔργα καὶ αἱ βιωτικαὶ μέριμναι οὐκ ἐπιτρέπουσι περὶ τὴν ἀρετὴν ἀσχολεῖσθαι, ἀφίημι δὲ τοῦτο τοῖς καιρὸν ἔχουσι. Γ', Ἐγὼ τὴν μετριότητα ἐν πᾶσιν ἀσπάζομαι, καὶ μέγας ἅγιος οὐ βούλομαι νομίζεσθαι.

Αἱ τοιαῦται σκήψεις ἀκριβέστερον ἐξεταζόμεναι, καὶ μάλιστα, ὅταν πρὸς τοὺς τὰ τοιαῦτα σκηπτομένους ἀποβλέψωμεν, οὐδὲν ἄλλο δηλοῦσιν, ἢ ἀποστροφὴν τελείαν κατὰ τῆς ἀρετῆς, καὶ ἄγνοιαν τῆς οὐσίας καὶ τῆς ἀνάγκης αὐτῆς. Τὸ δὲ ἀποστρέφεσθαι τὴν ἀρετήν ἐστι μὲν καὶ ἐκ τοῦ μὴ ὀρθῶς γινώσκειν περὶ τῆς οὐσίας καὶ περὶ τῆς ἀφύκτου ἀνάγκης αὐτῆς, ἔστι δὲ πολλάκις καὶ ἐκ νωθρότητος, καὶ ἐκ τῆς ἄγαν φιληδονίας, καὶ ἐξ οἰήσεως καὶ αὐταρεσκείας, ἔτι δὲ καὶ ἐκ τῆς πρὸς μόνα τὰ σωματικὰ καὶ ἐπίκηρα προσκολλήσεως. Καὶ τὸ μὲν πρῶτον, εἰ καὶ μηδὲν ἄλλο, ἀλλ' οὖν γε ἐξ εἰλικρινείας καὶ ἀδόλου συνειδήσεως γίγνεται· τὸ δὲ δεύτερον ἐκ διαστροφῆς τῆς θελήσεως, διὸ καὶ ἀδικαιολόγητον. Καὶ τῷ μὲν πρώτῳ ῥᾳδίως ἂν ὑγιεστέρα διδασκαλία ἐπαρκέσειε, τῷ δὲ δευτέρῳ οὐδεμία ἂν ἔτι διδασ-

(α) Ἀποκαλ. γ'. 15—16.

Digitized by Google

καλία λυσιτελὴς γένοιτο, ἀλλὰ λόγων τε καὶ ἐλέγχων δεῖται, καὶ δὴ αὐστηρῶν τε καὶ ὀξέως καθαπτομένων, εἴτε καὶ συμβαλεῖσθαι εἰς διόρθωσιν μέλλουσι.

§. 118. *Ἀλεξήματα κατὰ τῆς ἀκηδίας.*

Τὰ ἐκ τῆς ἀκηδίας ἐγείρειν τὰς νωθρὰς καὶ νυσταλέας ψυχὰς ἐπιτήδεια, καὶ εἰς μείζονα νύσσειν ἐνέργειαν, ἢ καὶ προφυλάττειν ἀπ' αὐτῆς, εἰσὶ, Α', τὸ τὰ ἀποκείμενα ἑκάστῳ μετὰ τὸν παρόντα βίον συνεχῶς τε καὶ σπουδαίως ἀναλογίζεσθαι· δυοῖν γὰρ θάτερον, ἢ μακαριότης, ἢ κόλασις αἰώνιος ἑκάστῳ ἀπόκειται. Β', Ἐνθυμεῖσθαι διηνεκῶς ά, τὸ τῶν ἀναγκαίων τῇ ἀρετῇ πόνων ὀλιγοχρόνιον· β', τὸ χωρὶς τῆς ἀρετῆς κενὸν καὶ οὐδὲν τῆς ἀνθρωπίνης ζωῆς· γ', τὸ μέγα τῆς ἀρετῆς ἀξίωμα· αὕτη γάρ ἐστιν ἡ ὄντως πρὸς τὸν Θεὸν ἐξομοίωσις, καὶ ἡ ἀληθὴς φανέρωσις τῆς ἐν τῇ ἀνθρωπίνῃ φύσει θείας εἰκόνος. Γ', Μηδέποτε ἐπιλανθάνεσθαι ά, ὅτι πανταχοῦ πανευμενῶς τε καὶ ἵλεως παρίσταται ἡμῖν ὁ Θεὸς, ὁρῶν πάντα τὸν πόνον ἡμῶν καὶ τὴν σπουδὴν, καὶ τῆς δεούσης ἀντιλήψεως ἐν ταῖς ἀσθενείαις ἡμῶν οὐκ ἀποστερῶν· β', ὅτι πάντα πόνον καὶ πᾶσαν σπουδὴν πρὸς τὴν ἀρετὴν πλουσίως τε καὶ θεοπρεπῶς ἀνταμείψει. Δ', Ἀποβλέπειν ἀεὶ εἰς τὸ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ πάντων αὐτοῦ τῶν ἁγίων παράδειγμα, καὶ τοῦτο ζηλοῦν καὶ μιμεῖσθαι, μεμνημένον, οἵους ἀγῶνας καὶ πόνους, καὶ ταλαιπωρίας ὑπὲρ τῆς ἀρετῆς ὑπέστησαν οὗτοι! Ἀλλὰ καὶ οἱ ὅλως σαρκικοὶ τῶν ἀνθρώπων, οἵους πολλάκις ὑφίστανται πόνους καὶ κινδύνους, ἵνα δὶ ὀλίγου βραχείας ἡδονῆς ἀπολαύσωσι, καί τοι οὐδὲν ἄλλο ἐξ αὐτῆς ἐπὶ τέλους μένει, ἢ ὅπερ Ἰωνάθαν τῷ τοῦ Σαοὺλ βραχέος

Digitized by Google

μέλιτος γευσαμένῳ ἐπεγένετο. Τούτων ἡ σπουδαία καὶ συνεχὴς χρῆσις οὐκ ἔστιν, ὅπως οὐ κατὰ μικρὸν τὴν δραστηριότητα καὶ τὸν ὑπὲρ τῆς κατορθώσεως τοῦ ἀγαθοῦ ζῆλον ἐξεγερεῖ.

Digitized by Google

ΤΗΣ

ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΗΘΙΚΗΣ

ΜΕΡΟΣ Β΄,

Τὰ κοινὰ πᾶσι καθήκοντα περιέχον.

§. 1. *Περὶ καθηκόντων ἐν γένει.*

Ὅσα παντὶ ἀνθρώπῳ, ὡς λογικῷ, ἐφ' ὅσον εἶναί τε καὶ μένειν τοιοῦτος βούλεται, ἐπιτελεῖν καθήκει, καὶ ὧν οὐκ ἄνευ τῆς ἀκριβοῦς ἐκτελέσεως εἴη ἂν τοιοῦτος, ταῦτα ἐν τούτῳ τῷ τῆς ἠθικῆς μέρει ἐκτενέστερον πραγματευόμεθα. Καθήκοντα δ' ἐν γένει, καθ' ἑαυτὰ θεωρούμενα, οὐδὲν ἄλλο εἰσίν, ἢ ἀπαιτήσεις τοῦ ἠθικοῦ νόμου, ὅπως ἐν τῇ κατὰ προαίρεσιν ἡμῶν ἐνεργείᾳ, καὶ ἐν τῇ χρήσει τῶν πραγμάτων, πρὸς ἃ οἰκείως πως ἢ σχετικῶς ἔχομεν, ὅρους τινὰς φυλάττωμεν. Εἰσὶ δὲ ταῦτα τρία μάλιστα· ἀ, ὁ Θεὸς, τὸ ὕψιστον πάντων τῶν ὄντων· β΄, ἡ ἐν ἡμῖν αὐτοῖς καὶ ἐν τῷ ὁμοφύλῳ ἀνθρωπίνῃ φύσις· γ΄, πάντα τὰ περὶ ἡμᾶς, ὅσα ἥττονα ἡμῶν εἰσι τῇ ἀξίᾳ καὶ τῇ τάξει. Πᾶσι γὰρ τούτοις οἰκείως ἔχομεν, καὶ πάντων μάλιστα τῷ Θεῷ, παρ' οὗ δεδώρηται ἡμῖν καὶ τὸ εἶναι, καὶ τὸ ζῆν, καὶ πάντα τὰ ἐν ἡμῖν χαρίσματα σωματικά τε καὶ πνευματικὰ, καὶ πάντα τὰ πρὸς τὴν συντήρησιν τοῦ ζῆν καὶ τοῦ εἶναι ἀναγκαῖα, ἔτι δὲ καὶ εἰς κοινωνίαν αὐτοῦ καὶ ἐξομοίωσιν πρὸς αὐτὸν, ὅσον λογικοῖς οὖσιν ἐφικτὸν,

Digitized by Google

κεκλήμεθα, καὶ αὐτὸς ἀεὶ ἐφ' ἡμᾶς ἐπιβλέπει, προνοῶν ὑπὲρ ἡμῶν, καὶ ἀγαπῶν ἡμᾶς, καὶ ἐλεῶν καὶ ἀγαθοποιεῖν μὴ διαλείπων. Εἶτα δὲ καὶ πρὸς πᾶν τὸ ὁμόφυλον ἡ ἡμετέρα σχέσις τε καὶ οἰκειότης μεγάλη τε τυγχάνει καὶ ἀναφαίρετος. Ἐγγύτατα γὰρ ἀλλήλων ὑπὸ τοῦ τῶν ὅλων Θεοῦ οἱ πάντες ἐτέθημεν, εἶτα δὲ καὶ πάντες ἐκ τοῦ Θεοῦ, καθάπερ καὶ ἡμεῖς, καὶ τῶν αὐτῶν ἠξιώθησαν χαρισμάτων, καὶ πρὸς τὸ αὐτὸ τέλος ἐκλήθησαν, καὶ τῆς αὐτῆς προνοίας καὶ τοῦ ἐλέους καὶ τῶν εὐεργεσιῶν μεταλαγχάνουσι, ὧν καὶ ἡμῶν ἕκαστος.

Τελευταῖον δὲ καὶ πρὸς τὰ ἄλλα τὰ περὶ ἡμᾶς, τὰ ἥττονα τῇ τάξει καὶ τῇ ἀξίᾳ, σχετικῶς μάλιστα ἔχομεν· πάντα γὰρ ταῦτα ἐδόθησαν ἡμῖν παρὰ τῆς τοῦ Θεοῦ ἀγαθότητος, τὰ μὲν εἰς τροφὴν, τὰ δὲ πρὸς ἱματισμὸν, τὰ δὲ πρὸς ἄλλην τινὰ χρῆσιν καὶ παραμυθίαν τοῦ ἐπὶ γῆς βίου ποικίλην τε καὶ ἡδίστην. Πάντα ἄρα ταῦτα ἀριδηλότατα τυγχάνουσι τεκμήρια τῆς ἐκείνου δυνάμεως καὶ σοφίας καὶ τῆς πρὸς ἡμᾶς ἀγαθότητος, καὶ ἐπιβλέπει ἐπ' αὐτὰ, καὶ προνοεῖ καὶ τούτων, ἵνα μηδέποτε τὸ ἡμῖν ἀναγκαῖον ἐκλίπῃ. Ἡ δὲ σχέσις αὕτη οὐ τῆς ἡμετέρας γνώμης καὶ προαιρέσεώς ἐστιν ἔργον, ἀλλὰ τῆς ὑψίστου βουλῆς τοῦ δημιουργοῦ, ὃς παναγάθως ηὐδόκησεν ἔχειν ἡμᾶς τὸ ζῆν καὶ τὸ εἶναι ἐν τούτοις, καὶ οὐδαμῶς ἄλλως. Διὸ καὶ θέλημα αὐτοῦ ἐστι τὸ οὕτως ἁρμόζεσθαι ἐν τῇ κατὰ προαίρεσιν ἡμῶν ἐνεργείᾳ, καὶ οὕτω διάγειν τὸν βίον, ὅπως τῇ σχέσει ταύτῃ προσήκει, ἵνα ἀδιάλυτος διαμένῃ.

§. 2. *Διασάφησις τῶν εἰρημένων.*

Ἐπειδὰν τὸ λογικὸν διαγνῷ τὴν πρὸς τὰ ἐκτὸς ἡμῶν σχέσιν, οἴκοθεν ὁρμώμενον ἐπιβλέπει τὴν ἐν τῇ κατὰ

Digitized by Google

προαίρεσιν ἡμῶν ἐνεργείᾳ καὶ τῇ τῶν πραγμάτων χρήσει διαγωγὴν πρὸς αὐτὰ, εἰ προσήκει ταύτῃ, ἢ διαλύει καὶ καταστρέφει αὐτὴν· κἂν εὑρίσκῃ ταύτην προσήκουσαν τῇ ἡμετέρᾳ πρὸς αὐτὰ σχέσει, ἀδεκάστως τὴν κρίσιν αὐτοῦ ἐξαγγέλλει, καὶ αὐστηρῶς ἐντέλλεται προσέχειν καὶ ὑπακούειν αὐτῇ. Παρίσταται δ' ἐνταῦθα τὸ λογικὸν οὐχ ὡς νομοθέτης κυρίως, κατὰ τὴν δόξαν τινῶν, ἀλλ ὡς κήρυξ τοῦ θείου νόμου, καὶ τοῦ καθήκοντος.

Ἐὰν μὲν οὖν τὸ λογικὸν ἀποφαίνηται, ὅτι ἡ διαγωγὴ ἡμῶν προσήκει τῇ πρὸς τὸ θεῖον ἡμετέρᾳ σχέσει, καὶ διὰ τοῦτο ἀπαιτῇ ταύτην παρ' ἡμῶν, καθῆκον τότε θετικὸν πρὸς τὸ θεῖον ἐκφράζει· ἐὰν δὲ ἐναντίαν τῇ σχέσει ταύτῃ κρίνῃ τὴν τοιαύτην ἡμῶν διαγωγὴν, καὶ διὰ τοῦτο ἀπαγορεύῃ, ἀποφατικὸν καθῆκον πρὸς τὸν Θεὸν ἐξαγγέλλει· οὕτω καὶ ἐν πᾶσι τοῖς ἄλλοις· ὥστε τὸ λογικὸν πανταχοῦ κήρυξ γίνεται τοῦ θείου νόμου καὶ τοῦ καθήκοντος, καὶ οὐχ ἁπλῶς κήρυξ ψυχρός τε καὶ ἀδιάφορος, ἀλλὰ τοὺς μὲν ὑπακούοντας ἀμείβει τῇ συνευδοκίᾳ καὶ τῇ τῆς ψυχῆς γαλήνῃ καὶ χαρᾷ, τοὺς δὲ τῆς αὐτοῦ ἐντολῆς καταφρονοῦντας ἀποδοκιμάζει, αὐστηρούς τε καὶ πικροὺς ἐλέγχους προφέρον αὐτοῖς· καὶ οὕτως ἀναγκάζεται πᾶς τις ἢ τῷ λόγῳ ὑπακούειν, ἢ τοὺς ἐλέγχους, πικροτέρους καὶ τοῦ θανάτου πολλάκις ὄντας, ἐφ' ἑαυτὸν ἐπισπᾶσθαι· Ἡ δὲ τοιαύτη ἐσωτερικὴ κατανάγκασίς ἐστι τὸ παρ' ἡμῶν καθῆκον λεγόμενον.

Digitized by Google

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῶν καθηκόντων ἡμῶν πρὸς τὸν Θεόν.

§. 3. *Ὅτι ὁ Θεός ἐστι τὸ σπουδαιότατον ἀντικείμενον οὐ μόνον τῆς ἡμετέρας γνώσεως, ἀλλὰ καὶ τοῦ βαθυτάτου ἡμῶν σεβασμοῦ καὶ τῆς λογικῆς λατρείας.*

Ἐν τῇ τῶν καθηκόντων ἐπιστημονικῇ πραγματείᾳ εὐλόγως τὰ πρὸς τὸν Θεὸν τάσσονται πρῶτα· ἡ γὰρ πρὸς τὸ ὕψιστον καὶ ἁγιώτατον τοῦτο Ὄν ἡμετέρα σχέσις, πασῶν τῶν ἄλλων ἐστὶν οἰκειοτάτη τε καὶ στενωτάτη καὶ ἁγιωτάτη. Αὐτός ἐστιν ἡ ἀρχικὴ πηγὴ, ἐξ ἧς πάντα ἀνέβλυσαν τὰ ὄντα ἐν τῷ παντὶ, καὶ πάντων ἐστὶ τὸ Α καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος· χωρὶς δ' αὐτοῦ, πανταχοῦ, ὅπου νῦν ἡ κτίσις ἐν ἀῤῥήτῳ καλλονῇ καὶ μεγαλοπρεπείᾳ φαίνεται ζῶσα καὶ κινουμένη, εἴη ἂν κενὸν καὶ μηδὲν, ζωὴ δὲ οὐδὲ κίνησις, οὐδὲ ὕπαρξις οὐδαμοῦ· ἐπ' αὐτὸν δὲ πᾶσα καὶ ὕπαρξις καὶ ζωὴ τοῦ ὅλου στηρίζεται, ἡ πολυτρόπως φαινομένη τε καὶ κινουμένη. Διὰ ταῦτα τοίνυν καὶ ὑπόθεσις τῆς ἡμετέρας γνώσεως πρωτίστη τε καὶ κρατίστη ἐστὶν ὁ Θεὸς, καὶ τῆς ἄκρας ἡμῶν εὐσεβείας τε καὶ λατρείας μοναδικὸν ἀντικείμενον. Τί γὰρ ἄλλο ἢ περιεργότερον, ἢ μᾶλλον ἄξιον γινώσκειν ἡμᾶς, ἢ τὸν ἐξ οὗ καὶ ἡμεῖς καὶ πάντα τὰ ὄντα τὸ εἶναι καὶ τὸ ζῆν ἔχομεν; ἢ τίνι ἄλλῳ τῶν ὄντων οὕτω στενῶς συνεχόμεθα, ὥσπερ τῷ Θεῷ; Ἐκ τούτου καὶ ἡ ἀκατάπαυστος τοῦ ἀνθρωπίνου πνεύματος σπουδὴ ἀνέκαθεν πρὸς τὴν τοιαύτην γνῶσιν, καὶ οὐδὲν ἄλλο οἱ ἀρχαῖοι

Digitized by Google

τοφοὶ οὕτω πάνυ ἐξευρεῖν ἐσπούδασαν, ὅσον τὴν πρώτην ταύτην ἀλήθειαν. Ἡ δὲ σπουδὴ αὕτη καθ' ἑαυτὴν ἀξιάγαστος, ὥσπερ τοὐναντίον ἡ ὀλιγωρία ταύτης αἶσχος καὶ ζημία μεγίστη τῷ ἀνθρώπῳ γίνεται. Οὕτω λέγει ἡ θεία φωνὴ ἐν Ἡσαΐᾳ· « Ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ, ὅτι κύριος ἐλάλησεν· υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν ». (α) Οὐκ ἀρκεῖ δὲ τῷ νοΐ γνῶναι ἁπλῶς, ὅτι ἔστι Θεὸς, ὕψιστος ποιητὴς πάντων ὁρατῶν τε καὶ ἀοράτων, ἀλλὰ καὶ ἐπὶ τὴν ἀκριβεστέραν τε καὶ τελειοτέραν αὐτοῦ γνῶσιν ἐπείγεται.

Ἐκ γὰρ τῶν ἀπείρων αὐτοῦ ποιημάτων τεκμαίρεται τὸ ἀπεριόριστον τῆς δυνάμεως, τῆς σοφίας, καὶ τῆς γνώσεως, τὸ ὑπερβάλλον τῆς ἀγαθότητος καὶ δικαιοσύνης καὶ ἁγιότητος αὐτοῦ, τὸ ἀσύγκριτον τῆς τελειότητος, τὸ πρὸς πάντα τὰ ποιήματα αὐτοῦ κηδεμονικόν τε καὶ ἀγαθοποιόν. Τούθ' ἕνεκα δικαίως ἡγησαίμεθα ἂν πρώτην ταύτην τῶν τοῦ λογικοῦ ἀπαιτήσεων, ἢ πρῶτον τῶν ἡμετέρων καθηκόντων, τὸ μὴ νεκρᾷ τινι καὶ ἐπιπολαίῳ γνώσει τοῦ ὑπερτάτου Ὄντος ἀρκεῖσθαι, ἀλλ' ἀεὶ τελειοτέραν τινὰ, ὅσον ἐνδέχεται, καὶ βασιμωτέραν καὶ ἐναργεστέραν κτᾶσθαι, καὶ κρατύνειν αὐτὴν ἔτι μᾶλλον πειρᾶσθαι· μέχρις ἂν εἰς μόνιμον διάθεσιν ἀποβῇ. Ὅσῳ γὰρ στερεωτέρα τε καὶ τελειοτέρα ἡ περὶ Θεοῦ γνῶσις ἡμῶν, καὶ ὅσῳ μᾶλλον ἐν τῇ ψυχῇ ἀνεπισκίαστός τε καὶ ἐναργὴς διαμένει, τοσούτῳ καὶ γονιμωτέρα γίνεται τῆς ὀφειλομένης παρ' ἡμῶν εὐσεβείας τε καὶ λατρείας πρὸς τὴν μεγαλωσύνην αὐτοῦ. Πῶς δ' ἂν τοῦτο ἐφι-

(α) Ἡσαΐ. α'. 12.

Digitized by Google

κτὸν ὑμῖν γένοιτο, ὅτε ἡ θεία Γραφὴ διαῤῥήδην λέγει· « Θεὸν οὐδεὶς ἑώρακε πώποτε· » (α) καὶ ὅτι « οἰκεῖ φῶς ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται » (β); Τοῦτο δὴ καὶ ῥηθήσεται.

§. 4. *Πῶς ἄν τις εἰς τελειοτέραν ἐπίγνωσιν τοῦ Θεοῦ ἀφίκοιτο.*

Τέσσαρά τινα τὰ πρὸς τοῦτο ἐπιτήδεια κρίνονται, οἷς ἔν τῳ, ὡς δεῖ, χρησαμένῳ ἐγγένοιτο σαφέστερόν τε καὶ τελειότερον ἐπιγνῶναι τὴν τοῦ Θεοῦ μεγαλωσύνην. Οἷον, ἀ, τὸ Πᾶν, οἷον φαίνεται, περιέργως τε καὶ ἐπισταμένως ἔν τε τῇ δημιουργίᾳ καὶ ἐν τῇ διαμονῇ αὐτοῦ θεωρούμενον· β', ὁ ἄνθρωπος ἔν τε τῇ νοερᾷ αὐτοῦ φύσει καὶ ἐν τῇ τοῦ σώματος κατασκευῇ· γ', ἡ ἐξ ἀποκαλύψεως διδασκαλία· δ', αἱ τῶν εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ πεφωτισμένων ἁγίων ἀνδρῶν διδασκαλίαι.

Καὶ πρῶτον, ἡλίκην ἡμῖν παρίστησι τὴν τοῦ Θεοῦ δύναμιν καὶ σοφίαν καὶ ἀγαθότητα ἡ τῆς μεγάλης κατασκευῆς τοῦ Παντὸς θέα, μετὰ λόγου καὶ σκέψεως θεωρουμένου! Οὔτε γὰρ ἀρχὴν οὔτε πέρας αὐτοῦ ὁρῶμεν, ἀλλ' οἷον ἄπειρον φαίνεται, καὶ εἰκὼν τοῦ ἀπείρου μεγαλοπρεπεστάτη. Οἵα δὲ τάξις καὶ ἁρμονία καὶ ῥυθμὸς πανταχοῦ ἀπὸ τοῦ μεγίστου μέχρι καὶ τοῦ ἐλαχίστου τῶν κτισμάτων! Διὰ τοῦτο ὁ μακάριος Παῦλος δικαιότατα λέγει, ὅτι « Ἀπὸ κτίσεως κόσμου τὰ ἀόρατα τοῦ Θεοῦ τοῖς ποιήμασι νοούμενα καθορᾶται, ὥστε καὶ ἀναπολόγητον εἶναι τὸν ἄνθρωπον, ἐὰν μὴ ἐν αὐτῷ τὴν Θεότητα καθορᾷ » (γ).

« Ὡς μέγας, ἐκφωνεῖ καὶ ὁ Βαρούχ, ὡς μέγας ὁ οἶκος τοῦ Θεοῦ! καὶ ἐπιμήκης ὁ τόπος τῆς κτίσεως

(α) Ἰωαν. ά. 18. (β) Α'. Τιμ. ς'. 16. (γ) Ῥωμ. ά. 20

Digitized by Google

αὐτοῦ! Μέγας καὶ οὐκ ἔχει τελευτὴν, ὑψηλὸς καὶ ἀμέτρητος! » Ἀλλ' οὐχ ἧττον τὰς τελειότητας ταύτας τοῦ Θεοῦ μαρτυρεῖ τρανώτατα καὶ ἡ διαμονὴ τοῦ Παντός. Οὐ γὰρ ἂν ἄνευ τῆς προνοίας αὐτοῦ εὕρισκον πάντα τὰ τοῦ Παντὸς συμπληρωτικὰ ὅ,τι ἂν ἀναγκαῖον ἦ εἰς τὸ εἶναι αὐτῶν, καὶ ἐνεργεῖν, ὅπερ ἐτάχθησαν ὑπὸ τοῦ ποιητοῦ, καὶ μηδὲν τούτων ὑφ' ἑτέρου ἐκκρούεσθαι, ἢ ἀφανίζεσθαι. Ἆρ' οὐχί τις ἐκ τῆς ἀδιαλείπτου καὶ συνεχοῦς ταύτης διαμονῆς τοῦ Παντὸς καὶ ἑκάστου τῶν αὐτοῦ μερῶν εὐλογώτατα τεκμαίρεται τὴν τοῦ Θεοῦ παντογνωσίαν, τὴν ἀπανταχοῦ παρουσίαν τε καὶ ἐνέργειαν; τὸ δὲ κυριώτατον, καὶ τὴν ἐπὶ πάντα τὰ ὄντα ἀκατονόμαστον αὐτοῦ ἀγαθότητα; Πάντως δήπου ἀμφότερα ταῦτα, ἥτε δημιουργία καὶ ἡ διαμονὴ τῶν ὄντων, μάρτυρές εἰσι διαπρύσιοι τῆς τοῦ Θεοῦ δόξης καὶ μεγαλωσύνης.

Οὐχ ἧττον δὲ μαρτυροῦσι ταῦτα, καὶ ἡ ἐν ἡμῖν αὐτοῖς λογικὴ οὐσία, καὶ ὁ τοῦ σώματος ἄριστος καὶ σκοπιμώτατος σχηματισμός. Οὐ γὰρ, εἰμὴ αὐτοὶ πνευματικοὶ εἴημεν ἐν σώματι ἐνειλημένοι, οἷόντ' ἂν εἴη τὴν τῆς πνευματικῆς οὐσίας ἔννοιαν ἔχειν ἡμᾶς, νῦν δὲ καὶ ὀλίγον ἐπιστῆσαι τὴν διάνοιαν ἀρκεῖ, ἵνα γνῶμεν, τί ἐστὶ λογικὴ οὐσία, καὶ ποῖαι δυνάμεις ἐν αὐτῇ κεῖνται, καὶ ἡλίκης ἀναπτύξεως δεκτικαί εἰσιν. Αὐτὸ δὲ τοῦτο καὶ ὁδηγὸς ἡμῖν γίνεται ἀσφαλὴς εἰς τὸ προσαναβῆναι καὶ ἐπὶ τὸ ὕψιστον Πνεῦμα, ἐξ οὗ πᾶσα νοεράτε καὶ λογικὴ οὐσία τὸ εἶναι ἔχει. Ἐκ γὰρ τῆς ἐν ἡμῖν πνευματικῆς οὐσίας λογικώτατα εἰκάζομεν καὶ τὴν τοῦ Θεοῦ πνευματικὴν φύσιν, τιθέμενοι ταύτην μὲν, ὑπερτάτην πασῶν καὶ ἀρχὴν καὶ αἰτίαν πάντων τῶν ὄντων, τὴν δ' ἡμετέραν κάτω που ὡς ἐκείνης ἀπεικόνισμα. Πῶς γὰρ τὸ ὕψιστον Ὄν καίτοι παντοδύναμόν τε καὶ πάνσοφον καὶ πανάγαθον,

Digitized by Google

εἰ μὴ ἦν αὐτὸ πνευματικῆς φύσεως, ἔδωκεν ἂν ἡμῖν ταύτην; Ἀπόλυτος ἄρα ἀλήθεια, ὅπερ ὁ Σωτὴρ ἡμῶν ἔφη· « Πνεῦμα ὁ Θεός » (a)· ὅμοιος ἡμῖν τῇ πνευματικῇ φύσει, μᾶλλον δὲ ἡμεῖς ὅμοιοι αὐτῷ ἐκτίσθημεν τῇ πνευματικῇ οὐσία. Ὅσῳ οὖν μᾶλλον ἐκμανθάνειν τὴν ἐν ἡμῖν λογικὴν οὐσίαν ἔν τε τοῖς χαρίσμασι καὶ ταῖς δυνάμεσιν αὐτῆς σπουδάζομεν, τοσούτῳ καὶ τῆς τοῦ Θεοῦ πνευματικῆς φύσεως τρανωτέραν καὶ τελειοτέραν ἔννοιαν λαβεῖν δυνάμεθα. Ὥσπερ καὶ τοὐναντίον, ὅσῳ ἔλαττον τὴν ἐν ἡμῖν αὐτοῖς λογικὴν οὐσίαν γινώσκειν πειρώμεθα, τοσούτῳ καὶ ἀμυδροτέραν ἔχομεν τῆς τοῦ Θεοῦ ἰδέαν, καὶ βουλόμενοι ἐννοῆσαι αὐτὴν, καταβιβάζομεν αὐτὸ τὸ πανύψιστον καὶ ἀκήρατον καὶ πανάγιον Ὂν εἰς τὴν τῶν ἐμπαθῶν καὶ ὅλως σαρκικῶν ἀνθρώπων τάξιν, ὡς φαίνεται ἐν τῇ παρ' Αἰγυπτίοις, καὶ Ἕλλησι καὶ Ῥωμαίοις ἀσεβεστάτῃ πολυθείᾳ.

§. 5. Πάντων δὲ κάλλιστά τε καὶ τρανώτατα ἐξηγοῦνται ἡμῖν τὴν τοῦ Θεοῦ πνευματικὴν φύσιν αἱ θεῖαι Γραφαὶ, καὶ μάλιστα αἱ τῆς Καινῆς Διαθήκης « Θεόν, φασιν, οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο » (b) Μόνος αὐτὸς πάντως ἠδύνατο γνωρίσαι ἡμῖν αὐτὸν, διότι « ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος » Τίνα δ' αὐτοῦ εἰκόνα ἔδειξεν ἡμῖν; Ὅταν, ἔφη, εἰκονικῶς βουλώμεθα παριστάναι τὸν Θεὸν, οὐκ ἄλλως, ἢ ὡς πατέρα εὐμενέστατον, πάνσοφον, πανάγαθον, δικαιότατόν τε καὶ ἁγιώτατον, χρὴ ἐννοεῖν, πατρικῶς περὶ πάντων τῶν ποιημάτων αὐτοῦ προνοοῦντα, καὶ πάντων ἀντιλαμβανόμενον, καὶ ἐπὶ πάντα ἐπιβλέποντα, καὶ κοσμοῦντα τὰ κρῖνα τοῦ ἀγροῦ, καὶ

(a) Ἰωάν. δ'. 24. (b) Ἰωαν. ά. 18.

Digitized by Google

παρέχοντα τροφὴν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ πᾶσαν τρίχα τῆς κεφαλῆς ἡμῶν γινώσκοντα, καὶ τοῖς ἀνθρώποις παναγάθως φανερωθέντα κ.λ. Εἰ δέ ποτε καὶ ὀνόματι ἐπικαλεῖσθαι αὐτὸν τὸν ἀκατονόμαστον βουλόμεθα, αὐτῷ μόνῳ τῷ τοῦ εὐμενεστάτου πατρὸς ὀνόματι χρῆσθαι δεῖ πρὸς αὐτὸν λέγοντας, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Οὐ γὰρ ἐπὶ τῷ δουλικῷ φόβῳ τε καὶ τρόμῳ τῶν ποιημάτων αὐτοῦ χαίρει, ἀλλὰ τῇ μετὰ χαρᾶς ἀγάπῃ καὶ πεποιθήσει τῇ εἰς αὐτὸν, καὶ τῇ εὐσεβείᾳ, ὡς προσήκει τοῖς υἱοῖς τὸν πατέρα σέβεσθαι. Οὐδὲ πρὸς τοὺς μὴ ὀρθῶς αὐτὸν γινώσκοντας, καὶ διὰ τοῦτο καταφρονοῦντας, οὐδὲ πρὸς αὐτούς, φησιν, ἀδυσωπήτως ἔχει, ἀλλ' ἀεὶ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, ἵνα τοὺς πάντας τῇ εὐποιίᾳ πρὸς ἑαυτὸν ἑλκύσῃ· καὶ αὐτὸν δὲ τὸν μονογενῆ υἱὸν αὐτοῦ παρέδωκεν ὑπὲρ ἡμῶν πάντων, ἐκπεσόντων ἀπ' αὐτοῦ τῇ ἁμαρτίᾳ, σωτῆρα καὶ λυτρωτὴν, καί τοι προγινώσκων, ὅτι ἀπηνῶς εἰς θάνατον κατακριθήσεται. Τίς ἂν οὖν μὴ σέβοιτο ἢ μὴ λατρεύοι καὶ προσκυνοῖ ἐν πνεύματι ταπεινώσεως καὶ ζωηρᾶς κατανύξεως τὸ ὑπεράγαθον καὶ πανάγιον, καὶ παντέλειον τοῦτο Ὄν; Τίς ἂν μὴ κάμπτοι γάνυ ἐν συντριβῇ καρδίας ἐνώπιον αὐτοῦ; ἢ τίς ἂν μὴ ἀγαπήσῃ ἐν ὅλῃ τῇ καρδίᾳ καὶ ἐν ὅλῃ τῇ διανοίᾳ αὐτὸν ὑπὲρ πάντα;

§. 6. Καὶ τῶν σοφῶν δὲ καὶ ἁγίων ἀνδρῶν σί λόγοι, εἰ καὶ μηδὲν καινότερον, ἢ μεῖζον περὶ τῆς τοῦ Θεοῦ φύσεως λέγοιεν, ἀλλά γε νουθετεῖν ἡμᾶς καὶ συνετίζειν δύνανται, πῶς ἂν ὀνησιμώτερον τοῖς εἰρημένοις χρῴμεθα, καὶ πρὸς τί ἕκαστον αὐτῶν συντελεῖ τῷ πρὸς ἐπίγνωσιν τοῦ ὄντως Θεοῦ χρωμένῳ. Τελείαν μὲν γὰρ καὶ πεπληρωμένην ἐπίγνωσιν τοῦ Θεοῦ, ὅσον ἂν ἐπιμεληθῶμεν, οὐκ ἄν ποτε ἐπὶ τῆς γῆς σχοίημεν, ἀλλὰ πᾶσα ἡμῶν ἡ

Digitized by Google

γνῶσίς ἐστι τε καὶ μένει μερική τις καὶ ὡρισμένη, ὥς φησιν ὁ θεῖος Ἀπόστολος « Ἄρτι βλέπομεν δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. Ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην » (α). Μέρος τι μόνον ἰδεῖν ἄρτι ἔχομεν τοῦ ἀχανεστάτου πελάγους, καὶ ὀλίγον τι προβῆναι περαιτέρω ἕτερος θατέρου τῶν ἐπ' αὐτὸ τὴν διάνοιαν τρεπόντων καὶ τοῖς εἰρημένοις χρωμένων δύναται. Ἀλλ' ἕκαστον τούτων ἴδιόν τι παρέχει τρανώτερον καὶ τελειότερον τοῦ ἑτέρου. Οἷον ἡ θέα τῆς τοῦ Παντὸς παραγωγῆς, διακοσμήσεως καὶ διαμονῆς δείκνυσι μὲν τρανῶς τὴν τοῦ Θεοῦ δύναμιν καὶ σοφίαν καὶ ἀγαθότητα, ἔτι δὲ καὶ τὴν παντογνωσίαν, καὶ τὴν ἁπανταχοῦ αὐτοῦ παρουσίαν, καὶ τὴν ἐπὶ παντὸς ἀγαθοποιὸν ἐνέργειαν, οὐχὶ δὲ καὶ τὸ καθαρῶς πνευματικὸν τῆς αὐτοῦ οὐσίας. Οἷον γὰρ ὁρᾶται τὸ Πᾶν ὑφ' ἡμῶν, οὐδὲν ἐν αὐτῷ καθαρῶς πνευματικὸν φαίνεται. Διὰ τοῦτο καὶ τῶν ἐθνῶν τὰ ἀρχαιότατα, ὅσα ὅπως δήποτε εἰς τὴν ἐπίγνωσιν τοῦ ὑψίστου ὄντος ἀφίκοντο, κατὰ ἄνθρωπον, μᾶλλον δὲ ὅλως ἀνθρωποπαθὲς αὐτὸ ἐνόμισαν εἶναι, καὶ τύποις τισὶ καὶ δωρήμασι καὶ θυσίαις θεραπευτέον εἶναι, ἐφ' ὅσον τὰς λοιπὰς τῆς θεογνωσίας πηγὰς ἠγνόουν. Οἷον οἱ μὲν Πέρσαι ἐν τῷ πυρὶ καὶ ἐν τῷ ἡλίῳ φανταζόμενοι αὐτὸ ἐλάτρευον· οἱ δὲ Αἰγύπτιοι ἐν τύπῳ τοῦ ἄρρενος καὶ τοῦ θήλεος, μέχρις οὗ καὶ εἰς τὴν ἀγροικοτάτην κατέπεσον πολυθείαν. Μόνη γὰρ ἡ διὰ τῆς καθαρᾶς φιλοσοφίας, ἢ διὰ τῆς θείας διδασκαλίας, ἢ καὶ δι' ἀμφοτέρων τούτων ἐπίγνωσις τῆς ἐν τῇ ἀνθρωπίνῃ φύσει πνευματικῆς οὐσίας καὶ εἰς τὸ τῆς θείας οὐσίας καθαρῶς πνευματικὸν ἀναγαγεῖν ἡμᾶς δύναται. Καὶ τούτων πά-

(α) δ, Κορ. ιγ'. 12.

Digitized by Google

λιν ἑκατέρα χωρὶς τῆς ἑτέρας οὐκ ἂν ἀποχρῶσαν παρέχοι τῆς τοιαύτης ἰδέας διατράνωσιν, ἀλλ' ἡνωμέναι καὶ ἀλλήλας ὑποστηρίζουσαι, ὀρθοτομοῦσι τὴν ἀλήθειαν, καὶ τὴν ταύτης ἑρμηνείαν εὐχερεστέραν καθιστᾶσι. Βεβαιοῖ δὲ ταῦτα μάλιστα τὸ τῶν Ἰουδαίων πρὸς τοὺς Ἕλληνας καὶ τοὺς Ῥωμαίους ἀντίθετον, ὧν οἱ μὲν πολλῶν τε καὶ ποικίλων ἀποκαλύψεων ἀξιωθέντες, τῶν ἐκ τῆς φιλοσοφίας γνώσεων ἐνδεῶς εἶχον· οἱ δὲ τούτων πλουτοῦντες, τοῦ θείου λόγου ἄμοιροι διετέλουν· διὸ καὶ πάνυ ἐλλιπὴς ἦν παρ' ἀμφοτέροις κατά τε τὸ βάσιμον καὶ ἐναργὲς καὶ τέλειον ἡ γνῶσις τῆς θείας οὐσίας, μέχρις οὗ καὶ ἐν αὐτοῖς συνῆλθον αἱ ἐξ ἀμφοτέρων τῶν πηγῶν γνώσεις. Ἐντεῦθεν οὖν ἀναντιῤῥήτως συνάγεται πρῶτον μὲν, ὅτι παντός ἐστι καθῆκον ἴδιον πάσαις ἐπιμελῶς χρῆσθαι ταῖς εἰρημέναις πηγαῖς, μηδεμιᾶς μετ' ἐλαφρίας καταφρονοῦντα, ἕως ἂν ἡ τοῦ Θεοῦ ἐπίγνωσις τὸ ἑδραῖόν τε καὶ ἐναργὲς καὶ τέλειον τοιοῦτο κτήσηται, ὥστε κρηπῖδα ἀσάλευτον τῆς εὐσεβείας τε καὶ λατρείας πρὸς τὸν Θεὸν εἶναι. Εἶτα δὲ κἀκεῖνο, ὅτι οἱ ψυχρῶς τε καὶ ἐπιπολαίως τοῖς εἰρημένοις χρώμενοι, ὥστε μηδὲν ἐξ αὐτῶν τῇ τοιαύτῃ ἐπιγνώσει προσγίνεσθαι, καὶ οἱ ὅλως ἀμελῶς πρὸς τὴν τοῦ Θεοῦ ἀληθῆ ἐπίγνωσιν ἔχοντες, ἢ τὸ ἐκ τῆς θείας ἀποκαλύψεως φῶς ἐξ ἀλαζονείας ἀποφεύγοντες, τοῦ πρωτίστου τούτου τῶν καθηκόντων ἁμαρτάνουσι. Πάσας οὖν σεβαστέον τε καὶ ἱερὰς νομιστέον· ὁ γὰρ μιᾶς τινος, ἢ καὶ πασῶν καταφρονῶν, ψυχρὸς καὶ ἀδιάφορος φαίνεται πρὸς τὸν Θεὸν, καὶ πρὸς τὴν εὐσέβειαν δὲ καὶ λατρείαν, ἣ παρ' ἡμῶν ὀφείλεται τῇ αὐτοῦ ἁγιότητι καὶ μεγαλωσύνῃ. Ὥσπερ δὲ ὅλως οὐδὲν δυνάμεθα σέβεσθαι καὶ τιμᾶν καὶ ἀγαπᾶν εἰλικρινῶς, ὡς λογικοὶ, εἰ μὴ γινώσκομεν αὐτὸ, καὶ ὀρθῶς ὡς ἀληθὲς καὶ ἀξιότιμον καὶ ἀγαπητὸν γινώσκομεν,

Digitized by Google

οὕτω καὶ τὸν Θεόν, ἵνα ἀληθῶς σεβώμεθα καὶ ἀγαπῶμεν καὶ λατρεύωμεν, ὡς προσήκει, ἀνάγκη πρότερον ἐπιγνῶναι αὐτὸν ὀρθῶς καὶ ὡς τοιοῦτον, οἷός ἐστι μόνος ἄξιος, διὰ τὴν ἄπειρον αὐτοῦ τελειότητα καὶ τὴν πρὸς ἡμᾶς πατρικὴν αὐτοῦ σχέσιν, ἀγαπᾶσθαι ὑπὲρ πάντα καὶ λατρεύεσθαι ὑφ' ἡμῶν.

§. 7. *Πῶς δὲ ἡ τοῦ Θεοῦ ἐπίγνωσις τῇ εἰς αὐτὸν ὀφειλομένῃ εὐσεβείᾳ τε καὶ λατρείᾳ συνέχεται;*

Πρὸς τὴν ἀληθῆ εὐσέβειαν καὶ τὴν λατρείαν τοῦ Θεοῦ ἀπαραίτητος κρίνεται ἀεὶ καὶ πανταχοῦ ἡ ἀληθὴς γνῶσις. Ὅπου δ' ἂν αὕτη ἐλλείπῃ, δύναται μὲν εἶναι τὸ ἕτερον, ἀλλ' οὐκ ἀναγκαίως. Πολλὰ γὰρ ὑπάρχει τὰ κωλύοντα ἀπογέμειν τῷ Ὑψίστῳ τὴν ὀφειλομένην λατρείαν κατὰ τὴν οὖσαν ἐν τῷ ἀνθρώπῳ γνῶσιν, διὸ καὶ ὁ θεῖος Παῦλος ἐλέγχει τοὺς παρὰ τοῖς ἀρχαίοις σοφοὺς, ὅτι « Γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ εὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν εἰκόνα τοῦ ἀφθάρτου Θεοῦ, ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν· διὸ καὶ παρέδωκεν αὐτοὺς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς » (α)· Τῶν δὲ κωλυμάτων τούτων κυριώτατά εἰσι ά, μεγάλη ῥαθυμία· β', δειλία μωρὰ, μὴ ἄλλοις τισὶν ἀπαρέσκῃ· γ', τὸ ἄγαν φιλάρεσκον· δ', πολλὴ περὶ τὸν κόσμον καὶ τὰ τοῦ κόσμου σπουδή· ε, προσκόλλησις μὲν ἰσχυρὰ εἰς τὰ τοῦ σώματος φθαρτὰ καὶ ἐπίκηρα, ἀδιαφορία δὲ πρὸς τὰ κρείττονα καὶ αἰώ-

(α) Ρωμ. ά. 21—25.

Digitized by Google

νια. Πολλοὶ γὰρ καὶ τῶν ἀρχαίων καὶ τῶν καθ' ἡμᾶς συνετωτάτων ἄλλως ἀνθρώπων ἀμελοῦσι διὰ ταῦτα τοῦ πρωτίστου τούτου τῶν καθηκόντων, ὅπερ ἔδει ταῖς πᾶσι καὶ ἐν παντὶ καιρῷ ἥδιστόν τε εἶναι καὶ ἱερώτατον καὶ ἁγιώτατον. Θεωρείτω οὖν ἕκαστος μή τινι τοιούτῳ ἐνέχηται, καὶ φροντιζέτω σπουδαίως ἀπαλλάττεσθαι τοῦ τοιούτου, κἂν πολλὰς καὶ μεγάλας ἀπαιτῇ θυσίας.

§ 8 *Περὶ τῆς εἰς τὸν Θεὸν εὐσεβείας τε καὶ λατρείας.*

Τὴν μὲν εἰς Θεὸν εὐσέβειαν καὶ λατρείαν πολλοὶ πολλάκις καὶ λέγουσι καὶ ἀκούουσι, σπανίως δὲ κατὰ τὴν κυρίαν αὐτῶν σημασίαν ἐκλαμβάνουσιν· Ὃ γάρ τις μόνον ὀρθῶς γινώσκει ὡς ἀληθὲς καὶ ἀγαθὸν, τοῦτο καὶ σέβεσθαι εἰλικρινῶς δύναται, ὡς εἴρηται § 6. Ἡ γὰρ γνῶσις τοῦ ἀγαθοῦ, καὶ ἡ τοῦ γινωσκομένου ἀγαθότης ἐντίκτουσι τῇ ψυχῇ κλίσιν τινὰ πρὸς αὐτὸ καὶ φροντίδα τοῦ προσέχειν ἀεὶ, μή τι ἀπαρέσκον αὐτῷ γένηται ἐκ τῆς κατὰ προαίρεσιν ἐνεργείας, ἀλλὰ μόνον τὸ ἀρεστόν. Ἡ δὲ φροντὶς αὕτη τυγχάνει ἡ λεγομένη εὐσέβεια, ἧς τὸ ἀντίθετόν ἐστιν ἡ ἀσέβεια· τὸ δ' ἐπίτηδες πρὸς καταφρόνησίν τινος πραττόμενον, ὕβρις ἐστὶ καὶ λέγεται· μέσον δὲ τῆς ἀσεβείας καὶ τῆς ὕβρεώς ἐστιν ἡ ὀλιγωρία, καθάπερ καὶ τῆς εὐσεβείας βαθμὸς ἀνώτερός ἐστιν ἡ εὐλάβεια. Εὐσέβεια τοίνυν ἐστὶ κλίσις καὶ ἀγάπη πρὸς τὸ ἐγνωσμένον ὡς ἀγαθὸν, μετ' ἐπιμελείας τοῦ μηδὲν αὐτῷ ἀπαρέσκον, ἀλλ' ἐν ᾧ ἂν ἐκεῖνο εὐδοκῇ, τοῦτο μόνον πράττειν. Εἰ δὲ καὶ ἐκδηλῶσαι διὰ σχημάτων καὶ πράξεών τινων βούλεται τὴν ἐσωτερικὴν ταύτην κλίσιν καὶ ἀγάπην καὶ ἐπιμέλειαν τοῦ πράττειν τὸ ἐκείνῳ ἀρεστὸν, τοῦτο δή ἐστι τὸ Λατρεύειν καὶ τιμᾶν τὸ πεφιλημένον· ὥστε λατρεία ἂν εἴη ἡ διὰ τῶν προσηκόντων σχημάτων καὶ πράξεων τῆς

Digitized by Google

ἐσωτερικῆς εὐσεβείας φανέρωσις. Καὶ τοιαύτης μὲν οὔσης τῆς εὐσεβείας καὶ τῆς λατρείας, φαμὲν, ὅτι οὐδενὶ ἄλλῳ ὀφείλεται παρὰ τῶν λογικῶν κτισμάτων ἡ βαθυτάτη εὐσέβεια καὶ προσκύνησις καὶ λατρεία, ἢ τῷ Θεῷ, οὐ μόνον ὡς ἀεὶ ὄντι, καὶ τοῖς οὖσι τὸ εἶναι διὰ μόνην ἀγαθότητα δωρουμένῳ, ἀλλὰ δὴ καὶ ὡς παναγάθῳ καὶ παντελείῳ, καὶ ὡς μάλιστα πάντων οἰκειότατα πρὸς ἡμᾶς ἔχοντι.

Ἡ μὲν οὖν εἰς τὸν Θεὸν ἀληθὴς εὐσέβειά ἐστιν ἡ διὰ πάσης ἀρετῆς τῷ Θεῷ εὐαρέστησις, ἡ πρὸς τὸν ἕνα καὶ μόνον ὡς ἀληθῶς ὁμολογούμενόν τε καὶ ὄντα Θεὸν ἀνάνευσις, καὶ ἡ κατὰ τοῦτον ζωή· καὶ ὡς μὲν διάθεσις ἐσωτερικὴ, καὶ ἐντὸς διαμένει, φανερωθεῖσα δὲ, λατρεία γίνεται. Διὰ τοῦτο καὶ τῆς λατρείας εἰσὶν εἴδη πολλά· καὶ γὰρ καὶ ὁ προσευχόμενος, Θεῷ λατρεύει, καὶ ὁ νηστείᾳ χρώμενος, καὶ ὁ τοῖς θείοις προσέχων λογίοις, καὶ μέντοι καὶ ὁ τῆς τῶν ξένων θεραπείας ἐπιμελούμενος (α). Καὶ ἡ μὲν εὐσέβεια μόνιμόν τε καὶ διηνεκὲς, ἡ δὲ λατρεία, φανέρωσις ἐν καιρῷ τῷ δέοντι τῆς εὐσεβείας· δυνατὸν δὲ καὶ πρέπον πάντα κατ' ὀλίγον περιλαμβάνειν τὸν βίον. «Χρὴ γὰρ, λέγει ὁ ἱερὸς Χρυσόστομος, χρὴ καὶ τῆς κλίνης ἀπανισταμένους φθάνειν ἀεὶ τὸν ἥλιον τῇ τοῦ Θεοῦ λατρείᾳ, καὶ τραπέζης ἁπτομένους, καὶ καθεύδειν μέλλοντας, μᾶλλον δὲ καὶ καθ' ἑκάστην ὥραν μίαν εὐχὴν τῷ Θεῷ προσφέροντας, ἴσον τῇ ἡμέρᾳ δρόμον τρέχοντας, ἐν δέ γε τῇ τοῦ χειμῶνος ὥρᾳ καὶ τῆς νυκτὸς τὸ πλεῖστον μέρος εἰς προσευχὰς ἀναλίσκοντας, καὶ τὰ γόνατα κάμπτοντας, σὺν πολλῷ τῷ φόβῳ τῇ δεήσει προσέχοντας, μακαρίζοντας ἑαυτοὺς ἐπὶ τῇ τοῦ Θεοῦ λατρείᾳ·» καὶ αὖθις « Ὅταν ἴδω τινὰ

(α) Θεοδωρ. ἐν κφ' ἀ. πρὸς Ῥωμ.

Digitized by Google

τῆς τοῦ Θεοῦ λατρείας ἀκορέστως ἐχόμενον, καὶ τὸ μὴ προσεύχεσθαι συνεχῶς, ἐν ταῖς μεγίσταις ἀριθμοῦντα ζημίαις, τεκμαίρομαι τὸν τοιοῦτον πάσης ἀρετῆς ἀσκητὴν εἶναι βέβαιον, καὶ τοῦ Θεοῦ ναόν» (α).

§ 9. *Περὶ τῆς θρησκευτικότητος.*

Ἡ δὲ προθυμία τοῦ δεικνύναι καὶ ἐξωτερικῶς ἐνώπιον τῶν ἀνθρώπων τὴν πρὸς τὸν Θεὸν ἐσωτερικὴν καὶ μόνιμον εὐσέβειαν προσηκόντως ἐν καιρῷ, ἐστὶν ὃ καλοῦμεν θρησκευτικότητα. Ὁ γὰρ ὁπωσδήποτε γνοὺς τὸν Θεὸν καὶ τὴν πρὸς αὐτὸν ἡμῶν σχέσιν, καὶ ἡλίκον ἀγαθὸν ἐν τῷ Θεῷ κεκτήμεθα, καὶ διὰ τοῦτο μακαριώτατον ἑαυτὸν ἡγούμενος, οἴκοθεν διάζεται φανεροῦν καὶ πρὸ τῶν ἄλλων ἀνθρώπων αὐτὴν τὴν ἑαυτοῦ ἐσωτερικὴν πάθησιν, ἵνα καὶ οὗτοι κατανοήσαντες, μέτοχοι τῆς τοιαύτης μακαριότητος γένωνται. Συμβαίνει δὲ τὸ αὐτὸ, ὅπερ καὶ ἐπειδάν τις μέγαν καὶ πολύτιμον εὕρῃ θησαυρόν. Οὐ γὰρ ἔχει καὶ οὗτος περιστεῖλαι ἐν ἑαυτῷ καὶ ἀποκρύπτειν ἀπὸ τῶν ἄλλων τὴν ἐπ' αὐτῷ χαράν. Διὸ καὶ ὁ μακάριος Παῦλος παραγγέλλει λέγων, « Χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ, χαίρετε ! τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις » κ. λ. (β). Ὁ δὲ Κύριος ἡμῶν, « Οὐδείς, φησιν, ἅπτει λύχνον, καὶ τίθησιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς (γ). » Ἀλλὰ πολλάκις συμβαίνει φαίνεσθαι μὲν ἔξωθεν θρήσκους, βρενθυομένους ἐπὶ τούτῳ, ἔσωθεν δὲ μὴ εἶναι ὄντως τοιούτους,

(α) Χρυσοστ. ὁμιλ. ά. περὶ προσευχ. (β) Φιλιπ. δ'. (γ) Ματθ. έ. 15.

Digitized by Google

ἀλλὰ μόνον προσποιεῖσθαι εἶναι, καὶ δοκεῖν τοιούτους ἐθέλειν, καὶ τοῦτό ἐστιν ἡ λεγομένη γοητεία καὶ ὑπόκρισις, βδελυκτὴ καὶ θεοστυγὴς, ὡς παίζουσα πρὸς τὸ πάντων ἁγιώτατον καὶ ἱερώτατον τῶν ἐν ἀνθρώποις. Τούθ' ἕνεκα καὶ ἐξ ἀρχῆς ἐλογίσθη διττή τις θρησκευτικότης, ἡ μὲν ἀληθὴς καὶ εἰλικρινὴς, ἡ δὲ ψευδὴς καὶ δολία, μέση δὲ τούτων εἴη ἂν ἡ ἐξ ἀπάτης διεστραμμένη. Καὶ ἀληθὴς μέν ἐστιν, ἐπειδὰν τῇ ὀρθῇ τοῦ Θεοῦ γνώσει ἐπερειδομένη, τὸ τῆς ἐσωτερικῆς εὐσεβείας αἴσθημα ἐκδηλοῖ ἀξίως καὶ προσηκόντως τῇ τοῦ Θεοῦ μεγαλωσύνῃ καὶ τῇ ἀξίᾳ τῆς τοῦ ἀνθρώπου λογικῆς φύσεως, καὶ τῷ καιρῷ, καθ' ὃν γίνεται. Ψευδὴς δὲ, ἐὰν ἐξωτερικῶς ὑποκρίνηται εὐσέβειαν, ἣν οὐκ ἔχει ἀληθῶς, οὐδ' αἰσθάνεται. Κἂν μὲν χωρὶς γνώμης κακῆς, ἀλλ' ἐκ τῆς μὴ ὀρθῆς ἐπιγνώσεως τοῦ Θεοῦ γίγνηται, καὶ οἱονεὶ ἀπομίμησις ὑπάρχει μηχανικὴ, οὗ παρ' ἄλλοις ἑώρακεν, ἄλογος καὶ ψευδὴς μόνον τυγχάνει εὐλάβεια· ἐὰν δὲ, ὅπως τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τε καὶ εὔνοιαν, ἢ ἄλλο τι τῶν προσκαίρων ἀγαθῶν ἑαυτῷ περιποιήσηται, χωρὶς αἰσθήματος ἀληθοῦς εὐσεβείας γίνηται, ὑπόκρισις τότε κυρίως ἐστίν. Ἐσφαλμένη δὲ καὶ διεστραμμένη, ἐπειδὰν αἰσθάνηται μὲν ἐσωτερικῶς ζωηρὸν τὸ πρὸς Θεὸν σέβας, καὶ ἀδόλως ἐκδηλῶσαι τὰ αἰσθήματα ταῦτα βούληται, ἀδίδακτος δ' ὢν τὰ τοῦ Θεοῦ, ἢ κακῶς δεδιδαγμένος, οὐ πρσηκόντως οὐδὲ κατ' ἀξίαν ταῦτα ἐκδηλοῖ· Ταύτης οὐκ ὀλίγα παραδείγματα παρέχει ἡμῖν ἥτε τοῦ Ἰουδαϊσμοῦ καὶ ἡ τοῦ ἐθνισμοῦ ἱστορία, πῶς δ' οὐχὶ καὶ ἡ τοῦ χριστιανισμοῦ ἔστιν ὅτε, ἐὰν κακῶς καὶ ἐννοῆται καὶ ἑρμηνεύηται; Καὶ γὰρ καὶ ἐξ αὐτοῦ διαστρεφομένου ὑπὸ τῶν αἱρετικῶν, πολλαὶ προῆλθον τερατώδεις ἐπιδείξεις θρησκευτικότητος, ὑβριστικαὶ εἰς τὴν τοῦ Θεοῦ μεγαλωσύνην καὶ τὴν τοῦ ἀνθρώπου λογικὴν φύσιν, καὶ ταῖς ἄλλαις περιστάσεσιν ὅλως ἀπρεπεῖς.

Digitized by Google

§. 10. *Συνέχεια τοῦ αὐτοῦ.*

Ἡ μὲν οὖν γνησία καὶ ἀληθὴς θρησκευτικότης, καίτοι καινοτάτην εἶναι ἔδει, καὶ ἠδύνατο εἶναι, μᾶλλον δὲ ταύτην μόνην ὑπάρχειν διὰ τὴν πρὸς τὸν Θεὸν οἰκειοτάτην ἡμῶν σχέσιν, σπανιωτάτη ἐν τοῖς ἀνθρώποις εὑρίσκεται, ἀμελῶς ἔχουσι τοῖς πλείστοις περὶ τὴν ἀκριβεστέραν ἐπίγνωσιν τοῦ Θεοῦ, ἐπιπολαίῳ δέ τινι καὶ νεκρᾷ τοῦ ὀνόματος αὐτοῦ γνώσει ἀρκουμένοις· ὅθεν καὶ αἱ πολλαὶ ψευδεῖς δόξαι καὶ αἱ ἄτοποι καὶ ἀπρεπεῖς τῆς θρησκευτικότητος ἐπιδείξεις ἀνά πᾶσαν τάξιν καὶ ἡλικίαν ἀνθρώπων φαίνονται. Ὅπου δ' ἂν ἀληθὴς καὶ γνησία ὑπάρχῃ, δηλοῦται μάλιστα διὰ τῆς πίστεως, διὰ τῆς ἀγάπης, καὶ διὰ τῆς ἐλπίδος, τῆς μὲν πίστεως, ὡς γνώμης φαιδρᾶς καὶ ἑκουσίου ἀποδοχῆς τῆς παρὰ τοῦ Θεοῦ παναγάθως ἀποκαλυφθείσης ἡμῖν σωτηρίου διδασκαλίας, τῆς δὲ ἐλπίδος, ὡς σπουδῆς σταθερᾶς καὶ ἐπιθυμίας τῶν ἀγαθῶν, ἃ ὁ Θεὸς ἐπηγγείλατο καὶ ἐβεβαίωσε τοῖς ἀγαπῶσιν αὐτόν, τῆς δὲ ἀγάπης, ὡς μετὰ πόθου προσκολλήσεως εἰς αὐτὸ τὸ πανύψιστον ἀγαθὸν τὸν Θεόν. Τὰ τρία ταῖνυν ταῦτα εἶεν μὲν ἂν καὶ τῆς γνησίας θρησκευτικότητος ἀληθῆ γνωρίσματα, εἰσὶ δ' ἅμα καὶ ἴδια ἡμῶν πρὸς τὸν Θεὸν καθήκοντα. Γνωσθέντος γὰρ ἡμῖν, ὅτι ὁ Θεός ἐστι τὸ πάντων ὕψιστον καὶ ἀγαθώτατον, καὶ κράτιστον ὄν, ἀναγκαζόμεθα ὑπὸ τοῦ λογικοῦ οὐ μόνον σέβεσθαι αὐτὸν καθ' ὑπεροχὴν, καὶ ὑπὲρ πάντα τιμᾷν, ἀλλὰ καὶ δι' αὐτὸ τὸ ὀφειλόμενον σέβας, πᾶσαν παρ' αὐτοῦ δωρηθεῖσαν ἡμῖν διδασκαλίαν ἀδιστάκτως καὶ μετὰ προθυμίας ὡς ἀπόλυτον ἀλήθειαν ἀποδέχεσθαι, ὅπερ ἐστὶ πιστεύειν αὐτῷ· ἔτι δὲ καὶ χαίροντας, τὴν τῶν ἐπηγγελμένων παρ' αὐτοῦ ἐκπλήρωσιν προσδοκᾷν, ὅπερ ἐστὶν ἐλ-

Digitized by Google

πίζειν ἐπ᾽ αὐτόν· καὶ προσκολλᾶσθαι δὲ αὐτῷ, ἀφωσιωμένους τῷ παναγίῳ αὐτοῦ θελήματι, ἤτοι ἀγαπᾷν αὐτόν. Ἡ δὲ παρὰ τοῦ λογικοῦ γινομένη ἡμῖν κατανάγκασις αὕτη ἐστὶν ὃ πρότερον ὠνομάσαμεν καθῆκον ἐκ τοῦ ὑποκειμένου, ὥστε ἀνάγκη τὰ τρία ταῦτα πίστιν, ἐλπίδα, καὶ ἀγάπην, ὡς ἴδια ἡμῶν καθήκοντα πρὸς τὸν Θεὸν λογίζεσθαι. Αὐτὰ δὲ ταῦτα καὶ ἑτέρως ἀλλαχοῦ ἐκλήθησαν, ἤτοι θεολογικαὶ ἀρεταί (α).

§. 11 *Πίστις, ὡς ἐπίδειξις τῆς θρησκευτικότητος, καὶ ὡς καθῆκον τοῦ ἀνθρώπου πρὸς τὸν Θεόν.*

Ἵνα δὲ περὶ πίστεως βέβαιόν τι καὶ σαφὲς εἴπωμεν, ἐξεταστέον πρῶτον, τί ἂν εἴη πίστις ἐν γένει, καὶ πῶς ἂν διάφορος γένοιτο. Ἐκ μὲν οὖν τῶν ἄλλοις περὶ αὐτῆς εἰρημένων συνάγεται, ὅτι πίστις οὐδέν ἐστιν ἄλλο, ἢ τὸ τῆς ψυχῆς πρόθυμον τοῦ ὡς ἀληθῆ τὸν λόγον ἢ τὴν μαρτυρίαν ἄλλου τινὸς ἀποδέξασθαι, ὑπὸ λόγων ἰσχυρῶν εἰς τοῦτο προτρεπομένης· οἱ δὲ λόγοι ῥῦτοι, ἢ τῇ δόξῃ τοῦ λέγοντος ἐπερείδονται, ἢ τοῖς λεγομένοις, ἢ καὶ ἀμφοτέροις τούτοις, ἃ πείθουσι τὸν ἀκούοντα ἀδιστάκτως τὰ λεγόμενα ὡς ἀληθῆ ἀποδέξασθαι· καὶ ἡ μὲν ἐκ τῶν πρώτων γεννωμένη καλεῖται πίστις ἱστορικὴ ἢ ἐκ τοῦ κύρους, ἡ δὲ ἐκ τῶν δευτέρων, λογικὴ, σύμμικτος δὲ ἡ τρίτη. Κἂν μὲν τὸ κῦρος ἀνθρώπινον ᾖ, ἀνθρωπίνη τότε καὶ ἡ πίστις ἐστὶν, εἰ δὲ θεῖον, θεία· κατ᾽ ἀμφότερα δὲ λόγοις βεβαίοις τε καὶ ἰσχυροῖς τὴν συγκατάθεσιν ἡμῶν καὶ τὸ πρὸς τὴν συγκατάθεσιν πρόθυμον ἐπερείδεσθαι χρή· εἰσὶ δὲ τοιοῦτοι, οἳ ἂν προσηκόντως ἐξεταζόμενοί τε καὶ σταθμι-

(α) Ἴδε Μέρ. Α'. § 51.

Digitized by Google

ζόμενοι πάντα λογικόν τε καὶ ἀπροκατάληπτον πείθειν δύνωνται, καὶ ἀναγκάζειν εἰς τὸ συνευδοκεῖν· ἡ δ' αὐτοῖς ἐπερειδομένη συνευδοκία ἐστὶν ἡ λογικὴ πίστις· τυφλὴ δὲ καὶ ἄλογος ἡ τῶν τοιούτων λόγων ἄμοιρος, ἡ δὲ καὶ ἐναντίον τῶν τοιούτων λόγων συγκατάθεσις τῇ τοῦ ἑτέρου μαρτυρίᾳ, μωρὰ καὶ παράλογος πίστις ἐστίν. Καὶ ἡ μὲν πρώτη προσήκει μάλιστα τῇ τῆς ἀνθρωπίνης φύσεως ἀξίᾳ, ἡ δὲ τελευταία ἀνατρεπτικὴ ταύτης γίνεται, οὔτε δὲ ἡ δευτέρα ἁρμόσειε τῇ τοῦ ἀνθρώπου ἀξίᾳ, ὃς, οἷα δὴ λογικὸς, μόνῳ τῷ λόγῳ ἐπαναπαύοιτ' ἂν, τὴν δ' ἀλογίαν φύσει ἀποστρέφεται. Διὸ καὶ ὁ μακάριος Παῦλος διακελεύεται : « Πάντα, λέγων, δοκιμάζετε, τὸ καλὸν κατέχετε » (α). ἤτοι τὸ ὀρθὸν τὸ τὴν δοκιμὴν ὑφιστάμενον.

§. 12. *Τῶν τῆς πίστεως λόγων διαίρεσις.*

Τῶν τῆς πίστεως λόγων, οἱ μὲν ἐκ τοῦ μαρτυροῦντος λαμβανόμενοι, ἐξωτερικοὶ λέγονται, καὶ δύο εἰσί· ἁ, ἡ γνῶσις τοῦ μαρτυρουμένου· καὶ β', ἡ ἀγαθὴ θέλησις καὶ τὸ φιλάληθες τοῦ μαρτυροῦντος· ὅσῳ γὰρ βεβαιότεροί ἐσμεν προσεῖναι ταῦτα τῷ μαρτυροῦντι ἀμφότερα, τοσούτῳ μᾶλλον καὶ ὑπὸ τοῦ ἡμετέρου λογικοῦ ἀναγκαζόμεθα τῇ ἐκείνου μαρτυρίᾳ συγκατατιθέμενοι ἀδιστάκτως ὡς ἀληθῆ ἀποδέχεσθαι ἃ λέγει· ἀλλὰ καὶ τοὐναντίον, διστάζοντες, εἰ ταῦτα τῷ λέγοντι πρόσεστιν, ὑπ' αὐτοῦ αὖθις τοῦ λογικοῦ κελευόμεθα, μὴ πιστεύειν τοῖς λεγομένοις, μήτι εἰς ἀπάτην ἐμπέσωμεν. Οἱ δὲ ἐκ τοῦ πράγματος αὐτοῦ τοῦ λεγομένου, ἐσωτερικοὶ καλοῦνται

(α) Α'. Θεσσαλ. ε. 21.

Digitized by Google

δύο καὶ οὗτοι ἀριθμούμενοι· ά, τὸ τοῦ πράγματος δυνατὸν καὶ μηδεμίαν περιέχον ἀντίφασιν, ἀλλὰ πιθανὸν καθ' ἑαυτό· β', τὸ πρέπον καὶ σύμφωνον ἐντελῶς ταῖς τοῦ λογικοῦ ὡς ἀληθέσιν ἀνεγνωσμέναις ἐννοίαις ταῖς καθόλου. Οὗτοι δὲ καὶ κριτήρια τῆς ἀληθείας καλοῦνται, οἷς δὴ ἀπὸ τοῦ ψεύδους διακρίνεται. Ὅπως οὖν ἐν δέοντι πιστεύωμεν, καὶ μὴ, ἢ τὴν συγκατάθεσιν ἀποποιώμεθα ἔνθα δεῖ, ἢ τοῖς πίστεως ἀναξίοις ἀλόγως πιστεύωμεν, ἐξεταστέον νῦν μὲν τοὺς ἐσωτερικοὺς, νῦν δὲ τοὺς ἐξωτερικοὺς τῶν λόγων, ἔστι δ' ὅπου καὶ ἀμφοτέρους. Οὕτω γὰρ λογική τις καθίσταται ἡ πίστις.

§. 13. *Ὅτι ἡ πίστις καθῆκον τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν καὶ γνώρισμα τῆς ὀφειλομένης αὐτῷ εὐσεβείας τε καὶ λατρείας.*

Τὰ περὶ πίστεως ἐν γένει εἰρημένα ἀναγκαῖα ὑπάρχουσι πρὸς τὴν τῆς θείας πίστεως, περὶ ἧς νῦν ἡμῖν ὁ λόγος, ἀσφαλῆ καὶ τελείαν ἐκτίμησιν. Αὕτη γὰρ ἀπὸ τῆς ἀνθρωπίνης διακρίνεται, πρῶτον μὲν, ἐξ ὧν ἡμῖν ἀποκαλύπτει πραγμάτων, εἶτα δὲ, ἐξ ὧν ὑπὲρ ἑαυτῆς ἔχει λόγων, καὶ τρίτον, ἐξ ὧν συνεπάγεται τοῖς πιστεύουσιν ἀγαθῶν πρὸς ἀνάπαυσίν τε καὶ μακαριότητα. Καὶ τὰ μὲν ἀποκαλυπτόμενά εἰσιν, ἃ ὁ Θεὸς διὰ τὴν ἄφατον αὐτοῦ ἀγαθότητα ἠὐδόκησε γνωρίσαι ἡμῖν, οἷον ἀληθείας δογμάτων, παραινέσεις, ἐντολὰς καὶ ἐπαγγελίας, τὰ μὲν εἰς βοήθειαν τοῦ νοὸς πρὸς εὕρεσιν τῆς ἀληθείας, τὰ δὲ εἰς ὁδηγίαν τῆς θελήσεως πρὸς τὴν τοῦ ἀγαθοῦ αἵρεσιν καὶ τὴν πρὸς τὸ ἔσχατον ἡμῶν τέλος ροπήν. Οἱ δ' ὑπὲρ ἑαυτῆς λόγοι εἰσὶ, πρῶτον μὲν, ἡ πάντων περιληπτικὴ τοῦ Θεοῦ γνῶσις καὶ σοφία, εἶτα δὲ, ἡ ἄπειρος αὐτοῦ ἀγαθότης, καὶ δικαιοσύνη καὶ ἁγιότης. Τῇ

Digitized by Google

μὲν γὰρ γνώσει πάντα κατ' οὐσίαν ἐπίσταται, καὶ οὐδὲν αὐτὸν ἐν τῇ θεωρίᾳ λανθάνει, τῇ δὲ ἀγαθότητι καὶ δικαιοσύνῃ καὶ ἁγιωσύνῃ ἀδύνατον ψεύσασθαι ἡμᾶς, ἢ ἀπατῆσαι, ἢ ὅλως μὴ πρὸς τὸ ἀγαθὸν ὁδηγεῖν. Εἰ γὰρ οἷόν τε ἦν, οὐκ ἂν ἦν ὅπου Θεὸς, ἢ οὐκ ἄν γε εἴη πανάγαθος. Αὗται οὖν αἱ τελειότητες ἐχέγγυον τὴν τῶν ἀποκαλυφθέντων ἀλήθειαν ποιοῦσι καὶ πιστευτέαν ἡμῖν, ἅμα παρ' αὐτοῦ ἀποκεκαλύφθαι πεισθεῖσι. Τοῦτο καὶ ὁ ψαλμῳδὸς ἀποφαίνεται, « Τὰ λόγια Κυρίου λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ κεκαθαρισμένον ἑπταπλασίως (a). Ἡ δ' ἀνθρωπίνη πίστις οὐδὲν τοιοῦτον ἐχέγγυον ἔχειν δύναται. Τὰ δ' ἐκ ταύτης γινόμενα τοῖς ἀνθρώποις ἀγαθὰ ἀπερίγραπτα τυγχάνει καὶ ἀμέτρητα τῷ τε πλήθει καὶ τῷ μεγέθει. Μυρία γὰρ ὅσα, γνωρισθέντα ἡμῖν διὰ τῆς ἀποκαλύψεως, ἧς χωρὶς διὰ παντὸς ἂν ἠγνόησεν ἡ ἀνθρωπότης αὐτὰ, ἢ κακῶς περὶ αὐτῶν ἐφρόνησεν ἀπατωμένη καὶ ἀμφιβάλλουσα, μεγάλην νῦν ἡμῖν παρέχουσιν ἀνάπαυσιν τε καὶ ἀγαλλίασιν· καὶ αὐτὸς δὲ ὁ κοινωνικώτερος καὶ, ἵν' οὕτως εἰπω, ἀνθρωπικώτερος βίος οὐκ ἄν ποτε ἐν ἀνθρώποις εἰσήγετο καὶ προέκοπτεν, εἰ μὴ ὑπ' αὐτῆς ἐδιδάσκετο. Αὕτη γὰρ καὶ τῶν ὑψηλοτέρων φρονημάτων, καὶ τῶν φιλανθρωποτέρων αἰσθημάτων καὶ διαθέσεων καὶ τῆς ἡμερωτέρας καὶ χρηστοτέρας πρὸς ἀλλήλους διαγωγῆς σπόρος ἐγένετο γονιμώτατος.

§. 14. *Καθῆκον τοῦ πιστεύειν τοῖς θείοις λόγοις.*

Ἐπειδὰν ἀκούσωμεν, ὅτι ἐλάλησέ τι πρὸς τοὺς ἀνθρώπους ὁ Θεὸς, εὐθὺς τὸ λογικὸν πάντα τινὰ ἀναγκάζει, ἐὰν ὄντως σέβηται αὐτὸν, ἵνα ἐξετάσῃ ἐπιμελῶς, εἰ ἀληθῶς ἐλαλήθη ὑπὸ τοῦ Θεοῦ, καὶ εἰ δυνατὸν τὸ λα-

(a) Ψαλ. ιά. 6.

Digitized by Google

λη θὲν, καὶ μὴ ἀντιφάσκον, ἀλλὰ πιθανὸν καὶ ἀληθὲς καὶ ὠφέλιμον· κἂν δὲ μετὰ τὴν λογικὴν ἔρευναν μηδὲν εὑρίσκηται πρὸς ὑπόνοιαν ἀπάτης, ἢ δυσπιστίαν, αὐτὸ αὖθις τὸ λογικὸν ἀναγκάζει ἀποδέξασθαι τὸ λαληθὲν ὡς βέβαιον, μηδὲν διστάζοντα, ἀλλ' ἐντελῶς συγκατατιθέμενον, ὡς ἐγγυωμένης ὑπὲρ τῆς ἀληθείας καὶ ὀρθότητος τούτου, τῆς τοῦ Θεοῦ σοφίας καὶ ἀγαθότητος καὶ δικαιοσύνης καὶ ἁγιωσύνης· τὸ δ' ἐναντίον παρὰ φύσιν πάντως ἂν εἴη, καὶ ἢ ἀδιαφορίαν σκαιὰν καὶ ἀθέμιτον, ἢ καὶ ὕβριν ἄντικρυς πρὸς τὸ Θεῖον δεικνύοι. Εἰ γὰρ ἀναγκαία τῷ ἀνθρώπῳ ἡ παρ' ἑτέρου διδασκαλία, ἵν' ὁπωσοῦν λογικώτερος γένηται, οὐκ ἄρα ὠφελιμώτατον, ἐπειδὰν αὐτὸς ὁ Θεὸς, δι' ἄφατον αὐτοῦ ἀγαθότητα, συγκαταβαίνῃ εἰς τὸ γενέσθαι αὐτὸς αὐτῷ ὁδηγὸς καὶ διδάσκαλος; ἢ πῶς οὐ χρὴ τότε, ἐπειδὰν ὁ ὕψιστος νοῦς λαλῇ πρὸς αὐτὸν, ὅλον μὲν ἀκοὴν, ὅλον δ' ὀφθαλμὸν γενέσθαι τὸν ἄνθρωπον; Τὸ καθῆκον ἄρα τοῦ πιστεύειν τῷ Θεῷ ἀφορᾷ μὲν εἰς πολλὰ, ἐξαιρέτως δὲ εἰς τὸ ἐρευνᾷν ἐπιμελῶς, ἁ, τὸ παρὰ τοῦ Θεοῦ λαληθῆναι λεγόμενον, εἰ ὑπὲρ ἑαυτοῦ ἔχει πάντας τοὺς ἐσωτερικοὺς λόγους, οὓς ἀνωτέρω ἐσημειώσαμεν· καὶ β', εἰ ἀληθῶς παρὰ τοῦ Θεοῦ ἐλαλήθη, ἢ οὔ. Ἀναγκαία γὰρ ἡ διττὴ αὕτη ἔρευνα, ἵνα μετὰ λόγου ἢ ὡς θεῖον ὄντως ἀποδεξάμενοι πιστεύσωμεν, ἢ ὡς μὴ τοιοῦτον ἀποῤῥίψωμεν. Διὰ τοῦτο αὐταὶ αἱ θεῖαι Γραφαὶ πολυτρόπως εἰς τὴν ἔρευναν ταύτην ὁδηγοῦσι καὶ προτρέπουσι. Ταύτην ἐπιμόνως καὶ παῤῥησίᾳ ἐζήτει παρὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ τῶν Γραμματέων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς « Ἐρευνᾶτε, ἔλεγε, τὰς Γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ (α). » Καὶ ἀλλαχοῦ αὖθις

(α) Ἰωάν. ε. 39.

Digitized by Google

περὶ τούτου, « Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον, νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν (α). » Καὶ, « εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν, νῦν δὲ λέγετε ὅτι βλέπομεν, ἡ οὖν ἁμαρτία ὑμῶν μένει (β). » Ἠδύναντο δηλαδὴ οἱ τῶν Ἰουδαίων πρεσβύτεροι, εἴπερ ἠβούλοντο, ἐρευνῆσαι τὴν τοῦ Χριστοῦ διδαχὴν, ἣν ἐδίδασκεν ἐν ὀνόματι καὶ κατὰ τὴν ἐντολὴν τοῦ Πατρὸς αὐτοῦ, καὶ γνῶναι αὐτὴν καὶ τὸ δυνατὸν αὐτῆς καὶ μηδὲν ἀντιφάσκον, ἀλλὰ καὶ πιθανὸν, καὶ εὔλογον, καὶ θεοπρεπὲς, ἀλλ' οὐκ ἐποίησαν, διὸ καὶ ἀναπολόγητοι. Οὕτως οὖν πᾶς ὁ ἐκ ῥαθυμίας ἢ τυφλῆς παλαιᾷ τινι προλήψει προσκολλήσεως, ἢ ἐκ μεγάλης περὶ τὸν κόσμον καὶ τὰ τοῦ κόσμου σπουδῆς, ἢ ἐξ ὑπερηφανίας καὶ ἐκουσίου πωρώσεως, ἢ ἐξ ὑπονοίας, μὴ ὁ κατὰ τὸν κόσμον βίος αὐτοῦ ταραχθῇ, ἀμελῶν τοῦ μαθεῖν, ἃ παρὰ τοῦ Θεοῦ ἀκούει λαληθέντα, καὶ πιστεῦσαι αὐτοῖς, οὗτος ἑκουσίως τῇ ἀπιστίᾳ ἐμπίπτει, καὶ ἀναπολόγητός ἐστι. Περὶ τῶν τοιούτων φησὶν ὁ Κύριος ἡμῶν· « Ὁ ἀπιστήσας κατακριθήσεται· αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ οἱ ἄνθρωποι ἠγάπησαν μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς, ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα (γ). » Ὁ ἀνεξετάστως τὸν θεῖον λόγον ἀπορρίπτων καὶ μὴ πιστεύων αὐτῷ, ἀλόγως ἀπιστεῖ, καὶ ἀλόγως καταφρονεῖ τοῦ Θεοῦ καὶ τῆς μεγίστης τῶν πρὸς ἡμᾶς αὐτοῦ εὐεργεσιῶν. Ὀρθῶς ἄρα ἡ πίστις λέγεται ἀρχὴ τῆς τοῦ ἀνθρώπου σωτηρίας, καὶ κρηπὶς καὶ ῥίζα τῆς δικαιώσεως αὐτοῦ ἐνώπιον τοῦ Θεοῦ. Ἐκ γὰρ τῆς πίστεως καὶ τὸ ὀρθὸν φρόνημα καὶ ὁ ἐνάρετος βίος ὁ εὐδόκιμον παρὰ τῷ Θεῷ ἀποφαίνων τὸν ἄνθρωπον.

(α) Ἰωαν. ιε. 22. (β) Ἰωαν. θ'. 4. (γ) Ἰωαν. γ'. 19.

Digitized by Google

Τούθ' ἕνεκα καὶ ὁ θεῖος Παῦλος λέγει, ὅτι ἄνευ πίστεως, ἀδύνατον εὐαρεστῆσαι τῷ Θεῷ. (α).

§. 15 *Περὶ τῶν τῆς πίστεως ἰδιωμάτων.*

Οὐκ ὀρθῶς ἄρα, οὐδὲ δικαίως κατηγοροῦσι τῆς πίστεως, οἱ μὲν ἐκ κακίας, οἱ δ' ἐξ ἀγνοίας, ὅτι πολεμία ἐστὶ τῷ λογικῷ βουλομένη παρώσασθαι αὐτὸ κατὰ κράτος, ἵνα μόνη ἄρχῃ αὐτή. Τοὐναντίον γὰρ ἡ πίστις ἀπαιτεῖ ἀκριβῆ ἔρευναν καὶ σκέψιν βαθεῖαν περὶ τῶν μεγίστων τε καὶ σπουδαιοτάτων, ἃ γινώσκειν παρέχει, διὸ καὶ τὴν ὀρθὴν χρῆσιν τῆς τοῦ λογικοῦ ἐνεργείας. Ἡ γὰρ γνῶσις προσγενομένη τῇ πίστει, τελεσιουργεῖ τῆς ἀληθείας τὴν ἐπιστήμην (β), ὁ δὲ μὴ γινώσκων τὴν ἀλήθειαν οὔτε ἀληθῶς πιστεύειν δύναται· ἡ γὰρ γνῶσις κατὰ φύσιν προηγεῖται τῆς πίστεως, καὶ οὔτε πίστις ἄνευ γνώσεως, οὔτε γνῶσις δίχα πίστεως γένοιτ' ἂν. Ἵνα τοίνυν ἡ πίστις γνησία καὶ ἀληθὴς ᾖ, ἀναγκαῖόν ἐστιν εἶναι ταύτην ἀ, λογικήν· β', σταθερὰν καὶ ἀσφαλῆ· γ', περιληπτικὴν πάντων· δ', ζῶσαν καὶ ἐνεργόν. Τούτοις γὰρ διακρίνεται οὐ μόνον ἀπὸ τῆς ἀλόγου καὶ αὐτοκατακρίτου ἀπιστίας, ἀλλὰ δὴ καὶ ἀπὸ τῆς τυφλῆς πίστεως, καὶ ἀπὸ τῆς νεκρᾶς καὶ ἀκάρπου προφορᾶς, ὧν ὁμολογεῖ μὲν πολλάκις τις ἀπὸ στόματος, οὐδέ ποτε δὲ καὶ συνιέναι ἐπεμελήθη· καὶ τῆς αὐθάδους δὲ καὶ αὐθαιρέτου ἐκλογῆς, καθ' ἣν ἐκεῖνα μόνα ἐκ τῆς θείας διδασκαλίας παραδέχεται, ὅσα τῇ παλαιᾷ αὐτοῦ ζύμῃ συμφωνεῖν οἴεται, ἴδιον θησαυρὸν ἑαυτοῦ αὐτὴν λογιζόμενος, καὶ ἐπ' αὐτῇ ἀρκούμενος. Ἔστι δ' ἡ πίστις λογικὴ μὲν, ὅταν τὰ ὑπ' αὐτῆς διδασκόμενα ἀποδεχώ-

(α) Ἑβρ. ια΄ 6. (β) Θεοδωρ. θεραπευτ. ὁμιλ. Α'.

Digitized by Google

μεθα πεισθέντες πρότερον ά, ὅτι δυνατὰ καὶ οὐδεμίαν περιέχουσιν ἀντίφασιν, ἀλλὰ καὶ πιθανὰ, καὶ ὅλως λογικὰ καὶ ὀρθὰ καὶ ἀληθῆ εἰσι· β', ὅτι ἀληθῶς ἀπὸ τοῦ Θεοῦ προέρχονται. Σταθερὰ δὲ καὶ βεβαία, ὅταν ἀμετακινήτως τῇ πληροφορίᾳ ταύτῃ ἐμμένωμεν, ὥστε καὶ αἱρεῖσθαι μᾶλλον τὸ ζῆν ἢ τὴν πληροφορίαν ταύτην ἐκ κινδύνου ἢ ἄλλης τινος αἰτίας, ἀρνήσασθαι· τοῦτ' ἔστιν ἡ πίστις δεῖται ἀνδρίας καὶ γενναιότητος κρείττονος πάσης χάριτος καὶ πάσης δυσμενείας, ἐπειδάν τις ἀφελεῖν ἀπ' αὐτοῦ τὴν τοιαύτην πληροφορίαν βούληται. Περιληπτικὴ δὲ πάντων, ἐπειδὰν μὴ μόνον τὰ ἡμῖν ἀρέσκοντα ἐκ τῆς γνωστῆς θείας διδασκαλίας ἀποδεχώμεθα, ἀλλὰ πάντα καὶ τὰ λυπηρὰ καὶ τὰ τῇ σαρκὶ πολέμια. « Καὶ ἐὰν ἀγαπᾶτέ, φησιν ὁ Χριστὸς, τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι; (α) Ζῶσα δὲ τέλος καὶ ἐνεργός ἐστιν, ἐπειδὰν διὰ βίου σώφρονος καὶ ἐναρέτου καὶ συμφώνου τῇ ἡμετέρᾳ πληροφορίᾳ δεικνύηται. « Τί τὸ ὄφελος ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ » κλ. (β); Οὕτω καὶ ὁ Σωτὴρ ἡμῶν ἐν εὐαγγελίοις ἀποπέμπει τοὺς ἐργάτας τῆς ἀδικίας. Παντὸς οὖν τοῦ βίου ἔχεσθαι δεῖ τὴν πίστιν καὶ διορθοῦν καὶ διευθύνειν αὐτὸν ὑπὸ τῆς τοῦ δικαίου, καὶ τοῦ ἀγαθοῦ, καὶ τοῦ θείου ἀγάπης ζωογονουμένην, καὶ ἐν παντὶ τὴν ἀγάπην ὑπερισχύειν καὶ ἐν τοῖς λογισμοῖς, καὶ ἐν ταῖς ἐπιθυμίαις, καὶ ἐν τοῖς λόγοις, καὶ ἐν ταῖς πράξεσιν· ἄλλως δὲ ἡ πίστις ἐστὶ θησαυρὸς νεκρός τε καὶ ἄχρηστος.

§. 16 *Περὶ τοῦ πότε δὴ τὸ καθῆκον ἄρχεται τοῦ πιστεύειν.*

Ἐπεὶ οὖν, ὡς εἴρηται, ἵνα ἡ λογικὴ τε καὶ γνησία ἡ

(α) Ματθ. ε'. 44. (β) Ἰακωβ. β'. 14-17. ἰδὲ καὶ Λουκ. ιγ'. 25-28.

Digitized by Google

πίστις, τὴν τῶν πιστευτέων γνῶσιν προϋποτίθησι, δῆλον, ὅτι καὶ τὸ καθῆκον τοῦ πιστεύειν μετὰ τῆς τελείας χρήσεως τοῦ λογικοῦ ἄρχεται· ἐπεὶ δ' οὐκ ἔστι πάντα ἐν ὀλίγῳ ἐκμαθεῖν καὶ κατανοῆσαι, ἀνάγκη παῖδα μὲν ὄντα εὐθὺς τὰς πρώτας καὶ στοιχειώδεις τῆς πίστεως ἀληθείας ἐκδιδάσκεσθαι καὶ ἐπιμελῶς ἐκμανθάνειν, οἷον ἀ, ὅτι εἷς ἐστιν ὁ Θεὸς ποιητὴς καὶ συνοχεὺς καὶ προνοητὴς τοῦ Παντὸς, ἁπλοῦς μὲν τῇ φύσει καὶ τῇ οὐσίᾳ, ἐν τρισὶ δὲ ὑποστάσεσιν, ὡς πατὴρ, υἱὸς, καὶ πνεῦμα ἅγιον, τριὰς ὁμοούσιος καὶ ἀδιαίρετος· β', ὅτι καὶ μισθαποδότης πάντων ὁ αὐτὸς· γ', ὅτι ὁ υἱὸς ἀτρέπτως ἐνανθρωπήσας ὑπὲρ τῆς ἡμετέρας σωτηρίας τὸν διὰ σταυροῦ θάνατον κατεδέξατο, καὶ τοῦ αἰωνίου θανάτου ἡμᾶς ἐρρύσατο· δ', ὅτι ἀθάνατος ἡ τοῦ ἀνθρώπου ψυχή· ε, ὅτι ἀναγκαία τῷ ἀνθρώπῳ ἡ τοῦ Θεοῦ χάρις ἵνα σωθῇ κλ. Ταῦτα πρὸ παντὸς ἄλλου μανθάνων καὶ τοὺς τούτων λόγους, ὕστερον, προϊόντος τοῦ χρόνου, καὶ τὰ λοιπὰ πάντα τῆς πίστεως κατὰ μικρὸν διδαχθήσεται. Οὕτω δὲ καὶ τοῖς ἀρχαιοτέροις ἐδόκει, ὅτι ἀπαραίτητος παντὶ ἀνθρώπῳ ἡ τούτων γνῶσις, ὡς διεγείρουσα καὶ ζωογονοῦσα τὸ πρὸς Θεὸν σέβας καὶ τὸν φόβον καὶ τὴν ἐπιμέλειαν πρὸς τὴν τῆς αἰωνίου μακαριότητος ἀπόλαυσιν.

§. 17. *Ὅτι καὶ ὁμολογεῖν παῤῥησίᾳ τὴν πίστιν τῶν καθηκόντων ἐστί.*

Τῶν ὁμολογουμένων δοκεῖ καὶ τὸ καθῆκον τοῦ δεικνύναι τὴν εἰς Θεὸν καὶ εἰς τὴν παρ' αὐτοῦ διδασκαλίαν πίστιν παῤῥησίᾳ ἐνώπιον τῶν ἀνθρώπων. Εἰ γὰρ ὄντως μακαρίους ἡμᾶς αὐτοὺς ἡγούμεθα ἐπὶ τῇ τοῦ Θεοῦ ἐπιγνώσει, καὶ ἴσμεν ἡλίκον ἀγαθόν ἐστιν ἡμῖν ἐν τῷ Θεῷ καὶ ἐν τῇ παρ' αὐτοῦ διδαχῇ, δεινότατον ἂν εἴη,

Digitized by Google

μᾶλλον δὲ καὶ ἀνύποιστον ἐντὸς ἡμῶν διακατέχειν καὶ ἀποκρύπτειν οὕτω τὴν χαράν, ὥστε μηδένα ἄλλον δύνασθαί τι ἰδεῖν αὐτῆς. Διττῶς δ' ἂν ἡ πίστις ὁμολογοῖτο, λόγοις καθαροῖς καὶ ἐναργέσι, καὶ ἔργοις τοῖς προσήκουσι· λόγοις μέν, ἐπειδὰν ὑπὸ τῆς νομίμου ἀρχῆς ζητῆται, ἢ ἡ ἡσυχία ἡμῶν καὶ ἡ τοῦ πλησίον οἰκοδομὴ τὴν ὁμολογίαν ταύτην ἀπαιτῇ, ὥστε αὕτη κατά τινας μόνον καιρούς ἐστιν ἀναγκαία, καὶ τότε δὲ μετὰ πολλῆς τῆς σεμνότητος καὶ χωρὶς βίας γινέσθω· τοῖς δ' ἔργοις καὶ τῷ βίῳ τῷ τῇ πίστει προσήκοντι ἀεὶ καὶ πανταχοῦ δεικνύναι καὶ ὁμολογεῖν ταύτην ὀφείλομεν. « Ὁ δίκαιός, φησιν, ἐκ πίστεως ζήσεται· » Περὶ δὲ τῶν μὴ τοιαύτην ὁμολογίαν ἀποδιδόντων τῇ πίστει, λέγει πάλιν ἡ Γραφὴ, « Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι (α). » Ἀποβσης γὰρ τῆς διὰ τῶν ἔργων ὁμολογίας, οὐδὲν ἡ διὰ λόγων, κἂν ἄριστα λέγωνται, ὠφελεῖ, ὁ γὰρ Θεὸς ἐπὶ τὰ ἔργα καὶ τὴν ἀλήθειαν ἀεὶ ἐπιβλέπει. Καὶ ἡ ἄρνησις δὲ τῆς πίστεως διττῶς ἂν γένοιτο, καθάπερ καὶ ἡ ὁμολογία, ἢ λόγοις δηλαδὴ ἢ πράξεσι. Καὶ ἄλλως δὲ ποικίλλεται, θεωρουμένη ἢ κατὰ τὸ πρᾶγμα, ὅτις ἀρνεῖται, ἢ κατὰ τὸ αἴτιον, ἐξ οὗ ἡ ἄρνησις, ἢ κατὰ τὸ τέλος, πρὸς ὅ. Καὶ κατὰ μὲν τὸ πρᾶγμα, ἢ ἀπολύτως πάντα τὰ τῆς πίστεως ἀποῤῥίπτονται, ἤ τινα μόνον τῶν ὑπ' αὐτῆς διδασκομένων· καὶ ἐν μὲν τῷ πρώτῳ ἡ τελεία ἐστὶν ἀπιστία, ἐν δὲ τῷ ἑτέρῳ ἡ ἐν μέρει. Κατὰ δὲ τὸ αἴτιον, ἐξ οὗ ἡ τελεία, ἢ ἡ ἐν μέρει ἀπιστία, ἢ μωρία τοῦ πνεύματός ἐστι, καὶ ἄγνοια καὶ ἀλογιστία, δι' ἣν οὐδὲν ἄλλο προσοχῆς ἄξιον ἡγεῖται ἢ τὸ τὰς ὁρμὰς τῆς σαρκὸς θεραπεύειν· ὃ συμβαίνει μάλιστα τοῖς

(α) Τιτ. ά. 16.

Digitized by Google

ἀγραικοτέροις τῶν ἀνθρώπων· ἡ ὑπερηφανία καὶ θρασύτης, ἐξ ἧς μόνας μὲν τὰς ἰδίας ἐπινοίας τιμᾷ καὶ ὀρθὰς ἡγεῖται, πάσῃ δὲ ἑτέρου γνώμῃ καὶ διδαχῇ ὑπεροπτικῶς ἀνθίσταται, ἡ παρεκτροπὴ εἰς τὸν κτηνώδη βίον, περὶ οὗ φησιν ὁ θεῖος Παῦλος « Ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστι (α). » Ἔστι δ' ὅτε καὶ ἀποπλάνησις τῆς φαντασίας, ἥτις πᾶσαν κοινὴν ὁδὸν ἀποστρέφεται, καὶ τὸν ὑγιᾶ νοῦν λίαν ἁπλοῦν ἡγεῖται, καὶ φόβος δὲ ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀνθρωπαρέσκεια. Διὰ ταῦτα καὶ ἡ ἐντολὴ τοῦ Σωτῆρος « Μὴ φοβῆσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα ὑμῶν, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι (β)· » ἀλλὰ καὶ ἡ συναναστροφὴ καὶ συνήθεια τῶν τὰ πάντα χλευαζόντων, καὶ πᾶν τὸ ἐναντιούμενον ταῖς ἡδοναῖς αὐτῶν ἀπωθουμένων. Τέλος δὲ προτίθεται ἡ ἄρνησις ἀεὶ τὸ ἐν τῇ τῶν ἡδονῶν ἀπολαύσει ἀτάραχον, καὶ τὸ ἐλεύθερον καὶ ἀκώλυτον τῶν σαρκικῶν ὀρέξεων, ἔτι δὲ τὴν ἀποφυγὴν τῶν θλίψεων καὶ τῶν ἀνιαρῶν, ἃ διὰ τὴν πίστιν ὑποστῆναι κινδυνεύει. Ἀλλ' ὅμως ἐπὶ πάσῃ ἀρνήσει τῆς πίστεως μεγίστη τε καὶ βαρυτάτη εὐθύνη ἐπίκειται. « Ὅς γὰρ ἄν, φησιν ὁ Κύριος ἡμῶν, ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων » (γ). Ἡ δ' εὐθύνη αὕτη τοσούτῳ μείζων ἐστίν, ἀ, ὅσῳ μᾶλλον ἡ ἀπιστία διὰ τῆς ἀρνήσεως ἐξαπλοῦται· β', ὅσῳ ἧττον ἐκ τῶν πραγμάτων ἀναγκάζεταί τις εἰς αὐτήν· γ', ὅσῳ τὸ τῆς ἀρνήσεως τέλος εὐτελέστερον· δ', ὅσῳ πλείοσιν ἀφορμὴ πρὸς τὴν τοιαύτην διαφθορὰν γίνεται· ε, ὅσῳ μᾶλ-

(α) Α'. Κορ. β', 14. (β) Ματθ. ι. 28. (γ) Λουκ. θ'. 26.

Digitized by Google

λον ἐν γνώσει τῆς ἀδικίας καὶ ἑκουσίως ἐκ κακίας γίνεται. Οὐδέ ποτε ἄρα οὐδαμῶς οὔτε ἐκ φόβου, οὔτε ἐξ ἀνθρωπαρεσκείας, οὔτε πρὸς κενὴν ἐπίδειξιν, χρὴ τὴν πίστιν ἀρνεῖσθαι, ἔξεστι δὲ μόνον σιγᾷν πρὸς τοὺς μηδὲν ἔχοντας δικαίωμα ἐξετάζειν ἡμᾶς περὶ αὐτῆς. Ἀλλ' οὐδὲ ἐξωτερικῶς ἐπιδείκνυσθαι, ὅπερ οὐκ ἔνεστιν ἡμῖν, ἵνα λυπηρόν τι φύγωμεν. Τοῦτο γὰρ τῇ πρὸς ἀλλήλους, ὡς ἀδελφοὺς, ὀφειλομένῃ εἰλικρινείᾳ καὶ τιμιότητι ἀντίκειται, καὶ ἀφορμὴν δυσπιστίας, καὶ ἔχθρας καὶ μίσους πολλάκις παρέχει φανερωθέν. Ἐκ τούτων οὖν κατανοεῖται, διατί ἡ τοῦ Πέτρου διαγωγὴ ἐν τῇ αὐλῇ τοῦ Καϊάφα, καὶ ἡ ἐν τῇ ἐκκλησίᾳ τῆς Ἀντιοχείας ὑποστολὴ αὐτοῦ ἀπρεπεῖς ἐλογίσθησαν καὶ κατεκρίθησαν. Περὶ μὲν γὰρ τοῦ πρώτου κηρύττει τὸ Εὐαγγέλιον, ὅτι ἀθέμιτον, περὶ δὲ τοῦ δευτέρου ὁ θεῖος Παῦλος. (α)

§. 18. *Ὅτι καὶ διεγείρειν καὶ ἀναζωοποιεῖν τὴν πίστιν ὀφείλομεν.*

Τὸ διεγείρειν τὴν πίστιν καὶ ἀναζωογονεῖν οὐδὲν ἄλλο σημαίνει, ἢ τὸ ἐπιμελῶς περὶ τῶν τῆς πίστεως πραγμάτων καὶ περὶ τῶν λόγων αὐτῆς λογίζεσθαι καὶ κρίνειν, ἵνα μετὰ λόγου περὶ τῆς αὐτῶν ὀρθότητος καὶ ἀληθείας πειθόμενος ἀσφαλέστερον συγκατατίθηται, καὶ ὡς ἀληθῆ καὶ βέβαια ἀδιστάκτως ταῦτα ἀποδέχηται. Ὅσῳ γὰρ βαθυτέρα τε καὶ πλατυτέρα ἡ τοιαύτη σκέψις ἐστὶ, τοσούτῳ καὶ ἡ πίστις μᾶλλον ἐσωτερικῶς κρατύνεται, καὶ εἰς πλάτος ἐκτείνεται, ὥσπερ καὶ τοὐναντίον. Ὅσῳ γὰρ ἧττον περὶ τῶν τῆς πίστεως πραγμάτων καὶ περὶ τῶν λόγων αὐτῶν λογίζεται, ἢ ὅσῳ

(α) Γαλ. β'. 11.

Digitized by Google

ἐπιπολαιοτέρα τε καὶ βραχυτέρα ἡ τοιαύτη γίνεται σκέψις, τοσούτῳ ἐξ ἀνάγκης καὶ ἡ πίστις ἀτελεστέρα τε καὶ ἐπισφαλεστέρα ἀποβαίνει, καὶ ῥᾳδίως ἂν κατ' ὀλίγον καὶ ἀποσβεσθείη. Δεῖται ἄρα διηνεκῶς διὰ τὴν ἡμετέραν ἀσθένειαν ἀρωγῆς τινος, ἵνα μὴ τοῦτο πάθῃ, ἀλλ' ἵνα ἐπὶ μᾶλλον αὐξάνῃ καὶ κραταιῶται. Πρὸς τοῦτο δὲ καὶ τὸ τῆς πίστεως σύμβολον συνταχθὲν παρεδόθη τοῖς πιστοῖς ὑπὸ τῆς ἐκκλησίας, οὐ μόνον ἵνα προσεύχωνται ἁπλῶς, ἀλλ' ἵνα καὶ βαθύτερον σκέπτωνται ἐπ' αὐτοῦ· οὕτω καὶ πολλοὶ ἄλλοι ὁμολογίας τύποι ἐν ταῖς προσευχαῖς ἀπαντῶνται τὰ κυριώτερα ἄρθρα τῆς πίστεως περιέχοντες, καὶ ῥᾳδίαν οὕτω τὴν περὶ αὐτῶν σκέψιν ποιοῦντες.

Χρὴ τοίνυν τὰ κυριώτατα τῶν τῆς πίστεως καὶ τοὺς τούτων λόγους ἐπιμελῶς ἐκμανθάνειν, καὶ ἐν ἑαυτῷ τὴν πίστιν ἀνακαινίζειν καὶ ζωογονεῖν ἀεὶ μέν, μάλιστα δὲ, ἐπειδάν τις συνίδῃ ψυχρότητα, ἢ ἀδιαφορίαν, ἢ ἀμφιβολίαν τῇ ψυχῇ ἐγγενομένην, ἔτι δὲ καὶ κατὰ πάντα κίνδυνον θανάτου, ἢ βαρεῖαν ἀσθένειαν, καὶ ἐν τῇ τῶν θείων μυστηρίων κοινωνίᾳ, ὅτε ἰδίως τὴν εἰς τὰ τῷ μυστηρίῳ προσήκοντα πίστιν χρὴ διεγείρειν· ἵνα δέ τις καὶ μᾶλλον οἰκοδομῆται καὶ στηρίζηται εἰς αὐτὴν, ἐξεταστέον νῦν μὲν τοῦτο, νῦν δ' ἐκεῖνο ἐκ τῶν τῆς πίστεως ἀκριβέστερον. Πρὸς τοῦτο γὰρ τὸ τέλος συνέστησεν ὁ Κύριος ἡμῶν ἐν τῇ ἐκκλησίᾳ τὴν διηνεκῆ καὶ μόνιμον διδαχὴν, ἵνα καιρὸν διὰ παντὸς ἔχωμεν προσμανθάνειν τι δι' αὐτῆς, μέχρις οὗ ἐν τῇ πίστει τελειωθῶμεν. Ὧ τινι δὲ οὐκ ἀδιάφορον ἡ πίστις, φροντιζέτω ἐκ τῆς διδαχῆς ὠφελεῖσθαι· προσκαρτερείτω δὲ, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, καὶ τῇ ἀναγνώσει τῆς Γραφῆς, (α)

(α) Ἰωαν. ε, 39.

Digitized by Google

Αὕτη γὰρ πρὸς τοὺς ἐφιεμένους μανθάνειν τὰ τῆς πίστεως πηγὴ ἀέννααός ἐστι τῆς γνώσεως, ἐὰν νηφαλίως τε καὶ ἀγαπητῶς πρὸς τὴν ἀλήθειαν καὶ μετὰ πίστεως ἀναγινώσκηται. Ῥυθμιζέτω δὲ καὶ τὸν βίον ἕκαστος πρὸς τὴν πίστιν· οὐδὲν γὰρ ἄλλο εὐθετωτέρους ἡμᾶς πρὸς αὐτὴν ἀπεργάζεται, ὅσον ὁ ἐνάρετος βίος, ταῦτα δ' ἀμφότερα ἥ τε πίστις καὶ ὁ κατὰ Χριστὸν βίος, ὑπ' ἀλλήλων ἀεὶ βοηθούμενα, ὑποστηρίζονται, καὶ συναύξονται, τοῦ μὲν καλῶς πρὸς τὴν πίστιν διατιθέντος ἡμᾶς, τῆς δὲ αὖθις πρὸς τὸν ἐνάρετον βίον ὁδηγούσης καὶ ἱκανοὺς ἀπεργαζομένης, ὥστε πάντοτε τείνουσι χεῖρα βοηθείας ἀμοιβαίως εἰς ἄλληλα. Διὰ τοῦτο ἔλεγεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτι « Ἡ διδαχὴ ἡ ἐμὴ, οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με πατρός. Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ » (6). Προσεχέτω δὲ πᾶς τις καὶ ἀπὸ τῶν κακοήθων συγγραμμάτων, ἅτινα πληροῦσι διαφθορᾶς τὴν τοῦ ἀναγινώσκοντος ψυχὴν, ἔτι δὲ καὶ ἀπὸ τῶν ἕξεων καὶ παρεκτροπῶν, ὅσαι καταλύουσί τε καὶ ἐκνευρίζουσιν ἐν τῇ γνώμῃ τὴν πίστιν καὶ τὴν ἀγάπην τῆς ἀληθείας. « Ὁ ἁπτόμενος πίσσης μολυνθήσεταί » φησιν ὁ σοφός. Τὸ δὲ συνεχῶς ἀναλογίζεσθαι τὴν εὐεργεσίαν καὶ τὸ ἀγαθὸν τὸ διὰ τῆς θείας οἰκονομίας ἡμῖν γενόμενον, χαίρειν ἡμᾶς ἐπὶ τῇ πίστει δικαίως ποιεῖ ἐνθυμουμένους, εἰς οἵαν ἀπάτην καὶ ἀμφιβολίαν καὶ πώρωσιν τοῦ νοὸς ἂν εἴημεν, εἰ μὴ τὴν θείαν ταύτην διδασκαλίαν ἀποκαλύψαι ἡμῖν φιλανθρώπως ηὐδόκησεν. Οὐδὲ γὰρ λογίσαιτ' ἄν τις, ἡλίκον ἀγαθὸν πρὸς ἅπαν τὸ τῶν ἀνθρώπων γένος διὰ τῆς θείας ἀποκαλύψεως

(6) Ἰωάν. ζ'. 26.

Digitized by Google

ἐγένετο· διὸ καὶ εὐχαριστεῖν τῷ Θεῷ διὰ παντὸς ἐπ᾽ αὐτῇ, καὶ μετὰ ζήλου θερμοῦ ἀντέχεσθαι τοῦ τοιούτου θησαυροῦ ὀφείλομεν.

§. 19. *Περὶ τοῦ ὑπὲρ τῆς πίστεως ζήλου.*

Ὁ τὸ ἀληθὲς καὶ κράτιστον τῆς ἑαυτοῦ πίστεως σαφῶς ἐπιστάμενος, καὶ μακάριον ἑαυτὸν διὰ τοῦτο ἡγούμενος, ὁ ἀληθῶς ἐν τῇ καρδίᾳ αὐτοῦ σεβόμενος καὶ ἀγαπῶν τὸν Θεὸν, ἀγαπῶν δὲ καὶ τὸν πλησίον, οἴκοθεν βιάζεται κοινωνοὺς τῆς τοιαύτης μακαριότητος καὶ ἄλλους ἀναδεῖξαι. Ἡ δ᾽ ἐκ τῆς ἐσωτερικῆς ταύτης καταναγκάσεως γεννωμένη προθυμία τοῦ καὶ ἄλλοις τὴν μακαρίζουσαν τοὺς ἀνθρώπους πίστιν μεταδοῦναι, ζῆλος ὑπὲρ τῆς πίστεως καλεῖται. Διττὸς δ᾽ ἂν εἴη καὶ οὗτος, ἡ γνήσιος καὶ λογικὸς, ἡ ψευδὴς καὶ ἄλογος. Καθόλου δὲ, ὅπερ ὁ θεῖος Ἰάκωβος περὶ τῆς θείας σοφίας ἀποφαίνεται, τοῦτο καὶ περὶ τοῦ ἀληθοῦς καὶ γνησίου ζήλου λεκτέον. « Ἡ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνικὴ, ἐπιεικὴς, εὐπειθὴς, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος καὶ ἀνυπόκριτος » (α). Τοιούτου ζήλου ἀρχέτυπον τελειότατον εἰς μίμησιν ἔδωκεν ἡμῖν ὁ κύριος ἡμῶν καὶ Θεὸς καὶ διδάσκαλος Ἰησοῦς Χριστός. Περιερχόμενος γὰρ ἀκαμάτως κατὰ πᾶσαν τὴν Ἰουδαίαν καὶ Γαλιλαίαν ἐδίδασκε τοὺς καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου τὸ ὄνομα τοῦ Θεοῦ, παρήγγειλε δὲ ἡμῖν καὶ προσεύχεσθαι καθ᾽ ἑκάστην οὕτω· « Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· » Ἁγιάζεται δὲ τὸ θεῖον ὄνομα, ὅταν ἡμεῖς ἐπὶ μᾶλλον καὶ μᾶλλον ἐπιγινώσκειν αὐ-

(α) Ἰακωβ. γ΄ 17.

Digitized by Google

τον τὸν ὄντως ὄντα Θεὸν ὡς τὸ ὕψιστον καὶ πανάγαθον Ὃν μανθάνωμεν, καὶ προθύμως τὰ παρ' αὐτοῦ ἡμῖν διδαχθέντα, ὡς ἀψευδῆ καὶ ἀλάνθαστα ἀποδεχόμενοι, εἰς οἰκονομίαν καὶ σχηματισμὸν τοῦ βίου ἐπιμελῶς χρώμεθα, καὶ μεταδιδόναι πάντα ταῦτα καὶ τῷ πλησίον, ὅπου ἂν ἐξῇ, μετὰ συνέσεως καὶ πραότητος διὰ τῆς διδαχῆς ἐπιμελώμεθα, χωρὶς βίας καὶ καταδυναστείας, ἀλλὰ τοῦ λογικοῦ καὶ τοῦ αὐτεξουσίου αὐτῶν φειδόμενοι. Ὁ δὲ καθ' ὑπόκρισιν καὶ ἄλογος ζῆλος σφοδρὸς καὶ θρασὺς καὶ βίαιος, μηδαμῶς τοῦ λογικοῦ καὶ τοῦ αὐτεξουσίου τῶν ἄλλων ἀνθρώπων φειδόμενος, ἀνηλεὴς εἰς τὸ καταστρέφειν, ὡς καὶ εἰς τὸ ἀνεγείρειν, στυφὸς καὶ πικρὸς πανταχοῦ. Ἵνα δὲ δῆλα τὰ εἰρημένα γένηται, ἀναγνωσθήτω ἡ ἐν τῷ ιγ' κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου παραβολὴ (α), ἐν ᾗ καταφαίνεται, ὅσον ἀπεῖχεν ὁ Ἰησοῦς τοῦ τοιούτου ζήλου! Εἶπε μὲν ἀληθῶς, ὅτι « πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν, καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη; (β) Ἀλλὰ τὸ πῦρ τοῦτο τὸ τῆς κακίας καὶ ἀσεβείας καταφλεκτικὸν, οὐδὲν ἄλλο ἦν, ἢ ὁ κατὰ τὴν διδαχὴν αὐτοῦ θεοσεβὴς καὶ ἐνάρετος βίος συνιστάμενός τε καὶ κανονιζόμενος κατὰ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτοῦ, ὃν ἠβούλετο εἰς πάντας εἰσαγαγεῖν καὶ κοινὸν ἀγαθὸν ποιῆσαι. Οὐδέ ποτε μέν τοι πρὸς τοῦτο βίᾳ καὶ ὁρμῇ, ἢ θρασύτητι ἐχρήσατο, οὔτε ἀπηνείᾳ καὶ πικρίᾳ πρὸς τὸ λογικὸν καὶ τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου, οὔτε περὶ καταστροφῆς καὶ ἀνεγέρσεως, οὔτε περὶ ἐκριζώσεως καὶ ἐρημώσεως ἀνηλεοῦς ἐλάλησεν οὐδέν, μᾶλλον δὲ καὶ ἐπέπληξε δεινῶς τοὺς ἑαυτοῦ μαθητὰς, βουλομένους ῥίψαι πῦρ ἀπ' οὐρανοῦ ἐπὶ τοὺς Σαμαρείτας, λέγων· « Οὐκ οἴδατε ποίου πνεύματός ἐστε ὑμεῖς (γ). »

(α) Ματθ. ιγ'. 24—31. (β) Λουκ. ιβ'. 44. (γ) Λουκ. θ'. 54.

Digitized by Google

Ὅλως δὲ, κατὰ τὸν ὑπὲρ πίστεως ζῆλον, προσεκτέον, μὴ ἐξ αὐτοῦ εἰς ἀπήνειαν καὶ ἀπανθρωπίαν ἐκτρεπώμεθα, ἧς πολλάκις καὶ αὐτοὶ οἱ ὀρθόδοξοι καὶ ὄντως εὐσεβεῖς οὐκ ἐντελῶς ἀπηλλαγμένοι εὑρίσκονται, μισοῦντες καὶ σκληρῶς τοὺς ἑτέρως φρονοῦντας καταδιώκοντες. « Μὴ κρίνετε, ἔλεγεν ὁ Κύριος ἡμῶν, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε, ἀπολύετε, καὶ ἀπολυθήσεσθε. Γίνεσθε οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί (α). » Τὸ τῆς τοιαύτης κρίσεως ἔργον παραχωρητέον μετὰ διακρίσεως τῷ τὰ πάντα γινώσκοντι ἀδεκάστῳ κριτῇ· ἐπιμελητέον δὲ, ὅπως ἐν ἡμῖν αὐτοῖς τὴν πίστιν αὐξάνωμεν καὶ στηρίζωμεν καὶ πλατύνωμεν.

§. 20. *Περὶ τῶν ἐναντίων τῇ λογικῇ καὶ ὀρθῇ πίστει.*

Πολλὰ καὶ διάφορά εἰσι τὰ τῇ ὀρθῇ καὶ γνησίᾳ πίστει πολέμια, τὸ δ' ἀπ' εὐθείας ἀντίθετον αὐτῆς ἐστιν ἡ ἀπιστία, ἧς ἡ μὲν κατὰ θεωρίαν ὑπάρχει, ἡ δὲ κατὰ πρᾶξιν, καὶ ἡ μὲν κατὰ θεωρίαν διὰ τοῦ λόγου ἢ καὶ τῆς γραφῆς κατειρωνευομένη πάντων τῶν τῆς πίστεως καὶ τῶν λόγων αὐτῆς ὑποσκάπτει καὶ καταστρέψαι ταῦτα ἀγωνίζεται, εἰς τὸν ὑλισμὸν, ἢ εἰς τὸν σκεπτισμὸν καταφέρουσα, ἡ δὲ κατὰ πρᾶξίν ἐστι διαγωγὴ καὶ βίος τοιοῦτος, οἷος πάσῃ πίστει ἀντίκειται μυκτηρίζων καὶ αὐτὴν τὴν ἐπιφάνειαν τῆς πίστεως. Πολέμιον δὲ τῇ ὀρθῇ πίστει καὶ ἡ εἰδωλολατρεία, εἰ γὰρ καὶ ὑποτίθησι τὴν εἰς ὑπέρτατόν τι ὂν πίστιν, δυξάζει δὲ κακῶς, ὅτι τὸ Ὂν αὐτὸ δυνατὸν ἐν εἰκόνι φανερωθῆναι καὶ ἐν τοιαύτῃ προσκυνεῖσθαι καὶ λατρεύεσθαι. Ἡ δὲ τοιαύτη δόξα ῥᾳ-

(α) Λευκ. ς' 36—37.

Digitized by Google

δίως ποιεῖ ἐπιλανθάνεσθαι μέν τῆς οὐσίας, τῷ δὲ τύπῳ καὶ τῷ σχήματι προσκολλᾶσθαι, καὶ αὐτῷ τὴν τῇ οὐσίᾳ μόνῃ προσήκουσαν προσκύνησίν τε καὶ λατρείαν ἀπονέμειν. Οἷον συνέβη ἐν τῇ τῶν Περσῶν μονοθείᾳ, καὶ ἐν τῇ τῶν Αἰγυπτίων, καὶ τῶν Ἑλλήνων, καὶ τῶν Ῥωμαίων πολυθείᾳ, καὶ ἐν τῷ τῶν Ἰνδῶν πανθεϊσμῷ. Ἐκ τούτου ἡ ἐντολὴ τοῦ μωσαϊκοῦ νόμου. « Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ, οὐ ποιήσεις σεαυτῷ εἴδωλον κλ. (α). Ὁ δὲ υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς καὶ Κύριος ἡμῶν φησι· « Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. » (β) Πολέμια δ' εἰσὶ τῇ λογικῇ καὶ ὀρθῇ πίστει καὶ ὁ καλούμενος ἐλευθεριασμὸς, καθ' ὃν φρονεῖ τις καὶ κρίνει κατὰ τὸ δοκοῦν περὶ τῶν τῆς πίστεως, μόνα τὰ αὐτῷ ἀρέσκοντα ἀποδεχόμενος, καὶ ἡ αἵρεσις δὲ, εἰς ἣν ἐκεῖνος παράγει. Καὶ γὰρ ἡ αἵρεσις, ἀντίστασίς τις ἐστι πρὸς τὴν ἀλήθειαν καὶ διαστροφὴ αὐτῆς, καὶ ὁ αἱρετικὸς οὐ βούλεται τῇ ἀληθείᾳ συναινέσαι, ἵνα μὴ καὶ αὐτὸς ἀναγκασθῇ ὀπαδὸς αὐτῆς γενέσθαι. Διὰ τοῦτο παραινεῖ ὁ θεῖος Παῦλος, « Αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς, ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος « (γ). Καὶ πᾶσα μὲν ἀντίστασις εἰς τὴν ἀλήθειαν τῆς πίστεως ἁμαρτία λέγεται εἰς τὸ Πνεῦμα τὸ ἅγιον, ἥτις οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις, κατὰ τὸν λόγον τοῦ Κυρίου (δ). Ἡ δὲ ἐκ τοῦ ἐλευθεριασμοῦ καὶ τῆς αἱρέσεως τοσούτῳ μείζων κρίνεται, ὅσῳ φανερώτερόν ἐστι τὸ ἐκ τῆς ἀντιστάσεως εἰς τὴν ἀλήθειαν καὶ ἐκ τῆς εἰς τὴν πλάνην εὐδοκίας τε καὶ ἐπιμονῆς γινόμενον ἄδικον, καὶ ὅσῳ ἐντελέστερον τὸ τέ-

(1) Γεν. κ'. 3—5. (β) Ἰωαν. δ'. 24. (γ) Τιτ. γ' 10. (δ) Ματθ. ιβ, 31.

Digitized by Google

λος πρὸς ὅ. Τέλος γὰρ, ὡς ἐπὶ τὸ πολὺ, τῆς αἱρέσεως εὑρίσκεται ὁ ἄνετος, μᾶλλον δὲ ἀκόλαστος βίος. Τὰ γὰρ ὑπὸ τῆς πίστεως ἐπιβαλλόμενα ὅρια στενά τε δοκεῖ καὶ οὐκ ἀνεκτὰ, διὸ καὶ ἀφελεῖν ταῦτα ἀγωνίζεται, καὶ ἄραι τὰ τὸν ἄσωτον βίον κωλύοντα. Πηγὴ δὲ ταύτης ἐστὶ νῦν μὲν ἡ ἐπιπόλαιος καὶ πολλάκις σκολιὰ δόξα καὶ γνῶσις τῶν τῆς πίστεως ἀληθειῶν, νῦν δὲ, ἡ ἀλαζονεία καὶ ἡ θρασύτης, δι' ἣν ὑπεροπτικῶς πάσῃ παντὸς ἄλλου γνώμῃ ἀνθίσταται, ἔστι δ' ὅτε καὶ ἡ εἰς τὴν κτηνωδίαν τελεία κατάπτωσις, καὶ ἡ τῆς φαντασίας ἀποπλάνησις. Ἔτι δὲ καὶ ἡ δεισιδαιμονία οὐχ ἧττον τῇ γνησίᾳ καὶ λογικῇ πίστει ἀντίκειται. Ἔστι δὲ δεισιδαιμονία δόκησις ἄλογος, καθ' ἣν τύποις τισὶ καὶ ἐπῳδαῖς καὶ ὀνόμασιν ἀνοήτοις καί τισι τῶν φυσικῶν πραγμάτων θαυματουργὸς ἀποδίδεται δύναμις, ἣν οὔτε ἔχουσιν, οὔτε δυνατὸν ἐνεῖναι αὐτοῖς τοιαύτην, βλαβερὰ δὲ καὶ τῇ γνησίᾳ καὶ λογικῇ πίστει, καὶ τοῖς ἤθεσι, καὶ τῇ τῶν ἀνθρώπων εὐδαιμονίᾳ. Τὴν μὲν γὰρ πίστιν παραγκωνίζεται παρισταμένη, ἢ γοῦν διαστρέφει τε καὶ μιαίνει, καθάπερ καὶ τὸ ἦθος, ἀφορμὴν ἀπάτης καὶ ψεύδους καὶ ὑποκρίσεως παρέχουσα, καὶ πολυτρόπως κατὰ τὴν πρὸς τὸν πλησίον διαγωγὴν ἀδικοῦσα· τὴν δ' ἡσυχίαν καὶ εὐδαιμονίαν λυμαίνεται, ἐξαπατῶσα διηνεκῶς ὃν κατέχει, ἐφ' οἷς προσεδόκησεν. Μαρτυροῦσί μοι ταῦτα οἱ τῶν ἀνορύττειν θησαυροὺς ἐπαγγελλομένων ὕθλοι, καὶ τῶν τὰ περίαπτα κατασκευαζόντων, καὶ τῶν ἐξορκιστῶν, καὶ τῶν ἐπῳδῶν καὶ γοήτων, ὅσων κεφαλὰς αἱ τοιοῦτοι ἐτάραξαν! καὶ ὅσων οἴκους εἰς κακοδαιμονίαν καὶ ἀθλιότητα κατήνεγκον! Ὅλως δὲ πολλά εἰσι τὰ τὴν γνησίαν καὶ λογικὴν πίστιν διαστρέφοντα, ἢ ὅλως καταργοῦντα· φυλακτέον οὖν ἀπὸ πάντων τούτων· ἡ γὰρ πίστις ἐστὶν ἡ δόξα καὶ ὁ στέφανος τῆς ἀνθρωπότητος,

Digitized by Google

ὡς φησιν ὁ θεηγόρος (α), διὸ καὶ ἐντέλλεται: « Κράτει ὃ ἔχεις, ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου! » Ἡ πίστις διαφερόντως ἐξευγενίζει τὸν ἄνθρωπον, θείας ἐννοίας, θεῖον φρόνημα, θείαν πολιτείαν αὐτῷ ἐμπνέουσα, ὧν οὐδὲν ὁ ψυχικὸς ἄνθρωπος οὔτε γινώσκει, οὔτε δύναται γνῶναι. Διὰ τοῦτο παραβάλλει ταύτην ὁ Κύριος ἡμῶν θησαυρῷ εὐδαιμονίζοντι τὸν εὑρόντα, ἀλλὰ καὶ πάντα, φησὶν, ὑπὲρ αὐτοῦ δοῦναι χρὴ, καὶ ὅσον ἂν ὑπὲρ αὐτοῦ δαπανήσῃ, πάλιν μέγιστον ἔσται τὸ κέρδος τῷ κτησαμένῳ. (β) Ἔτι δὲ καὶ τῷ τοῦ σινάπεως κόκκῳ παραβάλλει, ὃς ἐλάχιστος μέν ἐστιν ἐν ἀρχῇ πάντων τῶν σπορίμων, ὅταν δὲ βλαστήσας αὐξηθῇ, μείζων τῶν λαχάνων γίνεται, καὶ εἰς δένδρον μεγεθύνεται. (γ) Κατ' ἀρχὰς μὲν γάρ τις τὰς γενικὰς καὶ πρώτας ἀληθείας τῆς πίστεως μανθάνει, ὕστερον δὲ καὶ κατὰ μικρὸν καὶ τὰ λοιπὰ πάντα, καὶ ἐθιζόμενος ἐν αὐτοῖς, οὕτως ἀγαπητῶς πρὸς αὐτὰ διατίθεται, ὡς καὶ πρὸς τὴν ἑαυτοῦ ζωὴν, καὶ ἐπ' αὐτοῦ τοῦ στελέχους πᾶσαν τὴν ἑαυτοῦ εὐδαιμονίαν τε καὶ μακαριότητα ἐπιστηρίζει.

§ 21. *Περὶ τῆς πρὸς τὸν Θεὸν ἀγάπης, ὅτι καθῆκον τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν, καὶ δήλωσις τῆς εἰς αὐτὸν ὀφειλομένης εὐσεβείας τε καὶ λατρείας.*

Ὁ Θεὸς, ὡς οὐ μόνον τὸ ὕψιστον, ἀλλὰ καὶ τὸ κράτιστον καὶ πανάγαθον πάντων τῶν ὄντων, ὑπόθεσίς ἐστι σπουδαιοτάτη τῆς ἡμετέρας λατρείας καὶ προσκυνήσεως οὐχ ἧττον, ἢ τῆς ἡμετέρας γνώσεως. Τὸ δὲ τὴν λατρείαν ταύτην καὶ εὐσέβειαν ἐνδηλοῦν μάλιστα μετὰ τῆς πίστεως, καὶ ἡ ἀγάπη ἐστὶν, ἐγγι-

(α) Ἀποκαλ. γ'. 11. (β) Ματθ. ιγ'. 44. (γ) Ματθ. ιγ'. 31—32.

Digitized by Google

νομένη καὶ αὕτη ἐκ τῆς, ὅσον οἷόν τε, ἐναργοῦς καὶ τελείας γνώσεως. Ὁ γάρ τις ὡς ἀγαθὸν ὀρθῶς γινώσκει, τοῦτο καὶ φιλεῖν οἴκοθεν ἀναγκάζεται. Διὸ καὶ ἡ Γραφὴ λέγει. « Ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν Θεὸν, ὅτι ὁ Θεὸς ἀγάπη ἐστίν ». (α). Οὐ μόνον δὲ πανάγαθος αὐτὸς, μᾶλλον δὲ ἡ αὐτοαγαθότης, κατὰ τὸ « Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεὸς, » (β) ἀλλὰ καὶ παντὸς ἀγαθοῦ πηγὴ ἀένναος « Πᾶσα γὰρ δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα » (γ). Διὸ καὶ ἅμα γνωσθεὶς ὑφ' ἡμῶν, ἕλκει καὶ προτρέπει ἡμᾶς εἰς τὴν αὐτοῦ τελείαν ἀγάπην· ἡ δὲ ἕλξις αὕτη οὐδέν ἐστιν ἀλλ' ἢ τὸ ἐκ τοῦ πράγματος καθῆκον· ὥσπερ καὶ ἡ, ἣν ἐν ἡμῖν αὐτοῖς αἰσθανόμεθα ἐσωτερικὴν βίαν τοῦ ἐκπληροῦν τὴν ἀπαίτησιν ταύτην, τὸ ἐκ τοῦ προσώπου καθῆκόν ἐστιν. Τοῦτο καὶ Μωϋσῆς ὁ Θεόπτης ἐκήρυξε τοῖς Ἰσραηλίταις ἐν τῇ ἐρήμῳ (δ), καὶ ὁ Ἰησοῦς Χριστὸς ἐπεκύρωσεν, ὀνομάσας πρώτην καὶ μεγάλην ἐντολὴν τὸ « ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου (ε) ». Οὗτοι δὲ οἱ τοῦ Σωτῆρος ἡμῶν λόγοι τρανῶς ἑρμηνεύουσι τὸν ὕψιστον βαθμὸν τῆς ἀγάπης, ἣν ἔχειν ὀφείλομεν εἰς τὸν Θεὸν τὸ πάντων τῶν ὄντων ὕψιστόν τε καὶ πανάγαθον, καὶ ὡς θεῖον πῦρ ἀεὶ ἀναζωπυρεῖν καὶ φυλάττειν. Εὐλόγως ἄρα φαμὲν, ὅτι τῷ Θεῷ, ὡς τῇ ὑψίστῃ ἀγάπῃ καὶ ἡ παρὰ τῶν ἀνθρώπων ὑψίστη ἀγάπη κατὰ τὸ δυνατὸν αὐτοῖς ὀφείλεται. Οὐδὲν γὰρ τῶν ὄντων, ἡλίκον ἄν ᾖ, καὶ ὅσον ἂν εὐμενῶς πρὸς ἡμᾶς ἔχῃ, πρὸς αὐτὸν παραβληθείη,

(α) Ἰωαν. Ἐπιστ. Α'. δ'. 8—16. (β) Μαρκ. ι. 18. (γ) Ἰακωβ. α'. 16—17. (δ) Δευτερ. ς'. 5. (ε) Ματθ. κβ'. 37.

Digitized by Google

οὐδ' οὕτω θερμῶς ἀγαπῶ το, ὡς περ αὐτὸς ὁ Θεός. Ἐκ τούτου καὶ ὁ λόγος τοῦ Κυρίου. « Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος κλ. (α).

§. 22. *Ὅρος τῆς ἀγάπης, καὶ τρόπος, δι' οὗ αὕτη ἡ πρὸς τὸν Θεὸν φανεροῦται.*

Χαλεπὸν μὲν λόγῳ τὴν ἀγάπην ὁρίσαι, αἴσθημα οὖσαν καὶ τῇ ψυχῇ ἐφεδράζουσαν, καὶ αἰσθητὴν μᾶλλον, ἢ ῥητὴν γινομένην, λέγεται δ' ὅμως κλίσις φανερὰ πρός τι μεθ' ἡδονῆς καὶ εὐαρεστήσεως ἐπ' αὐτῷ διὰ τὰ ἐγνωσμένα αὐτοῦ πλ[illegible]ήματα. Ἡ οὖν πρὸς τὸν Θεὸν ἀγάπη εἴη ἂν κλίσις [illegible]ρὰ εἰς αὐτὸν μεθ' ἡδονῆς καὶ εὐαρεστήσεως διὰ τὴν αὐτοῦ τελειότητα καὶ ἀγαθότητα. Φανεροῦται δὲ τριχῶς ἁ, διὰ τῆς ἐπ' αὐτῷ ἀγαλλιάσεως καὶ εὐαρεστήσεως· β', διὰ τῆς προθυμίας τοῦ γνῶναι αὐτὸν ἐναργῶς τε, ὅσον οἷόν τε, καὶ ὀρθῶς, καὶ κοινωνὸν αὐτοῦ γενέσθαι· γ', διὰ τῆς ἐπιμελείας τοῦ προσφέρειν αὐτῷ ἐκ καρδίας τὴν ὀφειλομένην εὐχαριστίαν. Ἡ δὲ τοιαύτη φανέρωσις γίγνοιτ' ἂν, ὅταν ἀληθῶς γινώσκηται καὶ ὁμολογῆται ἡ τοῦ Θεοῦ ἄπειρος τελειότης καὶ ἡ ἀγαθότης καὶ φιλανθρωπία· ὅσῳ γὰρ ἡ ταύτων γνῶσις καὶ ὁμολογία ἐναργέστερον γινώσκεται καὶ ὁμολογεῖται, τοσούτῳ καὶ τὸ αἴσθημα ἥδιον καὶ ζωηρότερον ἐγείρεται, καὶ ἡ εὐαρέστησις φαιδροτέρα, καὶ ἡ κλίσις ἰσχυροτέρα, καὶ ἡ εὐχαριστία θερμοτέρα, καὶ ἡ προσκύνησις βαθυτέρα. Τὰς δὲ εἰρημένας τοῦ Θεοῦ τελειότητας μαρτυροῦσιν ἡ τοῦ σύμπαντος κόσμου δημιουργία, καὶ ἡ συντήρησις αὐτοῦ, καὶ ἡ τῶν ἀνθρώπων διὰ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ γενομένη ἀπολύτρωσις· « Οὕτω γὰρ ἠ-

(α) Matth. ί. 37.

Digitized by Google

γάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε ἔδωκε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον» (α). Διὰ τοῦτο καὶ ὁ ἐπιστήθιος αὐτοῦ μαθητὴς Ἰωάννης λέγει,» Ἡμεῖς ἀγαπῶμεν αὐτὸν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς » (β).

§. 23. *Περὶ τῶν ἰδιωμάτων τῆς πρὸς τὸν Θεὸν ἀγάπης.*

Ἵνα δὲ ἡ πρὸς τὸν Θεὸν ἀγάπη γνησία καὶ λογικὴ ὑπάρχῃ, δέον ἐστὶν εἶναι· ἀ, εἰλικρινῆ· β', καθαρὰν ἀπὸ πάσης ἰδιοτελείας· γ', τρυφερὰν, οἷα ἡ τοῦ ἀγαθοῦ τέκνου πρὸς τὸν ἑαυτοῦ φιλόστοργον πατέρα· δ', πάντων τῶν ἄλλων αἰσθημάτων κατισχύουσαν· ε', ἐνεργὸν καὶ δραστήριον· ς', καρτερικὴν καὶ μόνιμον. Χωρὶς γὰρ τούτων οὐκ ἔστιν ἀγάπη γνησία καὶ ἀληθής. Καὶ εἰλικρινὴς μέν ἐστιν, ἐὰν ἐξ ἀδόλου καρδίας προέρχηται. Τῶν γὰρ ματαίων λόγων, ὅσον ἂν ὦσιν οὗτοι τετεχνευμένοι καὶ εὔηχοι, οὐδὲν τὸ ὄφελος ἐνώπιον τοῦ Θεοῦ τοῦ ἐπὶ μόνην ἐπιβλέποντος τὴν καρδίαν· διὸ καὶ ἡ Γραφὴ λέγει, « Τεκνία μου! μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ, καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐκ τῆς ἀληθείας ἐσμὲν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν « (γ). Καθαρὰ δὲ, ἐὰν μὴ μόνον διὰ τὴν προσδοκίαν ἀγαθοῦ ἢ βοηθείας τινος ἐν ἀνάγκαις, ἀγαπᾷ τὸν Θεόν. Οὕτω γὰρ οὐ τὸν Θεὸν κυρίως, ἀλλὰ τὰς παρ' αὐτοῦ προσδοκωμένας εὐεργεσίας ἀγαπᾷ, διὸ καὶ ὅσῳ μᾶλλον εἰς αὐτὰς ὁ ἀγαπῶν ἀφορᾷ, καὶ ταύτας προσκαίρους τε καὶ σωματικὰς οὔσας αἰτεῖ, τοσούτῳ καὶ ἡ παρ' αὐτοῦ ἀγάπη ἀκαθαρτοτέρα καὶ ἰδιοτελεστέρα

(α) Ἰωάν. γ', 16. 17. (β) Α'. Ἐπιστολ. δ'. 19. (γ) Α. Ἐπιστ. Ἰωάν. γ'. 18.

Digitized by Google

λογίζεται. Τοὐναντίον δὲ, ὅσῳ μᾶλλον ἐν τῇ ἀγάπῃ, τῶν μὲν σωματικῶν καὶ προσκαίρων ὠφελειῶν ὑπερφρονεῖ, ἐπὶ δὲ μόνην τὴν τοῦ Θεοῦ τελειότητα καὶ τὴν πρὸς ἡμᾶς αὐτοῦ ἀγάπην ἀποβλέπει, καὶ ταύτῃ διὰ τῆς θερμῆς ἀγάπης καὶ εὐσεβείας προσκολλᾶται, τοσούτῳ καὶ ἡ ἀγάπη καθαρωτέρα κρίνεται. Καθαρωτάτη μὲν γὰρ καὶ τελειοτάτη κατ' ἰδέαν μόνην ἂν εἴη ἐν τοῖς ἀνθρώποις, πρὸς ἣν ἀδιαλείπτως δεῖ σπεύδειν, κατὰ μικρὸν ἀποκαθαίροντας ταύτην ἀπὸ πασῶν τῶν μὴ καθαρῶν ἐπιθυμιῶν. Καθαρωτάτη δὲ καὶ τελειοτάτη ἀγάπη παρὰ μόνῳ ἐστὶ τῷ Θεῷ, ὡς μηδὲν διὰ τῆς ἀγάπης δεομένῳ προσκτήσασθαι· τῆς δ' ἀνθρωπίνης φύσεως, πολλῶν δεομένης, ἀχώριστός ἐστιν ἡ τῆς ὠφελείας προσδοκία καὶ αἴτησις, πλὴν ὅτι τῶν αἰτουμένων τὰ μέν εἰσι κρείττονα καὶ τιμιώτερα ὡς τῇ ἀθανάτῳ πνευματικῇ αὐτοῦ φύσει προσήκοντα, τὰ δὲ ὡς τῇ σωματικῇ ἥττονά τε καὶ εὐτελέστερα. Διὸ καὶ τοῦ ἀγαπῶντος, ἐὰν εὐθὺς ἄρξηται εἰς τὴν τοῦ Θεοῦ τελειότητα καὶ ἀγαθότητα ἀφορᾷν μᾶλλον, ἢ πρὸς τὴν ἑαυτοῦ ὠφέλειαν, τότε καὶ ἡ ἀγάπη αὐτοῦ προσεγγίζειν ἄρχεται τῇ τελειότητι. Τρυφερὰ δέ ἐστιν ἡ ἀγάπη, καὶ οἵα ἡ τοῦ υἱοῦ πρὸς τὸν πατέρα, ἐπειδὰν μὴ θεωρῶμεν τὸν Θεὸν ὡς τραχὺν καὶ αὐστηρὸν δεσπότην, ἀλλ' ὡς πατέρα εὐμενῆ τε καὶ φιλόστοργον ἀγαπῶμεν εὐλαβούμενοι, μή τι τῶν μὴ ἀρεσκόντων τῇ ἁγιότητι αὐτοῦ πράξωμεν· καὶ οὐκ ἂν ὀρθῶς αὐτὸν ἐγινώσκομεν, εἰ ὡς ἀγαθὰ καὶ χρηστὰ τέκνα πρὸς αὐτὸν διάγοντες, εἶτα περιδεῶς εἰς αὐτὸν ἐντενίζομεν. « Φόβος, φησὶν ὁ ἠγαπημένος μαθητὴς, οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει, ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ (α).» Οὐδέποτε ὄντως τοῖς

(α) Α' Ἐπιστ. δ'. 14.

Digitized by Google

ἀγαθοῖς τῶν τέκνων ἐπέρχεται, ὅτι καὶ δεδιέναι χρὴ τοὺς γονεῖς αὐτῶν, ἀλλὰ τρυφερῶς ἀγαπῶσιν, εἰδότα, ὅτι καὶ ὑπὸ τῶν γονέων οὕτω φιλοῦνται· τὸ δ' αὐτὸ καὶ τοῖς ὄντως ἀγαπῶσι τὸν Θεὸν γίνεται. Δηλοῦται δὲ μόνον ἡ τοιαύτη ἀγάπη τῇ διηνεκεῖ προσοχῇ εἰς τὸ μηδὲν κατά τε τὸ φρόνημα καὶ τὸ πολίτευμα ἀπαρέσκον τῷ φιλουμένῳ παρεισδύσαι, καὶ τοῦτό ἐστιν ὁ κατὰ τοὺς υἱοὺς φόβος, ὃν ὁ ψαλμῳδὸς ἀρχὴν σοφίας καλεῖ. (α) Κατισχύει δὲ ἔτι ἡ πρὸς τὸν Θεὸν ἀγάπη πάντων τῶν ἄλλων αἰσθημάτων, ἐπειδὰν πάντα καὶ τὰ ἐν ἡμῖν καὶ τὰ περὶ ἡμᾶς τῇ πρὸς τὸν Θεὸν ἀγάπῃ ἀφοσιῶνται, καὶ ὑπείκωσι καὶ συντελῶσιν εἰς αὐτήν. Τοῦτο γὰρ ὁ ἰσχυρὸς καὶ ἔντονος τῆς ἐντολῆς λόγος σημαίνει· « Ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. » Ὃς γὰρ ἄν τι ἐν τῷ κόσμῳ, ἐν τῷ οὐρανῷ ἢ ἐν τῇ γῇ σέβηται, ἢ ἀγαπᾷ, ἢ τιμᾷ μᾶλλον τοῦ Θεοῦ, ἢ εἰς τὰ αὐτοῦ ἔργα μᾶλλον ἢ εἰς τὸν Θεὸν ἀφορᾷ, ἢ οὐ πρότερον πάντων τὸ διὰ τοῦ ἁγίου αὐτοῦ νόμου γνωρισθὲν ἡμῖν πανάγιον αὐτοῦ θέλημα τίθηται, οὗτος οὔπω ἀγαπᾷ τὸν Θεὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας, οὔπω ὑπὲρ πάντα τιμᾷ, ἀλλ' ἔτι θεὸν ἔχει τὸ, οὗ μᾶλλον ἐφίεται, καὶ ᾧ μᾶλλον προσέχει. Ἐνεργὸς δέ ἐστιν ἡ πρὸς τὸν Θεὸν ἀγάπη, ὅταν δὶ αὐτὴν ἀκριβῶς τε καὶ προθύμως τὸ πανάγιον αὐτοῦ θέλημα παρ' ἡμῶν ἐκτελῆται κατὰ τὸ παράδειγμα τοῦ Σωτῆρος, ὃς τροφὴν αὐτοῦ ἔλεγεν εἶναι τὸ ποιεῖν τὸ θέλημα τοῦ πατρός· (β) καὶ τῶν ἁγίων ἀγγέλων, περὶ ὧν λέγεται ἐν εὐαγγελίοις, ὅτι « διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς » (γ). Πρὸς τί δὲ βλέπουσιν,

(α) Ψαλμ. ρί. 10. (β) Ἰωαν. δ'. 13. (γ) Ματθ. ιή, 10.

Digitized by Google

εἰμὴ, ἵνα διὰ παντὸς τὸ θέλημα αὐτοῦ ποιεῖν προθύμως ἔχωσι; Διὰ τοῦτο καὶ ἐδίδαξεν ἡμᾶς ὁ Σωτὴρ ἡμῶν διὰ παντὸς προσεύχεσθαι τὸ « Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς! Καρτερικὴ δὲ τελευταῖον καὶ σταθερὰ ὑπάρχει, ὅταν μὴ πρὸς καιρὸν μόνον φαινομένη, πάλιν ταχέως ἀλλοιῶται καὶ ἀφανίζηται, ἀλλὰ διαμένῃ ὡς σταθερὰ καὶ ἀναλλοίωτος διάθεσις, οἵα ἦν ἐν τῷ Χριστῷ τῷ κατὰ πάντα εἰς μίμησιν ἡμῶν ἀρχετύπῳ, ἔτι δὲ καὶ ἐν τῷ μακαρίῳ Παύλῳ τῷ μετὰ τοσούτου ἐνθέου ζήλου λέγοντι καὶ γράφοντι; « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος ἢ μάχαιρα; ... Πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος, οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν (α). » Τοιαύτη δ' ἦν καὶ ἐν πᾶσι τοῖς μαθηταῖς καὶ λατρευταῖς τοῦ Σωτῆρος, ὧν ἡ μνήμη δοξάζεται ἔτι καὶ νῦν, καὶ εἰς ἀεὶ παρὰ τοῖς πιστοῖς δοξασθήσεται. Ταῦτα τοίνυν εἰσὶ τὰ τῆς γνησίας καὶ λογικῆς ἀγάπης πρὸς τὸν Θεὸν ἰδιώματα, οὐκ αὐθαιρέτως καὶ πρὸς τὸ δοκοῦν ἐπινενοημένα, ἀλλὰ τῇ οὐσίᾳ αὐτῆς ἀχωρίστως συνημμένα.

§. 24. *Ὅτι ἡ πρὸς τὸν Θεὸν ἀγάπη ἀδιαλύτως τῷ τοῦ ἀνθρώπου τέλει συνδέδεται.*

Ὕψιστον τοῦ ἀνθρώπου τέλος ἐστὶν ἡ τῆς ἐν ἑαυτῷ θείας εἰκόνος ἐπανόρθωσις, καὶ ἡ πρὸς τὸν Θεὸν ἕνωσις. Πῶς ἂν οὖν ἐπέλθοι τῷ ἀνθρώπῳ, ἢ πῶς ἂν ἐπιθυμήσειεν ἐπανορθώσασθαι τὴν θείαν εἰκόνα, καὶ ἑ-

(α) Ῥωμ. ἡ. 35—39.

Digitized by Google

ξομοιωθεὶς τῷ θεῷ ἑνωθῆναι μετ' αὐτοῦ, μὴ ἀγαπήσας αὐτόν; ἢ πῶς ἂν ὑψωθείη εἰς τὴν πρὸς αὐτὸν ἐξομοίωσίν τε καὶ ἕνωσιν χωρὶς τῆς πρὸς αὐτὸν ἀγάπης; Ἐντεῦθεν ἄρα καὶ ὁ ἀδιάλυτος τοῦ ἡμετέρου τέλους μετὰ τῆς πρὸς τὸν Θεὸν ἀγάπης σύνδεσμος δηλοῦται· χωρὶς γὰρ ταύτης ἀκατανόητον ὅλως ἐκεῖνο καὶ ἀνέφικτον, καὶ τὸ μέγεθος δὲ καὶ τὸ σπουδαῖον τοῦ καθήκοντος εἰς τὸ ἀντέχεσθαι τῆς τοιαύτης ἀγάπης διατρανοῦται. Διὰ τοῦτο τὴν ἀγάπην καὶ ὁ θεῖος Ἀπόστολος παραγγέλλει ἡμῖν διώκειν, « Διώκετε τὴν ἀγάπην » (α). Καὶ τὸ ταύτης ἀναγκαῖον καὶ τὴν μεγίστην αὐτῆς ἀξίαν ἅμα παρίστησι λέγων: « Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον· καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι· καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι » (β). Πάντα δηλονότι τὰ χαρίσματα οἷά δή ποτε, δι' ὧν ἄν τις τὸ ἀγαθὸν πράξειεν, ὀλίγου ἢ καὶ οὐδενός εἰσιν ἄξια, εἰ μὴ ἡ πρὸς Θεὸν ἀγάπη, ἐξ οὗ ταῦτα πηγάζουσι, πᾶσι τούτοις ὡς βάσις ὑπόκειται, τῷ γὰρ μὴ ἀγαπῶντι τὸν ἀπείρου ὄντως ἀγάπης ἄξιον, μᾶλλον δὲ τὴν αὐτοαγάπην, μηδ' εἰς αὐτὸν κατὰ πάντα τὸν βίον ἀποβλέποντι, ἵν' ἐξ αὐτοῦ ἐνισχύηται, πῶς ἄν τις αὐτῷ πιστεύσειεν; ἢ πῶς ἂν μέγα τι καὶ ἀγαθὸν παρ' αὐτοῦ ἐλπίσειεν;

(α) Α'. Κορ. ιδ'. 1. (β) Α'. Κορ. ιγ'. 1—3.

Digitized by Google

§. 25. *Περὶ τοῦ καθήκοντος τοῦ διεγείρειν καὶ ἀναῤῥιπίζειν ἐν ἡμῖν συνεχῶς τὴν πρὸς τὸν Θεὸν ἀγάπην.*

Τὸ διεγείρειν καὶ ἀναῤῥιπίζειν ἐν ἡμῖν τὴν πρὸς τὸν Θεὸν ἀγάπην οὐδὲν ἄλλο βούλεται λέγειν, ἢ ἐπιμελεῖσθαι καὶ προσέχειν τὸν νοῦν, ἵνα γινώσκωμεν ἀκριβῶς πάντα, ἃ ὁ Θεὸς περὶ τῆς ἑαυτοῦ ὑπάρξεως, καὶ τῆς ἀγαθότητος, καὶ τῆς πρὸς ἡμᾶς αὐτοῦ ἀγάπης ἐγνώρισεν ἡμῖν, ὅπως ἡ θέλησις ἡμῶν ὑπὲρ αὐτοῦ διατεθεμένη, ἡδέως πρὸς αὐτὸν καὶ σφοδρῶς ῥέπῃ. Τοῦτο δὲ πράττειν ὀφείλομεν μάλιστα α', ὁσάκις ἂν γνῶμεν ψυχρότητα ἢ ἀδιαφορίαν, ἢ καὶ ἐλάττωσιν ἐν ἡμῖν τῆς ἀγάπης ἐγγιγνομένην β', ὁσάκις διά τινων μεγάλων ἁμαρτημάτων ἀπηλλοτριώθημεν τοῦ Θεοῦ, ἀρνησάμενοι τὴν πρὸς αὐτὸν ἀγάπην γ', ἐν ταῖς ἀσθενείαις καὶ ἐν τοῖς κινδύνοις τοῦ βίου, καὶ ὅπου τις ὁρᾶται μέγα τι ἀγαθὸν ἐργάζεσθαι, ὥστε ἑαυτόν τε καὶ ἄλλους τῇ ἀνακαινίσει τῆς πρὸς Θεὸν ἀγάπης ἐνισχύειν. Τὸ γὰρ ἐν τοῖς τοιούτοις μέλλειν, ψυχρότητος δήπου καὶ ἀδιαφορίας πρὸς τὸν Θεὸν, τὴν αὐτοαγάπην, τεκμήριον, καὶ ἀγνωμοσύνη πρὸς τὰς αὐτοῦ ἀπείρους πρὸς ἡμᾶς εὐεργεσίας. Ἐν γένει δὲ οὐδένα καιρὸν παραλείπειν δεῖ, ἐν ᾧ ἄν τις προσκτήσεσθαί τι κατὰ τὴν γνῶσιν τοῦ Θεοῦ καὶ τὴν μετ' αὐτοῦ κοινωνίαν ἐλπίζοι, ὅπως καὶ ἡ καρδία ἡμῶν ἔμπλεως μᾶλλον τῆς θερμοτάτης ἀγάπης οὕτω γίγνηται, καὶ ὅλη κατὰ μικρὸν κατασχεσθεῖσα ὑπ' αὐτῆς ζωοποιῆται. Ταύτην γὰρ ὄντως, ὡς ἱερὸν πῦρ ἄσβεστον διὰ πάσης ἡμῶν τῆς οὐσίας διήκειν χρὴ, καὶ ἅπαν τὸ φρόνημα καὶ τὸ πολίτευμα περιλαμβάνειν καὶ διορθοῦν καὶ καλλύνειν. Τοῦθ' ἕνεκά φησιν ὁ θεῖος λόγος «Πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω» (α).

(α) Α'. Κορ. ιϛ'. 14.

Digitized by Google

Τὸ γὰρ μὴ ἐν ἀγάπῃ γινόμενον, καὶ οὐδενὸς ἄξιον κατά γε τὴν τῶν πραγμάτων κρείττονα διάγνωσιν. Ἐπεὶ οὖν πάντα τὰ ἐν ἡμῖν μεγάλα καὶ ποικίλα ἀγαθὰ παρὰ τοῦ Θεοῦ ἐστι· πάντα ἄρα καὶ τὰ ὑφ' ἡμῶν πραττόμενα κατὰ τὴν εὐδοκίαν αὐτοῦ χρὴ πράττεσθαι, καὶ πᾶν, ἐν ᾧ ἂν μὴ αὐτὸς εὐδοκοίη, μηδὲ πραττέσθω· καὶ ἡ ἀπόλαυσις δὲ τῶν παρ' αὐτοῦ δεδωρημένων μετ' εὐφροσύνης καὶ εὐχαριστίας πρὸς αὐτὸν γινέσθω. Καὶ τὴν τοιαύτην διάθεσιν δεῖ ἐπικρατεῖν ἀεί, καὶ διὰ πάντων διήκειν, διὰ παντὸς τοῦ βίου μηδέποτε ἀλλοιουμένην, μηδ' ὑφιεμένην κατά τε τὴν ἰσχὺν καὶ τὴν ἐνέργειαν. Ὅταν δὲ μείωσιν ἡ ὕφεσιν ταύτης ἐν ἡμῖν αὐτοῖς ἐννοήσωμεν, ἐπιμελητέον εὐθὺς ἀνακαινίζειν αὐτὴν ά, ἐν ἀρχῇ μάλιστα ἑκάστης ἡμέρας διὰ τῆς προσευχῆς· β', ὅταν σπουδαῖόν τι πράττειν ἐπιχειρῶμεν· γ', ὁσάκις συνειδῶμεν τῆς εὐθείας ὁδοῦ τοῦ θεαρέστου βίου παρεκτραπέντες. Ὃ δὲ ῥᾷστον ἡμῖν καὶ ἥδιστον τοῦτο ἀπεργάζεται, ἐστὶ ά, τὸ ἀεὶ τῆς κατὰ τὸ δυνατὸν τελείας γνώσεως τοῦ Θεοῦ ἐπιμελεῖσθαι. Ὅσῳ γὰρ ἐναργέστερον γινώσκομεν τὸν Θεὸν ὡς ὕψιστον καὶ πανάγαθον Ὄν, καὶ διὰ τοῦτο ἀπείρου ἀγάπης ἄξιον, τοσούτῳ μᾶλλον καὶ ἡ καρδία ἡμῶν ὑπὲρ αὐτοῦ διατίθεται, καὶ πρὸς αὐτὸν ἑλκύεται, καὶ διὰ μνήμης ἔχομεν αὐτόν· β', τὸ συνεχῶς ἀναλογίζεσθαι τὰς πρὸς ἡμᾶς ἀπείρους αὐτοῦ εὐεργεσίας, ἃς ἐκ γενεῶν ἀρχαίων διὰ τὴν ἄφατον αὐτοῦ πρὸς ἡμᾶς ἀγάπην καὶ ἡμῖν αὐτοῖς ἐδωρήσατο καὶ τοῖς οἰκείοις ἡμῖν, καὶ παντὶ τῷ τῶν ἀνθρώπων γένει, καὶ ἀεὶ δ' ἔτι δωρεῖται, καὶ ἐς τοὐπιὸν δωρήσεται κατὰ τὰς ἀψευδεῖς αὐτοῦ ἐπαγγελίας· γ', τὸ μηδέποτε τῶν ἀγαθῶν ἐπιλανθάνεσθαι, ἃ προσγίνεται ἡμῖν ἐκ τῆς πρὸς τὸν Θεὸν ἀγάπης. Τοιαῦτα δ' εἰσὶ ά, ἡ ἐσωτερικὴ ἀγαλλίασις καὶ γαλήνη τῆς ψυχῆς· β', ἡ ἀκλόνητος πεποίθησις ἐπὶ τῇ τοῦ Θεοῦ

Digitized by Google

εὐδοκίᾳ καὶ τῇ ἐν πᾶσι τοῖς δεινοῖς ἀντιλήψει· γ', ἡ περὶ τοῦ μέλλοντος πανευφρόσυνος ἐλπίς, κτλ. Τί γὰρ ἂν ἄλλο ἀναφλέγοι ἐν τῇ ψυχῇ ἡμῶν τὸ τῆς ἀγάπης θεῖον πῦρ, εἰ μὴ ταῦτα;

§. 26. *Περὶ τῶν μὴ προσηκόντων καὶ τῶν ἐναντίων τῇ πρὸς τὸν Θεὸν γνησίᾳ καὶ λογικῇ ἀγάπῃ.*

Ψυχρότης καὶ ἀδιαφορία, ἐν ᾗ οὐδόλως φροντίζει τις, εἰ ἔστι Θεὸς, ἢ οὔ, ἢ τί ἐστι, τῆς σαρκὸς μόνον καὶ τῶν ἐπιθυμιῶν αὐτῆς ἐπιμελούμενος, οὐδαμῶς τῇ γνησίᾳ καὶ λογικῇ ἀγάπῃ τῇ πρὸς τὸν Θεὸν προσήκει. Ἐγγίνεται δ' αὕτη ἢ ἐκ τῆς εἰκαίας καὶ ἐπιπολαίου γνώσεως τοῦ Θεοῦ, ἢ ἐκ τῆς ἄγαν περὶ τὰς ἡδονὰς τοῦ βίου σπουδῆς. Τούτων γὰρ ὄντων, οὐκ ἔστι γνησίαν καὶ εἰλικρινῆ ἀγάπην εὑρεῖν πρὸς τὸν Θεόν. Διὰ ταῦτα εἶπεν ὁ Σωτὴρ ἡμῶν· « Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν » (α)· καὶ ὁ ἐπιστήθιος αὐτοῦ μαθητὴς Ἰωάννης. « Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ » (β). Ἡ γὰρ φιληδονία, ἢ ἡ πλεονεξία, καὶ τὸ ἐξ ὑπερηφανίας μῖσος, ἐμφιλοχωρήσαντα τῇ ψυχῇ, καὶ κρατήσαντα αὐτῆς, παντὸς τοῦ κρείττονος ἐπιλαθέσθαι αὐτὴν καὶ ὀλιγωρεῖν ποιοῦσιν, οὐδὲν οὔτ' ἀκούειν περὶ αὐτοῦ, οὔτε βλέπειν ἐθέλουσαν. Τοῦτο καὶ ἐκ τῆς πείρας γινώσκεται, καὶ ὑπὸ τῆς ἱστορίας βεβαιοῦται. Προσεκτέον ἄρα, μή τις ὑπὸ τῆς λύμης ταύτης τῶν ἀνθρώπων παραχθῇ. Ἐναντία δὲ ὅλως τῇ γνησίᾳ ἀγάπῃ ὑπάρχουσιν ἥ τε καταφρόνησις καὶ τὸ ἐκ δυσαρεσκείας μῖσος. Ταῦτα γάρ εἰσιν ἀποστροφὴ ὄντως ἀπὸ τοῦ Θεοῦ καὶ γνώμη φαύλη κατ' αὐτοῦ, ἔκ τε τοῦ ἀκολάστου βίου, καὶ τῆς εἰς τὰ αἰ-

(α) Ματθ. ς'. 24. (β) Α'. Ἐπιστ. ε'. 15—17.

Digitized by Google

σθητὰ προσκολλήσεως γινομένη. Ὁ γὰρ ὑπ' αὐτῶν καταγοητευθεὶς, ἀταράχως τε καὶ ἀκωλύτως ἐπιθυμεῖ κορεσθῆναι τῆς αὐτῶν ἀπολαύσεως, ὑπὸ δὲ τοῦ θείου νόμου πολλαχοῦ κωλυόμενος, ἄρχεται ἐπιθυμῶν ἐν τῇ καρδίᾳ αὐτοῦ, εἰ οἷόν τε ἦν, μὴ εἶναι Θεὸν, μήτε νόμον Θεοῦ τὸν ἐν τῇ ἀπολαύσει κωλύοντα αὐτόν· μισεῖ δ' ἀμφότερα, καὶ ἐνδομύχως ἀποστρέφεται. Διὸ λέγει ὁ θεῖος Ἰάκωβος, «Οὐκ οἴδατε, ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ Θεοῦ ἐστίν; ὃς ἂν οὖν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται» (α). Ὅπου οὖν ταῦτα ὑπάρχει, οὐκ ἔτι γνώμην ἀγαθὴν περὶ τοῦ Θεοῦ, οὔτε κλίσιν μεθ' ἡδονῆς καὶ εὐαρεστήσεως ἔστιν εὑρεῖν, ἄρα οὔτε ἀγάπην.

§. 27. *Περὶ τῶν χαρακτήρων τῆς γνησίας καὶ λογικῆς πρὸς τὸν Θεὸν ἀγάπης.*

Τέσσαρες ἐκ παλαιοῦ ἠριθμοῦντο οἱ τῆς γνησίας ἀγάπης πρὸς τὸν Θεὸν χαρακτῆρες· ἀ, ὁ κατὰ τοὺς υἱοὺς φόβος· β', ἡ πρὸς τὴν τελειοτέραν ἐπίγνωσιν τοῦ Θεοῦ καὶ πρὸς τὴν μετ' αὐτοῦ ἕνωσιν τελεία σπουδή· γ', ἡ εἰς τὰς ἁγίας αὐτοῦ ἐντολὰς καὶ ὅλως εἰς τὸ πανάγιον αὐτοῦ θέλημα πρόθυμος ὑπακοή· δ', ἡ ἄδολος φιλαδελφία. Ὅπου γὰρ ταῦτα φαίνονται, τεκμήρια εἰσὶ τῆς ὑπάρξεως τῆς γνησίας καὶ τελείας ἀγάπης τῆς πρὸς τὸν Θεόν· χωρὶς δὲ τούτων, οὐδεμία ὑπάρχει ἀληθὴς καὶ γνησία ἀγάπη· διὸ καὶ ἐροῦμέν τινα ἰδίως περὶ ἑκάστου τούτων.

§. 28. *Περὶ τοῦ κατὰ τοὺς υἱοὺς φόβου.*

Εὐλόγως πάνυ ὁ χαρακτὴρ οὗτος τῆς πρὸς τὸν Θεὸν

(α) Ἐπιστ. δ'. 4.

Digitized by Google

γνησίας καὶ λογικῆς ἀγάπης προτάττεται τῶν λοιπῶν· αὐτῷ γὰρ καὶ οἱ λοιποὶ ἐπερείδονται, καὶ ἀρχὴν σοφίας αὐτὸν ὁ Προφητάναξ καλεῖ (α). Ὅπερ δηλοῖ, ὅτι τότε ἄρχεταί τις τοῦ εἶναι λογικός τε καὶ συνετὸς, ἐπειδὰν τὸν υἱϊκὸν φόβον ἄρξηται τρέφειν ἐν τῇ καρδίᾳ αὐτοῦ ὡς ἱερὰν φλόγα. Ἔστι δὲ καὶ ἄλλος παρὰ τοῦτον, ὃς καλεῖται δουλικὸς, οὓς ἀναγκαῖον διακρίνειν ἀπ' ἀλλήλων, ὡς διαφόρου τιμῆς καὶ ἀξίας ὄντος ἑκατέρου. Καὶ δουλικὸς μὲν φόβος ἐστὶν, ἐπειδάν τις περιδεῶς τε καὶ ἐναγωνίως φρίττῃ καὶ τρέμῃ ἐνώπιον τοῦ Θεοῦ, μηδὲν ὀρθὸν ἢ ἀρεστὸν αὐτῷ κατεργάσασθαι οἰόμενος, καὶ φρονῶν περὶ αὐτοῦ, ὅτι ἐν ὀργῇ ἀεὶ διατελεῖ, καὶ χολάζει, καὶ πλήσσει πανταχοῦ, ὅπου ἂν μὴ γίνηταί τι αὐτῷ εὐάρεστον, καὶ ἀνηλεῶς πᾶσι χρῆται. Ὀρθῶς δὲ καλεῖται δουλικὸς, ὡς παραπλήσιος τῷ φόβῳ τῶν δούλων, οἵτινες τὸν ἑαυτῶν δεσπότην ἰταμόν τε καὶ ὀξύχολον γινώσκοντες, ὀρρωδοῦσιν ἀεὶ καὶ ὑποπτήσουσι, καὶ πράττουσι μὲν τὰ παραγγελλόμενα, καὶ ἀπέχουσιν ὧν ἂν κελευσθῶσιν, ἀλλὰ παρὰ γνώμην καὶ μετά τινος ἐναντιότητος. Ἄσμενοι δὲ, εἰ μὴ ἐφοβοῦντο, ἄλλως ἂν ἔπραττον, νῦν δὲ πράττουσιν οὕτω, ἵνα μὴ δίκην τῆς ἀπειθείας καὶ παρακοῆς τίσωνται. Τίνος δ' ἂν εἴη ἀξία ἡ τοιαύτη ἐκ φόβου ὑπακοή; Οὐδενὸς δήπου. Ὁ γὰρ οὕτως ἔχων, ἀπρόσεῖσαι ἀεὶ τὸν ζυγὸν ἕτοιμος, ἐπειδὰν ἐλπίσῃ μόνον διαφεύξεσθαι τὴν ποινὴν, ἀλλὰ καὶ μὴ ἐλπίζων, ὀάκνει τὸ χεῖλος ὑπὸ τῆς λύπης καὶ τῆς ἀγανακτήσεως, καὶ ἀπονενοημένως καταρᾶται τὸ πεπρωμένον. Τοιοῦτος δὲ φόβος οὔτε τῷ Θεῷ πρέποι ἂν, οὔτε τοῖς ἀνθρώποις ὡς λογικοῖς. Ὁ μὲν γὰρ Θεὸς οὐ βούλεται ὁρᾶν περὶ ἑαυτὸν δούλους γογγύζοντας, καὶ ἀ-

(α) Ψαλμ. ριί. 10.

Digitized by Google

σχάλλοντας, καὶ τεθλιμμένους, ἀλλὰ τέκνα χρηστὰ, χαίροντα καὶ ἀγαλλόμενα ἐπὶ τῇ ἀῤῥήτῳ τοῦ οὐρανίου πατρὸς αὐτῶν ἀγαθότητι καὶ εὐμενείᾳ, καὶ οὐκ ἂν ὀρθῶς ἐγινώσκομεν αὐτὸν, φρονοῦντες, ὅτι βούλεται ἡμᾶς περιδεῶς ἔχειν πρὸς αὐτὸν ὡς δεσπότην χαλεπὸν καὶ πικρόν· αὐτὸς δὲ ἀγαπᾶσθαι μᾶλλον ὡς πρᾷος καὶ φιλόστοργος πατὴρ εὐδοκεῖ. Τοῦτο δ' ἐστὶ τὸ πανάγιον αὐτοῦ θέλημα, ἀφορᾷν ἀεὶ ἐν πᾶσιν, οἷς πράττομεν, κατὰ πάντα τὸν βίον εἰς τὸ ὄντως ἀγαθὸν, καὶ δίκαιον, καὶ εὐπρεπὲς, καὶ τούτου μὲν ἀεὶ ἐπιμελεῖσθαι, φεύγειν δὲ τοὐναντίον καὶ ἀποδιοπομπεῖσθαι, καὶ ταῦτα πρὸς εὐαρέστησιν αὐτοῦ τοῦ πανταγάθου πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς ἐκ σεβασμοῦ καὶ ἀγάπης θερμῆς καὶ καθαρᾶς πρὸς αὐτόν. Οὗτός ἐστιν ὁ κατὰ τοὺς υἱοὺς φόβος· τοῦτο τὸ λεπτὸν καὶ τρυφερὸν αἴσθημα, καὶ ἡ προσοχὴ τοῦ ἀγαθοῦ τέκνου, τοῦ πανταχοῦ περιβλέποντος, μή τι ἀπαρέσκον τῷ ἀγαπωμένῳ πατρὶ γένηται, ἀλλὰ μόνον τὸ ἀρεστὸν αὐτῷ. Ὅλως οὖν διάφορον τοῦτο καὶ πολλῷ κρεῖττόν τε καὶ εὐγενέστερον τοῦ πανικοῦ καὶ ἐναγωνίου τρόμου, ὃν δουλικὸν φόβον ὠνομάσαμεν. Οὗτος ὁ φόβος ἐστὶν ἀρχὴ τῆς σοφίας· εὐθὺς γὰρ, οὕτω πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν ἐνάρετον βίον διατεθέντες, ἀρχόμεθα καὶ εὐθεῖς γίνεσθαι, καὶ εὐσταθεῖς τὴν γνώμην, καὶ κυρίως λογικοὶ καὶ σοφοὶ, μὴ ἀσκόπως βιοῦντες, μηδὲ κατὰ τὸ ἐπὶ τοῦ τέγους ἀνεμούριον ῥεμβόμενοι. Πῶς γὰρ ἂν ἄλλως κληθείη, ἡ σοφία, τὸ πόῤῥω μὲν πάσης ἄλλης ἐπιθυμίας καὶ σκοποῦ γίνεσθαι, ἐπὶ δὲ μόνον τὸ εὐθὲς καὶ ὄντως ἀγαθὸν καὶ εὐπρεπὲς τείνειν, καὶ τοῦτο θηρεύειν, καὶ ὑπὲρ αὐτοῦ ἀγωνίζεσθαι, πᾶν δὲ τὸ ἄλλως ἔχον φοβεῖσθαι καὶ φεύγειν; καὶ ταῦτα, ἵνα πανταχοῦ εὐθὺς ᾖ, καὶ τῆς παρὰ τῷ Θεῷ τῷ ἐν τούτοις εὐδοκοῦντι δόξης ἀξιωθῇ; Οὕτω τοίνυν ὁ κατὰ

Digitized by Google

τοὺς υἱοὺς φόβος, ὅπου ἂν ᾖ, βλαστός ἐστι τῆς ἀγάπης, καὶ μετ' αὐτῆς καὶ ἐπ' αὐτῇ συντηρεῖται, ὡς ὁ κλάδος ἐπὶ τοῦ στελέχους, διὸ καὶ χαρακτὴρ οὐσιώδης ἐστὶ τῆς γνησίας καὶ λογικῆς ἀγάπης.

§. 29. *Πῶς ἂν τις τὸν τοῦ Θεοῦ φόβον κτήσαιτο;*

Ὥσπερ ἡ γνῶσις, ὅτι ὁ Θεός ἐστι πατὴρ ἡμῶν πανάγαθος, καθ' ἑκάστην συντηρῶν καὶ διατρέφων ἡμᾶς εὐμενῶς, καὶ ὡς κόρην ὀφθαλμοῦ φυλάττων, καὶ ἐν ταῖς ἀνάγκαις σὺν τῇ ἀπείρῳ αὐτοῦ δυνάμει τε καὶ σοφίᾳ καὶ ἀγαθότητι παριστάμενος, ἕλκει τὰς καρδίας ἡμῶν πρὸς αὐτὸν καὶ ἰσχυρῶς δεσμεύει, ὅπερ ἐστὶν, ἐμπνέει τὴν πρὸς αὐτὸν ὀφειλομένην εὐσέβειαν καὶ λατρείαν· οὕτω καὶ ἡ ἐνθύμησις, ὅτι ἀδιαλείπτως ἐν παντὶ καιρῷ παρίσταται ἡμῖν, θεωρῶν πᾶσαν ἡμῶν τὴν προαίρεσιν καὶ τὰς πράξεις, καὶ ὅτι οὐκ ἀδιάφορος αὐτῶν ἐστι θεατὴς, ἀλλὰ καὶ κριτὴς ἀδέκαστος καὶ μισθαποδότης, προσεκτικωτέρους ἡμᾶς ἀπεργάζεται, ὅπως μηδὲν ἀπαρέσκον, ἀλλὰ τὸ ἀρεστὸν μόνον αὐτῷ πράττωμεν, ὅπερ ἐστὶν, ἐμβάλλει ἐν ταῖς καρδίαις ἡμῶν τὸν κατὰ τοὺς υἱοὺς σωτήριον φόβον τοῦ Θεοῦ. Ἐθιζέσθω οὖν πᾶς τις καὶ οὕτω γινώσκειν καὶ θεωρεῖν τὸν Θεὸν, ὡς ἀεὶ δηλονότι παριστάμενον ἡμῖν μάρτυρα παντεπόπτην καὶ πασῶν τῶν πράξεων ἡμῶν ἀδέκαστον καὶ ἀπροσωπόληπτον μισθαποδότην· καὶ τὸ εὐσεβὲς τοῦτο φρόνημα συνεχῶς ἀνακαινιζέτω, καὶ ἐπιμελείσθω ἅμα τῆς κατὰ τὸν βίον ὀρθότητος καὶ ἀκριβείας. Οὕτω γὰρ καὶ ὁ θεῖος φόβος ἐπὶ μᾶλλον καὶ μᾶλλον τῇ ψυχῇ ἡμῶν ἐγχωρεῖ, παρέχων ἡμῖν ἐν μὲν τοῖς δεινοῖς θάρρος καὶ ἀφοβίαν, ἐν δὲ τῇ ἀρετῇ προκοπὴν καὶ στερέωσιν, ἐν δὲ τῇ ψυχῇ γαλήνην τε καὶ ἀνάπαυσιν ἡδεῖαν, καὶ εὐχαρίστη-

Digitized by Google

στιν, σὺν δὲ τούτοις καὶ ἡ τοῦ Θεοῦ ἀσφαλὴς εὐδοκία, καὶ ἡ περὶ τοῦ μέλλοντος φαιδρὰ καὶ ἀκαταίσχυντος ἐλπὶς παρακολουθεῖ ἡμῖν. Ὅσῳ γὰρ μᾶλλον αὔξει καὶ κραταιοῦται ἐν ἡμῖν ὁ θεῖος οὗτος φόβος, τοσούτῳ καὶ τὰ τοιαῦτα ἔπαθλα προδηλότερα φαίνεται.

§. 30. *Ὅτι δεύτερος χαρακτὴρ τῆς πρὸς τὸν Θεὸν γνησίας καὶ λογικῆς ἀγάπης ἐστὶν ἡ πρὸς τὴν ἐναργεστέραν γνῶσιν καὶ στενωτέραν κοινωνίαν μετὰ τοῦ Θεοῦ διηνεκὴς σπουδή.*

Καθάπερ ἡ ὀρθὴ γνῶσις τοῦ Θεοῦ ἐντίκτει τὴν εὐσέβειαν καὶ τὴν ἀγάπην καὶ τὸν φόβον τοῦ Θεοῦ, οὕτω πάλιν καὶ ταῦτα, εἰσχωρήσαντα ἅπαξ εἰς τὴν ψυχὴν, οὐκ ἄπρακτα διατελοῦσιν, ἀλλ' ἀναγκάζουσιν αὐτὴν διηνεκῶς εἰς τὴν ἐναργεστέραν ἐπίγνωσιν αὐτοῦ, καὶ τὴν στενωτέραν κοινωνίαν πρὸς αὐτόν. Διὰ τοῦτο, ὅσῳ ἐπαισθητοτέρα ἐστὶν ἡ πρὸς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ σπουδὴ, τοσούτῳ καὶ ἡ παρουσία τῆς εἰλικρινοῦς εὐσεβείας, καὶ τῆς ἀγάπης καὶ τοῦ φόβου πρὸς αὐτὸν μᾶλλον βεβαιοῦται, ὥσπερ καὶ τοὐναντίον. Τοιαύτη ἐφαίνετο ἀνέκαθεν ἐν πᾶσι τοῖς ὄντως ἀγαπῶσι τὸν Θεόν. Οὕτως ἔκραζεν ὁ Δαυίδ· « Ὡς ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; » (α) Ὁ δὲ θεῖος Παῦλος « Ἐκ μέρους, φησὶ, γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν, ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται » (β). Προβαίνοντες δὲ εἰς τὴν γνῶσιν, προβαίνομεν καὶ εἰς τὴν εὐσέβειαν, καὶ εἰς τὴν ἀγάπην, καὶ εἰς τὸν φόβον τοῦ Θεοῦ, ἀλλὰ καὶ ἀμοιβαίως

(α) Ψαλμ. μβ. 2. (β) Α'. Κορ. ιγ'. 10.

Digitized by Google

ὅσῳ μᾶλλον εἰς ταῦτα προβαίνομεν, τοσούτῳ καὶ ἐπιγινώσκειν ἐγγύτερον τὸν Θεὸν ἐπειγόμεθα, καὶ σταθερώτερον αὐτῷ προσκολλᾶσθαι.

§. 31. *Τρίτος χαρακτὴρ τῆς πρὸς τὸν Θεὸν γνησίας καὶ λογικῆς ἀγάπης, ἡ τ�ῳ νόμῳ καὶ τῷ θελήματι αὐτοῦ πρόθυμος ὑπακοή.*

« Αὕτη ἐστὶν ἡ ἀγάπη τοῦ Θεοῦ, διδάσκει ὁ μακάριος Ἰωάννης (α), ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Ὁ λέγων, ἔγνωκα αὐτὸν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστὶ, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν.» Ὁ τηρῶν ἄρα τὰς ἐντολὰς αὐτοῦ ἀκριβῶς, οὗτος ἐπὶ τὸ τέλειον τῆς γνησίας ἀγάπης προβέβηκεν ἤδη. Τί γὰρ ἄλλο καὶ ἐν τῷ πατριάρχῃ Ἀβραὰμ μάλιστα θαυμάζεται, ἢ ἡ ἀδίστακτος αὐτοῦ πίστις καὶ ἡ πρὸς τὸ γνωσθὲν αὐτῷ θέλημα τοῦ Θεοῦ τελειοτάτη ὑπακοή; Διὰ τοῦτο καὶ ὁ Σωτὴρ ἡμῶν οὕτω καθ' ἑκάστην προσεύχεσθαι πρὸς τὸν Θεὸν ἐνετείλατο· « Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.» Οὐδὲν γάρ ποτε οὔτε ἐπιθυμήσαιμεν ἂν, οὔτε κτησαίμεθα κρεῖττον τοῦ κατὰ τὸ θεῖον θέλημα καὶ κατὰ τὰς ἐντολὰς τοῦ ἁγίου αὐτοῦ νόμου προσγινομένου ἡμῖν. Πάνσοφος γὰρ ὢν ὁ Θεὸς καὶ πανάγαθος, καὶ γινώσκει τί τὸ ἡμῖν συμφέρον καὶ ἀναγκαῖον, καὶ βούλεται τοῦτο ἡμῖν ἀεὶ προσγίνεσθαι· διὰ τοῦτο καὶ λογικώτατα πράττομεν τῇ αὐτοῦ εὐδοκίᾳ συγκατατιθέμενοι, καὶ ἅμα γνωσθείσῃ ἡμῖν ὑπακούοντες. Ἀλλ' ἐρεῖ τις.» Τίς ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβου-

(α) Α'. Ἐπιστολ. ἐ. 3. καὶ 6'. 3—5.

Digitized by Google

λος αὐτοῦ ἐγένετο;» (α) Εἰς τοῦτο ἀποκρίνεται ἡ θεία Γραφὴ λέγουσα· «Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν (β).» Καὶ νῦν οὖν ἔτι ἀναγγέλλει πᾶσι τοῖς ἀκούειν βουλομένοις τὸ πανάγιον αὐτοῦ θέλημα ἀ, διὰ τῆς σχέσεως ἡμῶν τῆς πρὸς αὐτὸν, καὶ πρὸς τὸν πλησίον καὶ πρὸς πάντα τὰ περὶ ἡμᾶς· β', διὰ τῆς ἡμετέρας συνειδήσεως· γ', τρανώτατα δὲ μάλιστα διὰ τοῦ γραπτοῦ λόγου καὶ τῆς ἐν τῇ ἐκκλησίᾳ διδασκαλίας· δ', διὰ τοσούτων πραγμάτων καὶ συμβεβηκότων παραδόξων. Ἐκ πάντων οὖν τούτων πᾶσι τοῖς προσέχουσι τὸ πανάγιον αὐτοῦ θέλημα καταγγέλλεται. Δεῖ δὲ τὴν ὑπακοὴν ἡμῶν ταύτην εἶναι σταθερὰν, καὶ τελείαν, καὶ καρτερικὴν, ἐκ τῆς ἀγάπης γεννωμένην, καὶ πρόθυμον, ὥστε πάντα κατὰ τὸ θέλημα αὐτοῦ καὶ ποιεῖν καὶ φεύγειν, κἂν βαρέα δοκῇ καὶ ὀχληρὰ τῇ σαρκί. «Ὅς τις γάρ, φησιν, ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος· ὁ γὰρ εἰπών· μὴ μοιχεύσῃς, εἶπε καὶ μὴ φονεύσῃς· εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις δὲ, γέγονας παραβάτης νόμου (γ).» Καὶ ὁ Σωτὴρ ἡμῶν· «Ὅς ἂν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν (δ).» Οὐ θέμις τοίνυν ἐξαιρέσεις ποιεῖν, ὥστε τὰ μὲν ἀποδεχόμενον τηρεῖν, τὰ δὲ ἀπορρίπτοντα μὴ ὑπακούειν· τοῦτο γὰρ ὑπεύθυνον ἀποδείκνυσι τὸν ἄνθρωπον τῇ τοῦ Θεοῦ σοφίᾳ καὶ ἀγαθότητι.

(α) Ῥωμ, ιέ. 34. (β) Ἑβρ. ά. 1. (γ) Ἰακ. β'. 10. (δ) Ματθ. έ. 9.

Digitized by Google

§. 32. *Τέταρτος χαρακτὴρ τῆς πρὸς Θεὸν ἀγάπης, ἡ ἄδολος φιλαδελφία.*

Πάλιν ἡ θεία Γραφὴ καὶ περὶ τούτου λέγει· « Ἐάν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν. Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν, ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν; » (α) Οἱ πάντες ἐλάβομεν παρὰ τοῦ Θεοῦ τὸ ζῆν καὶ τὸ εἶναι, κατ' εἰκόνα αὐτοῦ πλασθέντες, καὶ πρὸς τὴν ἐξομοίωσιν αὐτοῦ κληθέντες, καὶ τῷ τιμίῳ αἵματι τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ λυτρωθέντες, καὶ διηνεκῶς τῆς πατρικῆς αὐτοῦ προνοίας καὶ ἀγαθότητος ἀπολαύοντες. Ἐὰν οὖν θεωρῶμεν οὕτω τὸν πλησίον ὡς τέκνον τοῦ Θεοῦ, καθάπερ καὶ ἡμεῖς αὐτοὶ, καὶ κατ' εἰκόνα καὶ ὁμοίωσιν πεπλασμένον, καὶ λελυτρωμένον τῷ αὐτῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ, καὶ διὰ ταῦτα τιμῶμεν καὶ ἀγαπῶμεν αὐτὸν, τότε ἡ φιλαδελφία ἡμῶν τυγχάνει ἀποκύημα τῆς πρὸς τὸν Θεὸν ἀγάπης ἡμῶν, ὡς εἰς τὸ ἐν τῇ ἀνθρωπίνῃ φύσει θεῖον ἀναφερομένη. Διαφέρει δ' ὅλως, ὅταν εἰς τὰ πρόσκαιρα αὐτοῦ πλεονεκτήματα ἀφορῶντες, καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν θηρεύοντες, ἢ τῷ κάλλει αὐτοῦ ἀρεσκόμενοι, ἀγαπῶμεν αὐτόν. Τοιαύτη γὰρ ἀγάπη, εἰ καὶ ἀξία ὅλως οὕτω καλεῖσθαι, οὐκ ἔστι τῆς πρὸς Θεὸν ἀγάπης ἡμῶν τεκμήριον, ἀλλὰ καὶ πολλάκις αὐτῇ ἀντίκειται. Μόνη ἄρα ἡ ἄδολος καὶ ἀφιλοκερδὴς φιλαδελφία τεκμήριον καὶ χαρακτὴρ ἀψευδὴς ἐστι τῆς ὄντως γνησίας ἀγάπης εἰς τὸν Θεόν· διὸ καὶ ταύτην διωκέτω πᾶς τις, θεωρῶν τὸ ἐν τῇ ἀνθρωπίνῃ φύσει θεῖον, καὶ φιλῶν καὶ τιμῶν αὐτό.

(α) Ἰωάν. Α'. Ἐπιστ. δ'. 20.

Digitized by Google

§. 33. Ὁ γινώσκων τὸν Θεὸν, καὶ μακάριον ἑαυτὸν ἐπὶ τούτῳ ἡγούμενος, καὶ, ἡλίκον ἀγαθὸν καὶ γινώσκει καὶ κέκτηται ὄντως ἐν αὐτῷ, διακρίνων, οὐ δύναται μὴ χαίρειν ἐπ' αὐτῷ, καὶ τὴν χαρὰν ταύτην διὰ τῆς φανερᾶς εὐαρεστήσεως ἐκδηλοῦν. Ὁ γὰρ Θεὸς ἐστιν ἡ ἄπειρος δύναμις καὶ σοφία, καὶ ἀγαθότης, καὶ πίστις καὶ δικαιοσύνη, καὶ ἁγιωσύνη, ἐφ' ἣν ἐν παντὶ καιρῷ, καὶ ἐν αὐτῇ τῇ αἰωνιότητι πεποιθέναι δύναται. Ἡλίκον αἴτιον χαρᾶς καὶ ἀγαλλιάσεως! Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, ὁ δὲ λόγος αὐτοῦ μένει πιστὸς καὶ ἀναλλοίωτος! Καὶ τίς οὐκ ἄν ἐξ ὅλης ψύχῆς καὶ καρδίας τῷ τοιούτῳ προσκολληθείη, ἅμα αὐτὸν γνούς; ἢ τίς οὐκ ἂν ἡγήσαιτο ἑαυτὸν μακάριον, διότι ἔγνω αὐτόν; ἢ τίς οὐκ ἂν χαίροι σκιρτῶν καὶ ἀγαλλόμενος ἐπὶ τῇ τοιαύτῃ γνώσει καὶ μακαριότητι; Διὸ καὶ ὁ μακάριος Παῦλος καλεῖ πάντας ἐπὶ τὴν χαρὰν ταύτην, λέγων· «Χαίρετε ἐν Κυρίῳ, πάλιν ἐρῶ, χαίρετε!» Ἡ δὲ τοιαύτη ἐν Θεῷ χαρὰ μόνῃ τῇ τοῦ Θεοῦ ἀκριβεστέρᾳ ἐπιγνώσει τυγχάνει ἐφικτὴ, καὶ οὐκ αὐτίκα, ἀλλὰ κατὰ μικρὸν, ὅσῳ συνεχέστερόν τε καὶ ὀρθότερον τὰς πηγὰς τῆς γνώσεως ἐρευνᾷ, καὶ τὴν ἐν τῷ Παντὶ ἀρίστην οἰκονομίαν ὀξυδερκῶς θεωρεῖ, καὶ τὰ βουλεύματα καὶ τὰ ἔργα τῆς τὰ πάντα πανταχοῦ διεπούσης προνοίας ὡριμώτερον ἀναλογίζεται. Διὰ ταύτης τῆς ὁδοῦ ἄνέκαθεν πάντες οἱ μακάριοι καὶ θεοφιλεῖς ἄνδρες ἐπὶ τὴν καθαρὰν καὶ ὑψηλὴν τοῦ Θεοῦ γνῶσιν ἀφίκοντο, ἐξ ἧς ἡ ἐν αὐτοῖς ἐσωτερικὴ γαλήνη καὶ ἡ ἐν Θεῷ χαρὰ δαψιλὴς ἐπήγαζε. « Κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς! (α) » ἔκραζεν ὁ μακάριος Δαυὶδ, ἔμπλεως ὢν τῆς τοιαύτης εὐφροσύνης καὶ ἀγαλλιάσεως. Τοσούτῳ δὲ κρεῖττον τὸ αἴσθημα τοῦτο τυγχάνει, καὶ

(α) Ψαλ. ξϛ'. 4.

Digitized by Google

μείζονος ἀξίας, ὅσῳ ἂν διαρκέστεραν εἴη, καὶ ἐπὶ τὸν ἐνάρετον βίον προάγοι. Γεννᾶται δ' ἐξ αὐτοῦ, καὶ ἀχωρίστως αὐτῷ συνῆπται ἁ, ἡ ἐλπὶς, ὡς βεβαία προσδοκία πολλῶν παρὰ τοῦ Θεοῦ ἀγαθῶν· β'. ἡ ἐπὶ τοῖς παροῦσιν, οἷα δήποτ' ἂν ὦσι, τελεία εὐαρέστησις.

§. 34. *Περὶ ἐλπίδος ἐν γένει.*

Καθόλου μὲν ἡ ἐλπὶς, ὡς τῷ φόβῳ ἀντίθετος, εἰς ἐφετὸν οὔπω κατεχόμενον, ἀλλὰ βεβαίως προσδοκώμενον ἀναφέρεται, ὥσπερ ὁ φόβος, εἰς κακὸν, ὃ δὴ οὔπω μὲν ἐπῆλθεν, ἄφυκτον δὲ δοκεῖ. Ὥστε ἡ ἐλπὶς ἐστιν εὐφρόσυνον αἴσθημα ἐξ ἀσφαλοῦς καὶ εὐλόγου προσδοκίας τῆς ἀγαθοῦ τινος ἐπιτεύξεως γεννώμενον· Ὅσῳ δὲ μεῖζον, καὶ ἀναγκαιότερον, καὶ βεβαιότερον τὸ προσδοκώμενον, τοσούτῳ καὶ ἡ ἐλπὶς στἀθερωτέρα, καὶ ἡ χαρὰ ζωηροτέρα γίνεται· βαθμὸς δέ τις ἀνώτερος τῆς ἐλπίδος καλεῖται πεποίθησις. Ἰδίως δὲ ἡ κατὰ Χριστὸν ἐλπὶς διαφέρει πάσης ἄλλης ἐλπίδος ἁ, τῷ λόγῳ, ἐξ οὗ γεννᾶται· β', τοῖς πράγμασι τοῖς ἐλπιζομένοις· γ', τοῖς αἰτίοις, ἃ τὸ βέβαιον καὶ σταθερὸν τῇ ἐλπίδι παρέχουσι· δ', τῇ ἰσχύϊ, ἣν ἐπὶ τὸν βίον καὶ τὴν ἀνάπαυσιν τοῦ ἀνθρώπου κέκτηται. Καὶ λόγος μὲν, ἐξ οὗ ἡ ἐλπὶς, εἰσιν αἱ θεῖαι ἐπαγγελίαι, αἱ ὑπὸ τοῦ Σωτῆρος ἡμῶν κηρυχθεῖσαι, καὶ ἡ ἰσχυρὰ αὐτοῦ πρὸς τὸν πατέρα μεσιτεία, καὶ ἡ πανύψιστος ἀξία παρὰ τῷ Θεῷ καὶ πατρὶ, ᾧ διήλλαξε διὰ τοῦ ἰδίου αἵματος τὴν ἀνθρωπότητα. Ἐλπιζόμενα δὲ ἁ, ἡ τελεία τῶν ἁμαρτιῶν ἄφεσις (a)· β', ἡ κραταιὰ αὐτοῦ βόηθεια κατὰ τὴν σπουδὴν ἡμῶν εἰς ὃ ἐκλήθημεν· γ', ἡ πανευμενὴς ἀντίλη-

(a) Ματθ. ιή. 24—25.

Digitized by Google

ψις καὶ σκέπη ἔν τε ταῖς σωματικαῖς, καὶ ἐν ταῖς πνευματικαῖς ἡμῶν ἀνάγκαις· δ', ἡ αἰώνιος μακαριότης, ὑφισαμένη ἐν τῇ μετ' αὐτοῦ κοινωνίᾳ καὶ τῇ μετὰ τῶν ἁγίων ἀγγέλων, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνος αὐτῷ εὐαρεστησάντων. Τὰ δὲ τὸ βέβαιον καὶ ςαθερὸν τῇ τῶν χριστιανῶν ἐλπίδι παρέχοντα, εἰσὶν αἱ τοῦ Θεοῦ ἄπειροι τελειότητες, ἤτοι ἡ παντοδυναμία, ἡ σοφία, ἡ ἀγαθότης, ἡ δικαιοσύνη, καὶ ἡ ἁγιωσύνη. Ὡς μὲν γὰρ παντοδύναμος, πλούσιός ἐστι πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, καὶ προσανέχουσιν αὐτῷ· ὡς δὲ πάνσοφος, πάσας ἑκάστου τὰς ἀνάγκας γινώσκει, καὶ πόσον ἑκάστῳ ὠφέλιμον βοηθῆσαι· ὡς δὲ πανάγαθος, τὸ ὠφέλιμον ἀεὶ μόνον παρέχει. Τοῦτο τρανῶς ἐπηγγείλατο ὁ Θεὸς, λέγων « Οὐ μή σε ἀνῶ, οὐδ' οὐμή σε ἐγκαταλίπω. » (α) καὶ ἐν Ἡσαΐᾳ· (β) « Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς; ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔγγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος. » Ὅτι δὲ πιστός ἐστι πάσαις ταῖς διὰ τῶν ἁγίων αὐτοῦ Προφητῶν καὶ διὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ δοθείσαις ἡμῖν ἐπαγγελίαις, βεβαιοῖ ἡμᾶς ἡ πανάμωμος αὐτοῦ δικαιοσύνη τε καὶ ἁγιωσύνη· « Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. » Ἡ ὑψίστη παντοδυναμία σὺν τῇ ἀπείρῳ σοφίᾳ καὶ ἀγαθότητι καὶ δικαιοσύνῃ καὶ ἁγιωσύνῃ διέπει οὕτω καὶ κυβερνᾷ τὸ Πᾶν, ὥστε ἀεὶ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ γίνεται ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς αὐτοῦ μέρεσι τὸ κράτιστον, οἷον καὶ ὅσον ἑκάστῳ προσήκει, καὶ ὑπ' οὐδεμιᾶς δυνάμεως εἴτε κατὰ φυσικὴν ἀνάγκην, εἴτε προαιρετικῶς ἐνεργού-

(α) Ἑβρ. ιγ'. 5. (β) μθ'. 15.

Digitized by Google

σης οὐκ ἂν ἄλλο τι γένοιτο, ἢ τὸ ἐν τῷ τῆς προνοίας αὐτοῦ βουλήματι. Κατ' αὐτὸ δὲ τὸ τῆς ἀϊδίου προνοίας σχέδιον ἐν τῇ τοῦ Παντὸς κυβερνήσει οὐδὲν οὔτε τῷ ἀγαθῷ καὶ δικαίῳ ἀνθρώπῳ γένοιτ' ἂν κακὸν, οὔτε τῷ πονηρῷ ἀγαθόν· μεταδίδοται δὲ πάντως ἑκατέρῳ τὸ ἀκριβῶς ἀνάλογον μέτρον χαρᾶς καὶ λύπης, ἀγαθοῦ καὶ κακοῦ, ὡς προσήκει ἑκάστῳ πρὸς κρείττονα ἐπίδοσιν, κατὰ νόμους ἀναλλοιώτους σοφίας, ἀγαθότητος, δικαιοσύνης καὶ ἁγιωσύνης. Ἡ γὰρ χαρὰ καὶ ἡ λύπη, ἡ εὐτυχία καὶ ἡ δυστυχία ἑκάστου μέσον τυγχάνει ἀπαραίτητον τῇ προνοίᾳ εἰς τὴν τοῦ ὑψίστου σκοποῦ ἐπιτυχίαν. Καὶ ἐπὶ τὴν ἐλπίδα ταύτην ἵσταται ὁ ἐν τῇ πίστει ζῶν, καὶ διὰ τῆς ἀγάπης τῷ Θεῷ παραδεδομένος, καὶ ἐπὶ τὴν εἰς τὸν Θεὸν πεποίθησιν τεθεμελιωμένος. Πάντα δὲ ταῦτα μέγα συμβάλλουσι ά, εἰς τὴν τελείαν ἀνάπαυσιν καὶ εὐχαρίστησιν ἐπὶ τοῖς παροῦσιν, οἱαδήποτ' ἂν τύχωσιν ὄντα· β', εἰς τὴν μετὰ πεποιθήσεως ὑπακοὴν ἡμῶν πάσαις ταῖς θείαις ἐντολαῖς· γ', εἰς τὴν ὑπομονὴν καὶ καρτερίαν ἐν τοῖς κατὰ τὸν παρόντα βίον δεινοῖς· δ', εἰς τὴν ὀρθὴν καὶ σπουδαίαν χρῆσιν τῶν παρὰ Θεοῦ κεχορηγημένων ἡμῖν πρὸς τὴν ἀσφαλῆ ἐπιτυχίαν τοῦ ἡμετέρου τέλους· ε, εἰς τὸ κατισχύσαι πάντων, ὅσα κωλύουσιν ἡμᾶς ἀπὸ τῆς ἡμετέρας κλήσεως. Οὕτω ῥυθμίζει καὶ ἄγει εἰς τάξιν πάντα τὸν βίον καὶ πᾶσαν ἡμῶν τὴν σπουδὴν ἡ ἐλπὶς, δεικνύουσα πανταχοῦ τὴν σωτήριον αὐτῆς ἰσχὺν καὶ ἐνέργειαν, ταῖς μὲν ἐπιθυμίαις σώφρονα, ἐπὶ δὲ τοῖς παροῦσιν αὐτάρκη, καὶ πρὸς τὸ μέλλον ἀσφαλῆ καθιστῶσα τὸν ἄνθρωπον. Διὰ τοῦτο καὶ ὁ μακάριος Ἰωάννης λέγει· « Ἀγαπητοὶ, νῦν τέκνα Θεοῦ ἐσμὲν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα· οἴδαμεν δὲ, ὅτι, ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα· ὅτι ὀψόμεθα αὐτὸν, καθώς ἐστι· καὶ πᾶς

Digitized by Google

ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐτῷ, ἁγνίζει ἑαυτὸν, καθὼς ἐκεῖνος ἁγνός ἐστι (α). »

§. 35 *Περὶ τῶν ἀναγκαίων τῆς ἐλπίδος ἰδιωμάτων.*

Ὥσπερ τὴν πρὸς τὸν Θεὸν πίστιν ἡμῶν καὶ τὴν ἀγάπην, οὕτω καὶ τὴν εἰς αὐτὸν ἐλπίδα λογικὴν εἶναι δεῖ καὶ σταθερὰν καὶ μόνιμον. Οὐδὲν γὰρ προσδοκᾶν δεῖ, ἢ αἰτεῖν παρὰ τοῦ Θεοῦ, ὅπερ ἀντίκειται τῇ σοφίᾳ καὶ τῇ δικαιοσύνῃ καὶ τῇ ἁγιότητι αὐτοῦ· διότι μωρὸν ἂν εἴη καὶ ἄλογον. Ἀλλ' οὐχ ἧττον μωρὸν, καὶ εἰ ἀπολύτως προσδοκᾶν παρ' αὐτοῦ βουλοίμεθα, ἅπερ ὑφ' ὅρους τινὰς δοῦναι ἡμῖν ἐπηγγείλατο, τοὺς ὅρους τούτους μὴ φυλάξαντες. Σταθερὰν δὲ καὶ μόνιμον εἶναι δεῖ, εἴτι μέλλει πρὸς τὴν τῆς ψυχῆς ἀνάπαυσιν συντελέσειν· τῆς γὰρ κλονουμένης τε καὶ ἀβεβαίου οὐδὲν τὸ ὄφελος. Ἐκ μὲν οὖν τοῦ Θεοῦ, οὐδεμία γένοιτ' ἂν ἀμφιβολία ἢ ἀβεβαιότης· πιστὸς γὰρ ἀεὶ μένει ταῖς ἐπαγγελίαις, καὶ οὐδ' ἐπ' ἐλάχιστον ἂν ἀπολίποιτο. Ὁ οὐρανὸς καὶ ἡ γῆ παραλεύσεται, ὁ δὲ λόγος αὐτοῦ οὐ μὴ παρέλθῃ. Ἐγγυῶνται δ' ἡμῖν περὶ τούτου αἱ ἄπειροι αὐτοῦ τελειότητες. Ἐξ ἡμῶν δ' ἄρα βεβαίαν προσήκει εἶναι τὴν ἐλπίδα, ἐπιμελουμένων ἡλονότι τηρεῖν τοὺς ὅρους, οὓς αὖθις ὑπὲρ ἡμῶν ἔθετο ὁ Θεός. Ταῖς γὰρ εὐεργεσίαις, ἃς ἡμῖν ἐπηγγείλατο, διεγείρειν ἡμᾶς βούλεται εἰς τὸ ἀγαθὸν καὶ ἐνισχύσαι εἰς τὸ ἐπιδιδόναι μᾶλλον εἰς τὴν ἀρετήν. Τοῦτο καὶ ἡμῖν δεῖ ἀρέσκειν· καὶ αἱ ἐπαγγελίαι δὲ εἰς τοῦτο ἀφορῶσι, καὶ τὸ πατρικὸν καὶ ἅγιον αὐτοῦ θέλημα τοῦτό ἐστι· ἀλλὰ χρὴ καὶ ἡμᾶς αὐτοὺς συνεργεῖν, ἵνα ἡμῖν ἀγαθόν τι γένηται· μόναις γὰρ τοῖς

(α) Ἰωάν. Α'. ἐπιστ. γ'. 2. 3.

Digitized by Google

ἀγαθοῖς καὶ ἀγαθὰ γένοιντ' ἄν. Εἰς τοῦτο οὖν χρὴ τὴν ἐξ ἡμῶν ἀσφαλῆ καὶ μόνιμον ἐλπίδα διεγείρειν ἡμᾶς καὶ ἐνισχύειν· ὅπως δὲ τοῦτο δύνηται, οὐ πρὸς καιρὸν εἶναι δεῖ, ἀλλ' ἀεὶ διαμένειν, τοῖς ἐλπιζομένοις καὶ τοῖς τούτων αἰτίοις προσέχουσαν. Τότε δὲ καὶ πρὸς τὴν τοῦ βίου διόρθωσιν, καὶ πρὸς τὴν τῆς ψυχῆς ἀνάπαυσιν ἰσχυρὰ γίνεται, κατὰ τὸ ἐν ταῖς ἐπαγγελίαις θέλημα τοῦ Θεοῦ.

§. 36. Δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι ἡ κατὰ Χριστον ἐλπὶς τῇ τοῦ ἐσχάτου τέλους τῶν ἀνθρώπων ἐπιτυχίᾳ συνῆπται. Ἔστι γὰρ ροπὴ ἀληθὴς πρὸς αὐτὸ, καὶ ἀντίληψις αὐτοῦ καὶ περιβολὴ, διὸ καὶ εὐάρεστος τῷ Θεῷ. Καὶ πᾶν δὲ ἄλλο ἀγαθὸν, ὁ παρὰ τῆς τοῦ Θεοῦ ἀγαθότητος προσδοκῶμεν, ἐν τούτῳ ὑφίσταται, ὅπως συναντιλαμβάνηται ἡμῖν πρὸς τὸ εἰρημένον ἔσχατον τέλος, καὶ χορηγῇ τὰ εἰς αὐτὸ φέροντα. Τοιαῦτα δ' εἰσὶν ἡ τελεία τῶν ἡμαρτημένων ἄφεσις, καὶ ἡ ποικίλη εὐκαιρία τοῦ ἐπιγνῶναι αὐτὸν τελεώτερον, καὶ τὴν αὐτοῦ πρὸς ἡμᾶς ἀγάπην, καὶ τὴν κοσμοσωτήριον οἰκονομίαν, καὶ τὰς ἐπαγγελίας. Πάντα γὰρ ταῦτα συμβάλλεται ἡμῖν, ἵνα μᾶλλον τῷ Θεῷ προσεγγίζωμεν, ἀγωνιζόμενοι ἀεὶ μετὰ σπουδῆς ἐξομοιοῦσθαι αὐτῷ, καὶ ἐντελῶς μετ' αὐτοῦ ἑνωθῆναι, ὃ δή ἐστι τὸ ὕψιστον καὶ ἔσχατον ἡμῶν τέλος, εἰς ὃ ἀφικέσθαι χρὴ, καὶ ᾧ μάλιστα χαίρει ὁ Θεὸς, ἐπειδὰν εἰς αὐτὸ ἀφικώμεθα. Ἔτι δὲ δῆλον, ὅτι καὶ διεγείρειν καὶ ἀνακαινίζειν τὴν κατὰ Χριστὸν ἐλπίδα ὀφείλομεν, ἤτοι συνεχῶς ἀναμιμνήσκεσθαι τῶν ἀγαθῶν πάντων, ἃ ὁ Θεὸς διὰ τὴν ἄπειρον αὐτοῦ ἀγαθότητα δωρήσασθαι ἡμῖν ἐπηγγείλατο, καὶ εὐδοκεῖ μεταδιδόναι, ἵνα εἰς τὸν ἐνάρετον βίον ἡμᾶς προτρέπῃ τε καὶ ἐνισχύῃ. Ἡ γὰρ τούτων ἀνάμνησις, καὶ ἡ τοῦ ἀγαθοῦ σκοποῦ, πρὸς ὃν ταῦτα δωρεῖται, καὶ τὸ τοῦ δω-

Digitized by Google

ρουμένου ἀνενδεὲς, ἔτι δὲ καὶ ἡ τῆς χρείας, ἣν ἔχομεν αὐτῶν, καὶ τῆς ἀναξιότητος τοῦ λαβεῖν αὐτὰ, μέγιστον πάντως ἐγείρει ἐν ἡμῖν θαῦμα. Δεῖ δὲ μάλιστα διεγείρειν τὴν ἐλπίδα ἁ, ἐν καιρῷ τῆς ἀθυμίας καὶ λύπης ἐφ' οἷς ὑπὲρ τῆς πίστεως καὶ τῆς ἀρετῆς πάσχομεν ἀνιαροῖς· β', ὅταν ὑπὲρ τὰ ἐπίγεια, οἷς δοκοῦμεν λίαν προστετηκέναι, ἀνυψωθῆναι δέῃ πρὸς τὰ κρείττονα καὶ οὐράνια, ἅπερ πόρρω που καὶ τῶν ὀφθαλμῶν ἡμῶν καὶ τῆς μνήμης φυγεῖν ἀπελίπομεν. Ἐν τοῖς τοιούτοις καιροῖς ἀναλογιστέον τὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγαθότητα, καὶ πάντα τὰ ὑπὲρ ἡμῶν ἐξευρημένα ὑπ' αὐτῆς ἀγαθά. Ὅλως δὲ μνημονεύειν ἀεὶ δεῖ καὶ μηδέποτε ἐπιλανθάνεσθαι τοῦ ἐλέους Κυρίου, ὅπερ καὶ ἔδειξε, καὶ ἔτι δείξει πρὸς ἡμᾶς, μηδὲ τῶν μεγάλων ἀγαθῶν, ὅσων ἡμᾶς καὶ ἠξίωσε καὶ ἔτι κατὰ τὰς ἀψευδεῖς αὐτοῦ ἐπαγγελίας ἀξιώσει· τὸ μὲν γὰρ τὴν εὐγνωμοσύνην, τὸ δὲ τὴν ἐλπίδα καὶ τὴν πεποίθησιν ἐγείρει καὶ κρατύνει, καὶ τὰς καρδίας ἡμῶν ἕλκει εἰς τὸ ἔτι μᾶλλον τῷ Θεῷ ἀδιασπάστως προσκολλᾶσθαι.

§. 37. *Περὶ τῶν ἐναντιουμένων τῇ κατὰ Χριστὸν ἐλπίδι.*

Τὰ ἀντιπίπτοντα τῇ κατὰ Χριστὸν ἐλπίδι εἰσὶ ἁ, ἡ θρασύτης καὶ κακόβουλος θαυμάτων ἀπαίτησις· β', ἡ ἐπὶ τὰ πρόσκαιρα μεγάλη πεποίθησις· γ', ἡ τελεία ἀπελπισία. Καὶ ἡ μὲν θρασύτης, ὡς ἄλογος θαυμάτων ἀπαίτησις, δείκνυται, ἐπειδὰν ἀδιακρίτως αἰτῶμεν παρὰ τοῦ Θεοῦ θαυματουργίας ὑπὲρ τῶν καθ' ἡμᾶς πραγμάτων καὶ περιστάσεων καὶ κινδύνων, εἰς οὓς ἐκουσίως τε καὶ χωρὶς ἀνάγκης, ἢ κλήσεως, περιέστημεν, ἵνα τούτων ἀπαλλαγῶμεν. Τοιαύτη δέ τις δοκεῖ καὶ ἡ ἔφεσις τοῦ πρᾶξαι ἢ παρασχεῖν ἡμῖν τὰ ἀρεστὰ, ἅπερ, καθά

Digitized by Google

γε τὴν σοφίαν καὶ τὴν δικαιοσύνην καὶ τὴν φιλανθρωπίαν αὐτοῦ, οὐκ εὐδοκεῖ ποιῆσαι. Παράδειγμα τοῦ μὲν πρώτου, τὸ παρὰ τοῖς ἀρχαίοις ἔθος τοῦ διὰ πυρὸς τοὺς ἐνόχους κρίνειν, καὶ κλήρῳ τοὺς κολαστέους αἱρεῖσθαι· καὶ τὸ τῶν Ἰουδαίων, τῶν αἰτούντων παρὰ τοῦ Ἰησοῦ σημεῖον ἰδεῖν ἐξ οὐρανοῦ, οὓς καὶ αὐστηρῶς ἤλεγξεν εἰπών· « Γενεὰ πονηρὰ καὶ μοιχαλὶς ! σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ Προφήτου (α) »· τοῦ δὲ δευτέρου, ἡ αἴτησις τῆς μητρὸς τῶν υἱῶν Ζεβεδαίου (β). Ἐν δὲ τούτοις καταλογίζοιντ' ἂν καὶ πάντα τὰ τολμηρὰ καὶ βλαβερὰ ἔργα, οἷς ἐπιχειρεῖ τις ἑκουσίως τε καὶ ὑπεροπτικῶς, καί περ εἰδὼς τὸν ἐξ αὐτῶν κίνδυνον τῆς ζωῆς, προσδοκῶν ἀνοήτως ἐν τῇ ἀνάγκῃ ἕξειν τὸν Θεὸν ἀντιλήπτορά τε καὶ συνεργόν. Ὅτι δὲ πάντα ταῦτα ἐναντία εἰσὶ τῷ θείῳ βουλήματι, οὐ χαλεπὸν διαγνῶναι· τῆς γὰρ ὀφειλομένης παρ' ἡμῶν εὐσεβείας τῇ αὐτοῦ δόξῃ καὶ μεγαλωσύνῃ ἐστὶν ἀθέτησις, καθ' ἣν ὁ ἄφρων μετὰ θράσους ἀσυγγνώστου αἰτεῖ παρὰ τοῦ Θεοῦ, ἵνα ταῖς φαύλαις καὶ παρανόμοις αὐτοῦ ἐπιθυμίαις πρόθυμος δειχθῇ συνεργὸς καὶ ὑπηρέτης. Ἠλίκη θρασύτης καὶ ἀφροσύνη ! Ἡ δὲ ἐπὶ τὰ πρόσκαιρα ἰσχυρὰ πεποίθησις ὀλοῦται, ἐπειδάν τις νομίζῃ, μηδὲν τῆς παρὰ Θεοῦ βοηθείας δεῖσθαι, τὰς δὲ παρ' αὐτοῦ εὐεργεσίας, ἐκτυφλούμενος τὸν νοῦν ὑπὸ τῆς φαντασίας, οὐχ ὁρᾷ, οὐδὲ τιμᾷ, οὐδὲ χάριν αὐτῷ ἐπ' αὐταῖς οὐδεμίαν ὁμολογεῖ, χρῆται δὲ μᾶλλον πρὸς τὴν ἑαυτοῦ, ἢ ἄλλων, ἃ οὐκ ἔστι Θεὸς, ἀποθέωσιν. Διὰ τοῦτο καὶ ἐν ταῖς θείαις Γραφαῖς, ὡς εἰδωλολατρεία ἡ τοιαύτη μωρὰ πεποίθησις ἐλέγχεται, οἷον τὸ « Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς,

(α) Ματθ. ιϛ'. 1. (β) Ματθ. κ'. 20.

Digitized by Google

πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας (α) »· καὶ ἀλλαχοῦ ἡ παραίνεσις γίνεται τοῦ μὴ ἐπ' αὐτὰ πεποιθέναι. « Μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ κύριον τὸν Θεὸν αὐτοῦ, τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, καὶ ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, καὶ διδόντα τροφὴν τοῖς πεινῶσι (β). » Ὅσῳ δὲ ἐπισφαλέστερον τὸ, ἐφ' ᾧ πέποιθέ τις, τοσούτῳ καὶ ἡ πεποίθησις μωροτέρα καὶ ματαιοτέρα. Ὅπου δ' ἂν ἐρείδηται, ἢ ἐπὶ τῇ ἰδίᾳ δοκούσῃ μεγαλονοίᾳ τε καὶ ἰσχύϊ καὶ δόξῃ καὶ περιουσίᾳ χρημάτων, ἢ ἐπὶ εὐνοίᾳ καὶ προστασίᾳ τῶν δυνατῶν, ἅμα ἐπὶ τοσοῦτον προελθοῦσα, ὥστε καὶ ἀποστρέφειν ἡμᾶς ἀπὸ τοῦ Θεοῦ, καὶ ἀπὸ τῆς εἰς τὸ ἔσχατον ἡμῶν τέλος σπουδῆς, ὀλέθριος ἡμῖν γίνεται, καὶ τοσούτῳ μείζονα τὴν διαστροφὴν ἐμποιεῖ, ὅσῳ πορρωτέρω τούτων ἀπάγει. Τὸ δὲ πάντων μάλιστα τῇ κατὰ Χριστὸν ἐλπίδι πολεμιώτατόν ἐστιν ἡ παντελὴς ἀπελπισία, ἤτοι ἡ πάσης ἐλπίδος ἀναίρεσις, τὸ πάντων χειριστόν τε καὶ ὀλεθριώτατον τῷ ἀνθρώπῳ. Τοῦτο συνέβαινε μάλιστα τοῖς ἐθνικοῖς, ὡς ἀποφαίνεται ὁ μακάριος Παῦλος, ὅτι « ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ, διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν· οἵτινες ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ (γ). » Ἐνταῦθα δείκνυσιν ὁ μακάριος Παῦλος τὴν ὄντως πηγὴν τῆς τῶν Ἐθνικῶν ἀπονοίας. Ἀλλ' ἆρ' οὐχὶ καὶ ἐν ἡμῖν πολλα-

(α) Κολ. γ'. 5. (β) Ψαλ. ρμέ. 5—7. (γ) Ἐφ. δ'. 18, 19.

Digitized by Google

χῶς οὕτω γίνεται; Ἐκ γὰρ τῆς ἀμελείας κατὰ πρῶτον περὶ τὴν πνευματικὴν ἡμῶν μόρφωσιν ἡ περὶ τὰ τῆς πίστεως καὶ τῆς ἠθικῆς πηγάζει ἀμαθία· ἐκ δὲ τῆς ἀμαθίας, ἡ ἀπὸ τοῦ ἐναρέτου βίου· ἐν ᾧ μόνῳ ὁ Θεὸς εὐδοκεῖ, ἀποστροφή· ἐκ δὲ τῆς ἀποστροφῆς, ἡ παντὸς εἴδους κακία, ὡς κατάπτωσις εἰς τὴν ὄντως κτηνωδίαν, ἧς τὸ τέλος ἀνιαρὸν γίνεται, καὶ κατά τινα ἀμετάβλητον τοῦ Θεοῦ οἰκονομίαν, τοιοῦτον εἶναι δεῖ· κόρος γὰρ τοῦ ζῆν, καὶ ἔλεγχοι τῆς συνειδήσεως ἀνύποιστοι, καὶ τελεία τοῦ τε σώματος καὶ τοῦ πνεύματος καταστροφὴ ἐκ τῶν εἰρημένων ἕπεται, καὶ ἀπελπισία ἤτοι ἀποδειλίασις, ὅτι οὐκ ἔτι ἀπαλλαγῆναι τῶν τοιούτων ἐστί. Συμβαίνοι δ' ἂν ὅμως καὶ ἄλλοθεν ἡ ἀπελπισία· οἷον ἀ, ἐκ τῆς ἄγαν τοῦ πνεύματος ταραχῆς δι' ἀπροσδόκητον ἀπώλειαν τῶν ὄντων ἀγαθῶν, καὶ διὰ τὴν ἐξ αὐτῆς ταπείνωσιν, καὶ αἰσχύνην, καὶ ἔνδειαν· β', ἐκ τῆς ἀσθενείας τῶν νεύρων, ἐκ τῆς μελαγχολίας, καὶ ἀποτυχίας τοῦ ἐμπορίου· γ', ἐκ νόσων καὶ ἀλγηδόνων μακροχρονίων, ὧν οὐδὲν ἂν τις ἐλπίζοι τέλος· δ', ἐξ ἀποτυχίας ἐρωτικῆς καὶ ἄλλων τοιούτων παθῶν, ἃ οὐκ ἄν τις δύναιτο θεραπεῦσαι. Πάντα γὰρ ταῦτα ἐπὶ τὴν ἀπελπισίαν φέρει, καὶ οὐδενὶ τοῦ λοιποῦ προσέχειν ποιεῖ οὔτε τῷ ζῆν, οὔτε τῷ θνήσκειν, οὔτε οὐρανῷ, οὔτε ᾅδῃ, ἀλλ' ἢ κατὰ μικρὸν μαραινόμενον καὶ φθίνοντα ὑπὸ τῆς λύπης τελευτᾶν, ἢ βιαίῳ θανάτῳ ἐκβάλλειν ἑαυτὸν τοῦ βίου. Αἴτιον δὲ τῆς τοιαύτης θλίψεώς ἐστιν ἡ δυσπιστία εἰς τὸν Θεὸν, καὶ εἰς ἑαυτόν· εἰ καὶ οὐδέποτε δικαιοῦται ὁ ἄνθρωπος, κἂν πολλὰ περὶ τούτου παρὰ πολλῶν ἐρρέθη, ἀπιστεῖν τῷ Θεῷ, ᾧπερ οὔτε δύναμις λείπει, οὔτε σοφία καὶ γνῶσις τῶν ἐν τοῖς δεινοῖς ἀλεξημάτων, οὔτε πατρικὴ ἀγαθότης εἰς τὸ βοηθεῖν. Ἀλλὰ τῷ ἀνθρώπῳ οὐ λυσιτελεῖ πολλάκις ἀπα λ

Digitized by Google

λαγῆναι τῶν δεινῶν, ὡς αὐτὸς, κατὰ σάρκα κρίνων, ἐφίσταί τε καὶ αἰτεῖ, ἀλλὰ πειρασθῆναι δεῖ ἐπὶ πλεῖον, ἵνα διὰ τῶν θλίψεων καὶ τῆς ἐν αὐταῖς καρτερίας σωθῇ ἡ ψυχή· ὁ δὲ ἄνθρωπος, τῇ τοιαύτῃ δοκιμῇ μὴ ἀρεσκόμενος, ἀνθίσταται, καὶ διαφυγεῖν ταύτην ζητεῖ, καὶ ἀπορῶν, τῇ τοῦ Θεοῦ σοφίᾳ καὶ δυνάμει καὶ ἀγαθότητι δυσπιστεῖν ἄρχεται, καὶ οὕτως εἰς ἀπελπισίαν καταπίπτει. Τοῦτο δὲ ἁμαρτία κρίνεται, καὶ τοσούτῳ μείζων, ὅσῳ μᾶλλον ἠδύνατο ἐκ τῶν καθ' ἑαυτὸν διδαχθῆναι φρονεῖν ὀρθότερον περὶ τοῦ Θεοῦ, καὶ εὐμενέστερον ἔχειν πρὸς αὐτὸν, ἢ αὐτὸς ἀκριβέστερον διαλογιζόμενος, ἢ παρ' ἄλλων διδασκόμενος καὶ νουθετούμενος, καὶ οὐδέτερον ποιεῖν ἠξίου.

ΚΕΦΑΛΑΙΟΝ Β'.

§. 38. *Περὶ τῆς ὁρατῆς θείας λατρείας.*

Θρησκεία ἐστὶν ἡ ἡμετέρα πρὸς τὸν Θεὸν διὰ τὰς ἀπείρους αὐτοῦ τελειότητας, καὶ τὴν πρὸς αὐτὸν ἡμῶν σχέσιν ἀγαθὴ διάθεσις. Οὐ γὰρ οἷόν τε, ταῦτα μαθόντας, μὴ μακαρίους ἡμᾶς αὐτοὺς ἡγεῖσθαι καὶ καλῶς πρὸς αὐτὸν διακεῖσθαι· ἡ δὲ τοιαύτη ἀγαθὴ διάθεσις εὐθὺς εἰς τὴν ὄντως εὐσέβειάν τε καὶ εὐλάβειαν ἀναλύεται, ὑφ' ὧν παρορμώμενοί τε καὶ ἑλκυόμενοι, τῷ Θεῷ μᾶλλον προσκολλώμεθα, καὶ κατὰ πάντα τὸν βίον εἰς αὐτὸν μᾶλλον, ἢ εἰς τ' ἄλλα πάντα ἀφορῶμεν, καὶ τῇ αὐτοῦ εὐδοκίᾳ ἐν πᾶσι τοῖς ἔργοις ἡμῶν προσέχομεν μᾶλλον, ἢ τῇ παντὸς ἄλλου, ὅπερ οὐκ ἔστι Θεός. Ἐφ' ὅσον οὖν ἡ ἀγαθὴ αὕτη διάθεσις, ἐν τῇ καρδίᾳ ἐμμένουσα, μηδεμιᾷ πράξει φανερὰ τοῖς ἀνθρώποις γίνεται, ἐσωτερικὴ θρησκεία καὶ εὐσέβειά ἐστι καὶ καλεῖται. Ἐπεὶ δ' οὐχ οἷόν τε διὰ παντὸς οὕτω μένειν, ὥστε μὴ καὶ ὁρατὴν

Digitized by Google

πως διὰ πράξεων ἢ κινήσεών τινων καὶ σχημάτων γενέσθαι, παρέπονται ἀναγκαίως τῇ ὁρμῇ ταύτης τοιαῦτα, ὡς δηλωτικὰ αὐτῆς, καὶ ἀνάλογα πάντως καὶ προσήκοντα ταύτῃ τυγχάνουσιν. Ἐκ τούτου οὖν, ὅπου ἂν ἀληθὴς εὐσέβεια καὶ φόβος Θεοῦ ὑπάρχῃ, ἀνάγκη καὶ δηλοῦσθαι ταῦτα δι' ὁρατῶν τινων σημείων καὶ πράξεων ἐξωτερικῶς. Οἷα δ' ἂν κατὰ πᾶσαν ὥραν ἡ τῆς ψυχῆς διάθεσις τυγχάνῃ οὖσα, τοιοῦτον καὶ τύπον καὶ σημασίαν ἡ ἐξωτερικὴ δήλωσις αὐτῆς λαμβάνει. Μαρτυρεῖ μοι ταῦτα ἡ καθ' ἡμέραν πρὸς ἀλλήλους διαγωγή. Οὐ γὰρ, καὶ παρὰ γνώμην, ἀεὶ πρὸς τὴν τῆς ψυχῆς διάθεσιν συμμορφοῦται αὕτη καὶ κανονίζεται; καὶ τὸ βλέμμα τῶν ὀφθαλμῶν, καὶ τῶν τοῦ προσώπου μυώντων ἡ συστολή τε καὶ διαστολὴ, καὶ τῶν χειρῶν τὰ κινήματα, καὶ ὅλου τοῦ σώματος ἡ στάσις, πάντα, φημὶ, ταῦτα οὐχὶ πιστῶς τε καὶ ἀκριβῶς, ὅπου ἂν μὴ προσποίησις τεχνεύηται, τὴν τῆς ψυχῆς διάθεσιν ἐκφαίνουσιν; Κατὰ ταῦτα ἄρα καὶ τὰ τῆς θείας λατρείας ὁρατὰ ἔργα οὐδὲν ἂν εἴη, ἀλλ' ἡ πιστὴ καὶ ἀπροσποίητος δι' αὐτῶν τῆς ἐσωτερικῆς εὐσεβείας δήλωσις. Κἂν γὰρ τῷ ἐπὶ τὰς καρδίας ἐμβλέποντι Θεῷ οὐκ ἀναγκαία αὕτη, ἀλλ' ἡμῖν γε αὐτοῖς καὶ τῷ πλησίον ἀναγκαιοτάτη πέλει, ἡμῖν μὲν, ἵνα μᾶλλον τὸ τῆς εὐσεβείας αἴσθημα διεγείρωμεν, καὶ ζωοποιῶμεν, καὶ μονιμώτερον ἀπεργαζώμεθα· τῷ δὲ πλησίον, ἵνα καὶ ἐν αὐτῷ διὰ τοῦ παραδείγματος τὸ αὐτὸ αἴσθημα, ἐὰν μὲν ὅλως ἐλλείπῃ, ἐμποιῶμεν, παρὸν δὲ, μᾶλλον κρατύνωμεν καὶ ἀνυψῶμεν. Πείρᾳ γὰρ εἰδότες γινώσκομεν, ὅτι τῆς ἐν ἡμῖν διαθέσεως ἡ δήλωσις, καὶ ἐν ἡμῖν αὐτοῖς ζωοποιεῖ ταύτην καὶ κρατύνει, καὶ ἐν τοῖς ἄλλοις ῥᾷστα αὐτὴν μεταδίδωσι. Διὰ τοῦτο ἔλεγεν ὁ Ἰησοῦς· « Οὐδαμοῦ καίουσι λύχνον, καὶ τι-

Digitized by Google

θέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς (α). »

§. 39. *Περὶ τῶν ἔργων τῆς θείας λατρείας.*

Πᾶσα διὰ τοῦ προσήκοντος ἔργου δήλωσις τῆς καθ' ἡμᾶς εὐσεβείας καλεῖται ἐξωτερικὴ ἄσκησις τῆς εὐσεβείας. Αἱ δὲ ἀσκήσεις αὗται ποικιλώταται ἂν εἶεν καὶ διαφόρου ἀξίας. Εἰ γὰρ μὴ ἐξ ἀγαθῆς προαιρέσεως καὶ γνησίας ἀγάπης πρὸς τὸν Θεὸν γίγνοιντο, καὶ ἔκφρασις ἀληθῶς ταύτης εἶεν, ὅσον ἂν ὦσι λαμπραὶ καὶ ἐπιτετηδευμέναι, οὐδενὸς ἄξιαι λογίζονται, ἀλλὰ φαινόμενόν εἰσιν ἐξωτερικὸν, καὶ κενὸν μορμολύκειον χωρὶς πνεύματος ζωῆς, εἰς οὐδὲν χρήσιμοι, ἢ εἰς τὸ ἀπατᾷν τοὺς ἁπλουστέρους, καὶ δόξαν ἢ κέρδος πρόσκαιρον δι' αὐτῶν περιποιεῖσθαι. Ἀλλὰ καὶ αἱ μὴ ὅλως μὲν ἐσωτερικῆς εὐσεβείας ἄμοιροι, οὐκ ἐπιτήδειαι δὲ οὐδ' ἐν ἡμῖν αὐτοῖς οὐδ' ἐν τῷ πλησίον ζωογονεῖν τε καὶ στηρίζειν τὴν εὐσέβειαν, οὐδ' αὗται οὐδενός εἰσιν ἄξιαι. Μόναι ἄρα αἱ ἐξ ἀγαθῆς πρὸς τὸν Θεὸν διαθέσεως καὶ ἀγάπης γινόμεναι, καὶ φύσει ἐπιτήδειαι διεγείρειν καὶ ἐν ἡμῖν αὐτοῖς καὶ ἐν τῷ πλησίον τὴν εὐσέβειαν καὶ τὸν θεῖον φόβον, καὶ αὔξειν καὶ κρατύνειν αὐτὰ, αὗται καὶ πλείστου, μᾶλλον δὲ τοῦ παντός εἰσιν ἄξιαι. Πλανῶνται ἄρα ἁ, οἱ μόναις ταῖς ἐξωτερικαῖς τῆς εὐσεβείας ἀσκήσεσιν ἐπερειδόμενοι, καὶ πιστεύοντες μέγα τι δι' αὐτῶν διαπεπράχθαι, μηδὲν περὶ τῆς ὄντως εὐσε-

(α) Ματθ. ε. 15—17.

Digitized by Google

θείας τῆς ἐσωτερικῆς φροντίζοντες. Τῶν γὰρ ἀσκούντων ταῦτα, διότι καὶ ἄλλους ὁρῶσι ταὐτὰ πράττοντας, ἢ παρὰ τῶν ἄλλων βλέπουσι τιμώμενα, ἢ δοκοῦσι δι' αὐτῶν κερδαίνειν τὸν Θεὸν [ὑπὲρ ἑαυτῶν πρὸς κοσμικά τινα τέλη, τούτων ἡ εὐσέβεια οὐδέν ἐστιν, ἢ μηχανισμὸς ἄψυχος, ἢ φιλαυτία κατάκριτος· β', Ἔτι δ' ὡσαύτως καὶ οἱ πάσης εὐσεβοῦς πράξεως ἐξωτερικῆς ἀδιακρίτως καταφρονοῦντες, καὶ πανταχοῦ ταύτας ἀποφεύγοντες, προφασιζόμενοι, ὅτι ἐμέλησεν αὐτοῖς μᾶλλον τῶν τῆς ἐσωτερικῆς εὐσεβείας καὶ τοῦ θείου φόβου, ἢ, τὸ αἴσχιστόν τε καὶ ἀσεβέστατον, ὅτι οὐδὲν ὁ Θεὸς αὐτῶν δεῖται οὐδὲ ζητεῖ ταύτας· γ', Ἀλλ' οὐχ ἧττον καὶ οἱ μωρῶν καὶ ἀλλοκότων ἐπινοημάτων τῆς ἰδίας φαντασίας καὶ δεισιδαιμονίας μετὰ θεοβλαβείας ἀντεχόμενοι, καὶ ἐν αὐτοῖς δοκοῦντες τὴν τοῦ ὑψίστου Θεοῦ λατρείαν ὑφίστασθαι, τῶν δὲ κοινῇ παραδεδεγμένων τε καὶ κανονικῶν, ὡς ἁπλῶν ἢ ἐνδεῶν καταφρονοῦντες. Ὅλως δὲ πᾶσα ἐξωτερικὴ πρᾶξις τῆς θείας λατρείας, ἐφ' ὅσον μόνον ἐκ τῆς πρὸς τὸν Θεὸν ἀγαθῆς διαθέσεως πράττεται, καὶ οἵατέ ἐστι διεγείρειν καὶ αὔξειν καὶ κρατύνειν ἐν ἡμῖν αὐτοῖς καὶ ἐν τῷ πλησίον τὸ τῆς εὐσεβείας αἴσθημα, ἐπὶ τοσοῦτόν ἐστι καὶ κρίνεται πολλοῦ ἀξία. Τὸ δὲ θαυμαστὸν, ὅτι καὶ ἐν αὐτῇ τῇ ἐξωτερικῇ ἀσκήσει εὐσχημόνως τε καὶ μετὰ μετριότητος καὶ διακρίσεως δεῖ μένειν, ἵνα μὴ εἰς ὑπερβολὴν ἐκπέσῃ, ἢ τὸ ἀγαθὸν λυμάνηται, ἢ εἰς βαττολογίαν μωρὰν διαστραφῇ τὸ τῆς εὐσεβείας ἔργον. Ἡ γὰρ ἐν τοῖς τοιούτοις ὑπερβολὴ πιέζει μᾶλλον, ἢ ἀνυψοῖ, καὶ ἀποβάλλει μᾶλλον, ἢ αὔξει τὴν εὐσέβειαν.

Δεῖ δὲ ταύτας καὶ θεοπρεπεῖς εἶναι, καὶ τῇ τοῦ ἀνθρώπου λογικῇ φύσει προσηκούσας, καὶ ὀρθῶς πρὸς τὸν χρόνον καὶ τὸν τόπον, καὶ τὰς λοιπὰς περιστάσεις συμ-

Digitized by Google

μέτρους· μόναις γὰρ ταῖς τοιαύταις πράξεσιν εὐαρεστεῖται ὁ Θεὸς, καὶ μόνον, ἐφ' ὅσον εἰς τὸν εἰρημένον σκοπὸν συντελοῦσιν, ἵνα δηλαδὴ τὸ τῆς εὐσεβείας αἴσθημα διεγείρωσι καὶ ζωοποιῶσι, χρηστέον αὐταῖς.

§. 40. *Περὶ τῶν εἰδῶν τῆς ἐξωτερικῆς θείας λατρείας.*

Τῶν περὶ τὴν θείαν λατρείαν πράξεων, αἱ μέν εἰσιν ἴδιαι καὶ μυστικαί, ὡς ἀφορῶσαι τὴν ἐν ἡμῖν αὐτοῖς ἀνακαίνισιν καὶ ζωοποίησιν τῆς εὐσεβείας καὶ τοῦ θείου φόβου· αἱ δὲ, φανεραὶ καὶ κοιναὶ, δημοσίᾳ μετὰ τῶν ἄλλων τελούμεναι πρὸς τὴν οἰκοδομὴν καὶ ἡμῶν αὐτῶν καὶ τοῦ πλησίον. Τούτων δ' ἑκατέρων ὑπόδειγμα καὶ ἐντολὰς δέδωκεν ἡμῖν ὁ Κύριος, ὧν οὐδέποτε χρὴ ἐπιλανθάνεσθαι. Αὐτὸς μὲν γὰρ « ἐξῆλθεν ἐπὶ τὸ ὄρος προσεύξασθαι, καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ (α), » καὶ ἀνατείνων τὰς χεῖρας καὶ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν, εὐχαρίστει τῷ Θεῷ καὶ πατρὶ ἐπὶ ταῖς εὐεργεσίαις. Ἐπὶ δὲ τοῦ ὄρους τῶν ἐλαιῶν ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος (β). Τοῦ δ' ἑτέρου, μετὰ τὸν δεῖπνον ἀναστὰς ἐν μέσῳ τῶν μαθητῶν αὐτοῦ, ἐπῆρε τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν καὶ εἶπε· « Πάτερ, δόξασόν σου τὸν υἱὸν κτλ. (γ) ». Ἐδίδαξε δὲ καὶ πῶς δεῖ προσεύχεσθαι (δ)· « Ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταὶ, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς, καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις. Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν

(α) Λουκ. ϛ'. 12. (β) Ματθ. κϛ'. 39. (γ) Ἰωάν. ιζ'. 1.
(δ) Ματθ. ϛ'. 5-13.

Digitized by Google

τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. Προσευχόμενοι δὲ, μὴ βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν, ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν· κτλ. »

Καὶ παρεῖχε μὲν ἀεὶ προσευχόμενος, τρανὰ δείγματα τῆς πρὸς τὸν Θεὸν καὶ πατέρα αὐτοῦ εὐλαβείας καὶ τιμῆς, ἔπραττε δὲ τοῦτο πάνυ κοσμίως καὶ μετὰ διακρίσεως, ἔνθα ἂν ὁ καιρὸς ἐπέτρεπε, καὶ οὐδαμοῦ πρὸς ἐπίδειξιν. Τοῦτο καὶ παρὰ πᾶσι τοῖς ἔθνεσιν εὕρηται ἀεὶ γινόμενον· πάντες γὰρ οἱ ὁπωσδήποτε γνόντες τὸν Θεὸν, καὶ ἀγαπᾷν αὐτὸν, καὶ εὐλαβεῖσθαι καὶ τιμᾷν ἠσθάνοντο, βιαζόμενοι καὶ τὰ αἰσθήματα ταῦτα διὰ λατρευτικῶν πράξεων δεόντως ἐκδηλοῦν. Ἆρ' οὖν, ὡς σχηματισμὸς αὐθαιρέτως παραδεδεγμένος καὶ ὑπ' ἀλλήλων διδασκόμενος θεωρηθείη ἂν τοῦτο; Πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἐμπέφυκε τῇ τοῦ ἀνθρώπου λογικῇ φύσει, καὶ ἀνεξάλειπτον διαμένει· καὶ ἐνδέχεται μὲν μὴ ὀρθῶς διακρίνειν τινὰς τὴν ἔμφυτον ταύτην ὁρμὴν, ἀλλὰ καὶ ἐξουθενεῖν καὶ ἀντιπράττειν αὐτῇ, τὸ δὲ ὅλον τῆς ἀνθρωπότητος οὐδέποτε οὐδαμῶς πράξει τοῦτο. Διαφέρει δὲ μόνον ἐν τοῖς διαφόροις ἔθνεσι τὰ κατὰ τὴν ἐκδήλωσιν τῆς εὐσεβείας καὶ τοῦ θείου φόβου, καθὰ ἕκαστον ἠξιώθη ὀρθοτέρας, ἢ μὴ, γνώσεως τοῦ Θεοῦ.

§. 41. *Περὶ τοῦ καθήκοντος τοῦ πράττειν ἀνελλιπῶς τὰ τῆς ἐξωτερικῆς λατρείας, καὶ περὶ τῆς ἐκ τούτου ὠφελείας.*

Παντὸς καθήκοντος τὸ μέγεθος ἀνάλογον κρίνεται, ἔνθεν μὲν, τῷ ἐξ αὐτοῦ τελουμένου ἀγαθῷ, ἔνθεν δὲ, τῇ ἐκ τῆς ἀθετήσεως αὐτοῦ ζημίᾳ, καὶ τῇ ἰσχύϊ δ' αὐ-

Digitized by Google

τοῦ πρὸς τὴν ἐπιτυχίαν τοῦ τέλους ἡμῶν· ὅσῳ γὰρ αὕτη ὑπὸ μὲν τῆς ἐκτελέσεως τοῦ καθήκοντος ἀσφαλίζεται, ὑπὸ δὲ τῆς ὀλιγωρίας αὐτοῦ διακινδυνεύεται, τοσούτῳ καὶ τὸ καθῆκον καὶ ἡ τῆς ἐκτελέσεως αὐτοῦ ὀφειλὴ μείζων· ἐντεῦθεν ἄρα καὶ τὸ μέγεθος τοῦ καθήκοντος διαγινώσκεται τοῦ ἐκδηλοῦν διὰ τῶν λατρευτικῶν πράξεων, ὅσον, καὶ ὅπου, καὶ ὅπως δεῖ, τὴν πρὸς τὸν Θεὸν εὐσέβειαν καὶ τὸν φόβον πρὸς τὴν ἐπιτυχίαν τοῦ ἡμετέρου τέλους· εἰ γὰρ τέλος ἡμῶν ἐστιν ἡ τῆς ἐν ἡμῖν θείας εἰκόνος ἐπανόρθωσις, καὶ ἡ δι' αὐτῆς κοινωνία καὶ ἕνωσις πρὸς τὸν Θεὸν, πῶς ἂν ταύτης τύχοιμεν χωρὶς τῆς πρὸς τὸν Θεὸν ἀγάπης, καὶ χωρὶς ἀναζωπυρήσεως καὶ ὑποθάλψεως συνεχοῦς τῆς ἀγάπης ταύτης; Τί δ' ἄν ἄλλο ἀναζωπυροῖ μᾶλλον καὶ ὑποθάλποι τὴν ἀγάπην, ἢ ἡ ἐκτενὴς προσευχὴ καὶ πᾶσα ἄλλη εὐσεβὴς ἄσκησις τῶν τῆς θείας λατρείας; Καὶ πείρᾳ μὲν ἕκαστος γινώσκει, ὅτι ἅμα γνοὺς τὸν Θεὸν, ὡς τὸ ὕψιστον καὶ πανάγαθον Ὄν, καὶ ἀγαπᾷ αὐτὸν, καὶ ἐξομοιωθῆναι αὐτῷ εἰς δύναμιν ἐπιμελεῖται, καὶ εἰς ἐγγυτέραν ἀεὶ κοινωνίαν ἔρχεσθαι μετ' αὐτοῦ, καὶ ἄλλοις ἀνθρώποις τὴν γνῶσιν καὶ τὴν ἀγάπην ταύτην μεταδιδόναι, ἀλλὰ καὶ ἡ φύσις τοῦ πράγματος οὕτως ἀπαιτεῖ γίνεσθαι. Πῶς δ' ἂν ἄλλως ταῦτα γένοιντο, εἰ μὴ διὰ τῆς εὐμενοῦς καὶ προθύμου ἐκδηλώσεως τῆς πρὸς τὸν Θεὸν ἡμετέρας εὐσεβείας τε καὶ τοῦ θείου φόβου, καὶ παντὸς ἡμῶν τοῦ περὶ αὐτοῦ φρονήματος; Ὅσῳ δὲ μᾶλλον ἀγαπῶμεν τὸν Θεὸν, καὶ πεπληρωμένοι ἐσμὲν τῆς πρὸς αὐτὸν εὐσεβείας, τοσούτῳ μᾶλλον καὶ τῷ παναγίῳ αὐτοῦ νόμῳ προσέχομεν, ὅπως ἀκριβῶς τηρῆται, καὶ μηδαμῶς ἀθετῆται, ὡς ἔκφρασις τοῦ παναγάθου καὶ ὑψίστου αὐτοῦ θελήματος. Πόσα τοίνυν καὶ ἡλίκα ἀγαθὰ ἐκ τούτου ἔσται! πόσων δὲ κακῶν ἀπαλ-

Digitized by Google

λαγησόμεθα! Εἰ γὰρ παρὰ πᾶσιν ἀνθρώποις ἡ πρὸς Θεὸν ἀληθὴς εὐσέβεια διεδίδετο καὶ ἐστηρίζετο, μέγα ἂν τῇ αὐτῶν εὐδαιμονίᾳ τε καὶ μακαριότητι συνεβάλλετο. Τίνι δ' ἂν ἄλλο διαδοθείη τε καὶ στηριχθείη καὶ πλατυνθείη, ἢ διὰ τῶν εὐσεβῶν πράξεων τῆς θείας λατρείας, αἵτινες τὸ εὐσεβὲς ἡμῶν δηλοῦσι φρόνημα; Πανταχόθεν ἄρα δείκνυται μεγίστη ἡ ὀφειλὴ εἰς τὴν ἀκριβῆ καὶ πιστὴν αὐτῶν ἐκτέλεσιν, καὶ οὐ θέμις ἐξ ἐλαφρίας ἢ νωθρότητος ἢ καὶ ἀλαζονείας ὀλιγωρεῖν αὐτῶν. Διὰ τοῦτο καὶ ὁ Κύριος ἐντέλλεται τὸ « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς (α). »

§. 42. *Περὶ διακρίσεως τῶν κατὰ τὴν θείαν λατρείαν πράξεων.*

Συμβαίνει πολλάκις ἐν τοῖς ἀνθρώποις ἐπιτελεῖν μὲν τὰς τῆς θείας λατρείας πράξεις, οὐχὶ δὲ ἐξ ἀγάπης θερμῆς πρὸς τὸν Θεὸν, ἀλλὰ πρὸς ἄλλα κοσμικά τε καὶ πρόσκαιρα τέλη· διὸ καὶ ἀνέκαθεν διεκρίθησαν αὗται εἰς ἀληθεῖς, καὶ εἰς τὰς καθ' ὑπόκρισιν· κἀκεῖναι μὲν εἰσὶν, αἱ πρὸς ταῖς εἰρημέναις ἰδιότησι καὶ ἐξ ἀγάπης θερμῆς πρὸς τὸν Θεὸν γινόμεναι· αἱ δὲ, αἱ μὴ ἐξ ἀγάπης πρὸς τὸν Θεὸν, ὑφ' ἧς καὶ πᾶσαν ἔχουσι τὴν ἰδίαν ἀξίαν. Ὅτι δὲ αἱ τοιαῦται οὐ μόνον οὐδενός εἰσιν ἄξιαι, ἀλλὰ δὴ καὶ βδέλυγμά εἰσι παρὰ τῷ Θεῷ, καὶ παρὰ τοῖς ἀνθρώποις, ἅμα γνωσθεῖσαι αὐτοῖς ὡς τοιαῦται, οὐδ' ἀναμνῆσαι ἀναγκαῖον δοκεῖ. Προσωπεῖον γὰρ εὐσεβείας περιτιθέμενος ὁ οὕτω πράττων, δοκεῖν βούλε-

(α) Matθ. ε. 16.

Digitized by Google

ται ὃ οὐκ ἔστι, οὐδὲ γενέσθαι ὄντως βούλεται, ἀγαπᾷν τὸν Θεὸν ὑποκρινόμενος, ὃν οὐκ ἀγαπᾷ, λαχεῖν δέ τινος παρὰ τοῦ πλησίον τῇ τοιαύτῃ δόξῃ βουλόμενος. Ὑπόκρισις ὄντως, καὶ δεδήλωγμα ἀτεχνῶς! Ὅσον δὲ ὁ Σωτὴρ ἡμῶν ἀπεστρέφετο πάντας τοὺς διὰ τῆς ὑποκρίσεως δοξάζεσθαι ὑπὸ τῶν ἀνθρώπων βουλομένους, ὅπως ῥᾷον, ὧν ἐφίενται, τυγχάνωσιν, οὐδεὶς ὅστις ἀγνοεῖ. Παρέβαλλε δὲ καὶ τῇ ζύμῃ τὴν ὑπόκρισιν, τὴν παντὶ τῷ ἤθει τὴν ζύμωσιν μεταδιδοῦσαν καὶ παντὶ τῷ βίῳ καὶ τῷ φρονήματι καὶ τοῖς ἀγῶσι, καὶ πολλάκις πώρωσιν ὄντως τῷ πνεύματι καὶ ἀμετανοησίαν ἐμποιοῦσαν· διὸ καὶ ἐπ᾽ οὐδενὶ ἄλλῳ οὕτως ἠγανάκτει, οὐδ᾽ οὕτως αὐστηρῶς ἤλεγχεν, ὅσον τὴν ὑπόκρισιν. Διακρίνονται δὲ μάλιστα τῶν κατὰ τὴν θείαν λατρείαν πράξεων αἱ ἑπόμεναι· ἀ, ἡ κλίσις τοῦ αὐχένος καὶ τῶν γονάτων, καὶ ἡ ἐπὶ πρόσωπον προσκύνησις ἐπὶ τῆς γῆς, ἤτοι αἱ μετάνοιαι· β′, ἡ τῶν χειρῶν ἀνάτασις· γ′, ἡ ἐνατένισις καὶ ἀνύψωσις τῶν ὀφθαλμῶν εἰς τὸν οὐρανόν, ἢ ἡ προσήλωσις αὐτῶν εἰς τὴν γῆν· δ′, ἡ παντὸς εἴδους προσφορά· ε′, ἡ δοξολογία· ς′, ἡ προσευχή· ζ′, τὸ ἑορτάζειν τὰς κανονικὰς ἑορτὰς, καὶ ἡ κατ᾽ αὐτὰς σύναξις εἰς τὸν ναὸν τοῦ Θεοῦ· ἡ, ἡ δι᾽ ὅρκου βεβαίωσις· θ′, αἱ εὐχαὶ κ. τ. λ. Ταῦτα πάντα ὁμοῦ καλοῦνται λατρεία ἐξωτερικὴ τοῦ Θεοῦ, ἢ ἔργα τῆς θείας λατρείας, ὡς τούτοις χρωμένων συνήθως τῶν ἀνθρώπων, ὅσοι ἔγνωσαν τὸν Θεὸν, καὶ ἐπίστευσαν, ὅτι ἄξιός ἐστι λατρεύεσθαι ὑπὸ τῶν ἀνθρώπων, ὅπως φανερὰν ποιήσωσι τὴν ἑαυτῶν εὐσέβειαν καὶ τὸν θεῖον φόβον. Δεῖ δὲ πάντα ταῦτα ἐκ τῆς πρὸς Θεὸν καθαρᾶς ἀγάπης πράττεσθαι, καὶ τὰς λοιπὰς, ἃς προαπεδώκαμεν, ἔχειν ἰδιότητας, καὶ ἐπιτήδεια πρὸς τὸ τέλος εἶναι, ἵνα καὶ πλείστου ἄξια λογίζωνται. Διὰ γὰρ τούτων εἰκονικῶς δεικνύομεν,

Digitized by Google

ὅτι γινώσκομεν τὸν Θεὸν, καὶ ὁμολογοῦμεν αὐτὸν ὡς πρώτην καὶ κυρίαν πηγὴν παντὸς ἀγαθοῦ, καὶ παρ' αὐτοῦ προσδοκῶμεν πάντα τὰ πρὸς συντήρησιν καὶ διατροφὴν καὶ σκέπην ἡμῶν ἀναγκαῖα, καὶ πάντα δὲ, ὧν ἤδη ἠξιώθημεν ἀγαθῶν, τῇ αὐτοῦ ἀγαθότητι ὀφείλομεν. Οὕτως οὖν χρωμένων ἡμῶν τούτοις, πολλοῦ πάντως εἰσὶν ἄξια, καὶ δόξαν ἡμῖν οὐ μικρὰν περιάπτουσιν· εἰ δὲ κατὰ συνήθειαν μόνον γίνονται, μηδὲν ἐν τῇ ψυχῇ ἡμῶν ὑπὲρ τοῦ Θεοῦ αἰσθανομένων, οὐδενός ποτέ εἰσιν ἄξια, ἀλλὰ κενόν τι καὶ μάταιον ἄθυρμα καὶ βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ. « Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; Λέγει Κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. Ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστι . . . καὶ τὰς νουμηνίας ὑμῶν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου· ἐγενήθητέ μοι εἰς πλησμονήν, οὐκ ἔτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Ὅταν ἐκτείνητε τὰς χεῖρας, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν κ.τ.λ. (α) ». Τὸ γὰρ περὶ τῶν θυσιῶν ἐνταῦθα λεγόμενον καὶ περὶ πάσης λατρευτικῆς πράξεως ἄριστα ἂν ὁρμόσειεν.

§. 43. *Περὶ προσευχῆς καὶ τῶν διαφόρων εἰδῶν καὶ τύπων αὐτῆς.*

Οὐκ εὐχερὲς μὲν ἀποδοῦναι τὸν τῆς προσευχῆς ὅρον, πολλοὺς ἐν μιᾷ ἰδέᾳ ἀπεριλήπτους τύπους ἐχούσης. Ἡ

(α) Ἡσαΐ. α. 11—16.

Digitized by Google

γὰρ ἀνύψωσις τοῦ πνεύματος εἰς τὸν Θεὸν μετὰ πεποιθήσεως, ἡ συνδιάλεξις μετὰ τοῦ Θεοῦ, ἡ συμβούλευσις μετ' αὐτοῦ, κτλ. οὐ παρίστησι τὴν τῆς προσευχῆς γενικήν τε καὶ περιληπτικὴν ἰδέαν. Πολλὰ μὲν γὰρ καὶ πολλαχῶς ἐνεργεῖν ἐν τῇ προσευχῇ δύναται ἡ διάνοια, ἢ τὴν τοῦ Θεοῦ μεγαλωσύνην καὶ ἀγαθότητα θεωροῦσα, καὶ τὴν ἀπανταχοῦ παρουσίαν, καὶ τὴν παντογνωσίαν, καὶ παντοδυναμίαν αὐτοῦ, καὶ ὅτι παρέχει αὐτὸς πλουσίως πᾶσι πᾶν ἀγαθὸν, ἢ ἑρμηνεύουσα τὰ τῆς εὐσεβείας καὶ τὰ τῆς ἀγάπης καὶ εὐλαβείας αἰσθήματα, ἢ τὰς περιστάσεις καὶ θλίψεις καὶ ἀνάγκας ἀναλογιζομένη, καὶ συνιστῶσα ταύτας τῇ αὐτοῦ εὐσπλαγχνίᾳ, ἢ τὴν τῶν ἡμαρτημένων ἄφεσιν ἐξαιτουμένη, ἢ εὐχαριστοῦσα ἐφ' οἷς ἤδη ἀπήλαυσεν ἀγαθοῖς, ἢ καὶ τῶν ἄλλων τῶν περὶ ἡμᾶς τὸ ἀγαθὸν καὶ τὴν θλίψιν διανοουμένη, καὶ ἀναφέρουσα καὶ ταῦτα τῇ τοῦ Θεοῦ ἀγαθότητι. Πάντα ταῦτά, φημι, δύναται ἡ ψυχὴ διὰ λόγων ἢ δι' ἐσωτερικῶν κινήσεων, αἵτινες τὰ μυστικὰ αἰσθήματα καὶ τὰς εὐχὰς ἡμῶν δηλοῦσιν, ἐνεργεῖν ἐν τῇ προσευχῇ. Ὅτι δὲ πάντα ταῦτα εἰς τὴν τῆς προσευχῆς ἰδέαν συνέρχονται, οὐ χαλεπὸν συνιέναι, διὸ καὶ ἀνέκαθεν ἐρρέθη περὶ προσκυνήσεως, περὶ δεήσεως, περὶ αἰτήσεως, περὶ εὐχαριστίας καὶ δοξολογίας, περὶ παρακλήσεως, ὡς περὶ τοσούτων εἰδῶν προσευχῆς διαφόρων, ἀλλὰ καὶ περὶ μυστικῆς ἢ κατὰ διάνοιαν προσευχῆς, καὶ περὶ φανερᾶς τῆς διὰ λόγων ἀπαγγελλομένης. Τὸ δὲ κυριώτατον κατὰ πάντα ταῦτα τοῦτό ἐστιν, ὅτι ὁ νοῦς διανοεῖται τὸν Θεὸν, ὡς τὸ ὕψιστον καὶ πανάγαθον Ὄν, ὡς παρόντα, καὶ παντεπόπτην, καὶ παντογνώστην, καὶ παντοδύναμον, καὶ παντὸς ἀγαθοῦ χορηγόν· ἡ δὲ γνῶσις αὕτη καὶ τὸ φρόνημα δείκνυται ἐν τῇ εὐσεβείᾳ, νῦν μὲν οὕτως, νῦν δὲ οὕτως. Τοῦτό, φημι, ἐστὶ τὸ κυριώτατον, οὗ χωρὶς πᾶσα προ-

Digitized by Google

σευχὴ διαστρέφεται εἰς βαττολογίαν καὶ λῆρον κενὸν πρὸς τὸν Θεὸν, χωρὶς λογισμοῦ τοῦ Θεοῦ. Ὀρθῶς δὲ πρὸ τῶν ἄλλων ἡ προσκύνησις ἀριθμεῖται· ἔστι γὰρ τελεία ταπείνωσις καὶ ἀφοσίωσις τῆς ψυχῆς εἰς τὸν Θεὸν, καὶ πᾶσαν τὴν αὐτοῦ πάνσοφον βουλὴν καὶ οἰκονομίαν. Ἐμπνέει δὲ ταῦτα ἡ ὀρθὴ γνῶσις, ἔνθεν μὲν, τῆς τοῦ Θεοῦ μεγαλωσύνης, ἐκεῖθεν δὲ, τῆς ἡμῶν μικρότητος καὶ ἀσθενείας, καὶ τῆς τελείας ἡμῶν ἀπὸ τοῦ Θεοῦ ἐξαρτήσεως. Ἐδεικνύετο δὲ ἐξ ἀρχῆς ἡ προσκύνησις τῇ βαθείᾳ ὑποκλίσει τοῦ αὐχένος, καὶ τῇ τοῦ προσώπου προσηλώσει ἐπὶ τὴν γῆν, καὶ τοῖς αἴνοις τοῖς μετ' ἐνδομύχου εὐλαβείας καὶ φόβου. Ἡ δὲ δέησίς ἐστιν ἡ μετὰ πεποιθήσεως ἔκθεσις τῶν ἀναγκῶν ἡμῶν καὶ περιστάσεων, ἐν ᾗ δεόμεθα μὲν, ὡς τέκνα τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ὅπως ἐπιβλέψας ἐφ' ἡμᾶς εὐμενῶς, πρὸς τὸ συμφέρον τό τε αἰώνιον καὶ τὸ πρόσκαιρον οἰκονομήσῃ αὐτάς· οὕτω δ' ὅμως ἀεὶ διακείμεθα, ὥστε τὴν εὐδοκίαν τῆς αὐτοῦ σοφίας καὶ ἀγαθότητος καὶ δικαιοσύνης καὶ ἁγιωσύνης στέργειν, καὶ ταύτῃ ἐντελῶς ὑποτάσσεσθαι. Ἐξομολόγησις δὲ καλεῖται ἡ ἑκούσιος τῶν ἁμαρτημάτων ἡμῶν ὁμολογία ἐνώπιον τοῦ Θεοῦ, καὶ ἡ μετὰ ταπεινώσεως αἴτησις τῆς ἀφέσεως αὐτῶν, σὺν τῇ ἐπαγγελίᾳ τοῦ προσέχειν μᾶλλον τοῦ λοιποῦ τῷ θείῳ νόμῳ καὶ τῷ θείῳ θελήματι, ἀλλὰ καὶ σὺν πεποιθήσει, ὅτι ὁ Θεὸς διὰ τὴν ἄπειρον ἀγαθότητα καὶ εὐσπλαγχνίαν αὐτοῦ, ἐξαιρέτως δὲ διὰ τὴν ἰσχυρὰν μεσιτείαν τοῦ λυτρωτοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀφήσει ἡμῖν πάντα, καὶ τὴν χάριν ὠρήσεται πρὸς τὴν τελείαν διόρθωσιν ἡμῶν καὶ σωτηρίαν. Οὕτω καὶ ἔντευξις καὶ εὐχαριστία πρὸς τὸν Θεόν ἐστιν, ἀναλογισμὸς μὲν πρῶτον ἐν σιωπῇ τῶν πρὸς ἡμᾶς πολλῶν καὶ ποικίλων τοῦ Θεοῦ εὐεργεσιῶν, καὶ τῆς ἡμετέρας ἀναξιότητος καὶ τῆς ἐκείνου ἀγα-

Digitized by Google

θότητος, ὑφ' ἧς ἐδωρήθησαν ἡμῖν· εἶτα δὲ ὁμολογία ἐνδόμυχος τῆς ζωηρᾶς καὶ βαθείας ἡμῶν ἐπ' αὐταῖς εὐγνωμοσύνης, καὶ ἐπιθυμία σφοδρὰ καὶ θερμὴ τοῦ ἀνταποδοῦναί τί πως τῷ παναγάθῳ ἡμῶν εὐεργέτῃ, πρὸς τὸ ἀγαθὸν καὶ κατὰ τὸ θέλημα αὐτοῦ ταῖς εὐεργεσίαις χρωμένους. Ἡ δὲ παράκλησις, ἱκεσία τις ὑπάρχει οὐχ ὑπὲρ τῶν ἰδίων, ἀλλ' ὑπὲρ τῶν ἀλλοτρίων ἀναγκῶν καὶ περιστάσεων ἐκ φιλαδελφίας, ἵνα ἵλεως αὐτοῖς γένηται, καὶ εὐμενῶς ἐπ' αὐτοὺς ἐπιβλέψῃ, δωρούμενος αὐτοῖς τὰ πρὸς τὴν παροῦσαν εὐδαιμονίαν, καὶ τὰ πρὸς τὴν αἰώνιον σωτηρίαν.

§. 44. *Περὶ τοῦ καθήκοντος τοῦ προσεύχεσθαι.*

Ὅτι μὲν τῶν σπουδαιοτάτων καθηκόντων τοῦ εὐσεβοῦς ἐστι τὸ προσεύχεσθαι, οὐδεὶς ἂν τῶν γινωσκόντων τὸν Θεὸν, καὶ τὴν ἡμετέραν πρὸς αὐτὸν σχέσιν, ἀντίποι. Τί γὰρ ἐσμὲν, ἢ τί ἔχομεν, ὃ οὐκ ἐλάβομεν παρὰ τοῦ Θεοῦ; Αὐτός ἐστι πάντων κύριος, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν (α). Πῶς οὖν οὐκ ὀφείλομεν διὰ παντὸς καὶ μετὰ χαρᾶς τῆς παρ' αὐτοῦ τελείας ἡμῶν ἐξαρτήσεως μνημονεύειν, καὶ μακαρίους ἡγεῖσθαι ἡμᾶς αὐτοὺς, ὅτι πάντα τὰ καθ' ἡμᾶς τοιούτου ἔλαχον κηδεμόνος καὶ εὐεργέτου, καὶ συνεχῶς συνιστάναι ταῦτα τῇ πατρικῇ αὐτοῦ ἀγαθότητι, καὶ περὶ τῆς ἀφέσεως τῶν ἡμετέρων ἁμαρτημάτων ἱκετεύειν, καὶ ἐπὶ ταῖς πρὸς ἡμᾶς αὐτοῦ εὐεργεσίαις εὐχαριστεῖν; Εἰ γὰρ μὴ πολλάκις τὴν τοιαύτην ἀνάγκην αἰσθανόμεθα, οὐδὲ τοῦ ὀνόματος τοῦ ἀνθρώπου καὶ τοῦ λογικοῦ ὄντος ἄξιοι ἂν εἴημεν. Ἐκ τούτου

(α) Ῥωμ. ι. 12.

Digitized by Google

καὶ ἡ τοῦ Σωτῆρος ἡμῶν θεία ἐντολή « Ἀγρυπνεῖτε καὶ προσεύχεσθε »· καὶ πάλιν, « Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν » (α). Οὐ μέντοι νομίζειν χρὴ, ὅτι διὰ τῆς προσευχῆς γνωστὰ τὰ καθ' ἡμᾶς τῷ Θεῷ ποιοῦμεν. « Οἶδε γάρ, φησιν, ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτά » (β)· οὐδ' ὅτι διὰ τῆς τῶν αἰτήσεων φορτικότητος δυνάμεθα ἀναγκάσαι, ἢ ἄλλως πως κινῆσαι τὸν Θεὸν εἰς εὐεργεσίαν. Ἐκ γὰρ τῆς οἰκείας ἀγαθότητος τὸ χρήσιμον ἑκάστῳ παρέχει, μηδενὶ ἐπὶ τοῖς χαρίσμασιν αὐτοῦ γογγύζων· « ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ » (γ)· οὐδ' ὅτι χαριζόμεθα τῷ Θεῷ διὰ τῆς προσευχῆς· ἡμῶν γὰρ ἕνεκα, καὶ ὑπὲρ ἡμῶν μᾶλλόν ἐστιν, ἢ ὑπὲρ τοῦ Θεοῦ· ὅτι ἡμεῖς χρείαν ἔχομεν μανθάνειν ἐπὶ μᾶλλον καὶ μᾶλλον τὸν Θεὸν, καὶ τὴν πρὸς ἡμᾶς αὐτοῦ ἄφατον ἀγαθότητα, καὶ μᾶλλον οἰκειοῦσθαι αὐτῷ, καὶ εἰς τὴν ἐξ ὅλης ψυχῆς καὶ καρδίας ἀγάπην πρὸς αὐτὸν προτρέπεσθαι, καὶ τὴν ἐν ἡμῖν εὐσέβειάν τε καὶ τὸν θεῖον φόβον, καὶ τὴν εὐγνωμοσύνην ἀναζωοποιεῖν τῇ συνεχεῖ ἀναμνήσει τῶν ἀπείρων αὐτοῦ πρὸς ἡμᾶς εὐεργεσιῶν, ἃς καὶ ἐποίησε, καὶ ἀδιαλείπτως ποιεῖ, καὶ ἐν πάσαις ταῖς ἐπερχομέναις γενεαῖς ποιήσει κατὰ τὰς ἀψευδεῖς αὐτοῦ ἐπαγγελίας.

Εἰς ταῦτα δεῖ φέρειν ἡμᾶς τὴν προσευχὴν, καὶ τοῦτο δύναται.

§. 45. *Περὶ τῆς νοερᾶς καὶ τῆς διὰ λόγων προφερομένης προσευχῆς.*

Ἡ μὲν νοερὰ προσευχὴ ἐν τοῖς εὐσεβέσιν ὑφίσταται

(α) Ματθ. ζ'. 1. (β) Ματθ. ς'. 8. (γ) Ῥωμ. ιά. 29.

Digitized by Google

διαλογισμοῖς τοῖς ἐν τῇ ψυχῇ μόνῃ διατηρουμένοις, καὶ μὴ διὰ τοῦ λόγου ἐκφραζομένοις. Χρησίμη δ' ἂν εἴη αὕτη ἐν τῇ κατὰ μόνας διατριβῇ. Ἡ δὲ διὰ τῶν χειλέων προφερομένη ἐπιτηδειοτέρα τυγχάνει ἐν ταῖς δημοσίᾳ γινομέναις ἱεραῖς συνάξεσιν· ἀμφοτέρων δὲ τούτων τύπους τινὰς καὶ βιβλία ὑπάρχειν δεῖ τοῖς πλείστοις, ἃ τοσούτῳ μείζονός εἰσιν ἄξια, ὅσῳ δεινότερα τυγχάνει διεγείρειν τὸ πνεῦμα, καὶ ἐνθουσιᾷν καὶ ἀνακινεῖν τὴν εὐσέβειαν καὶ τὸν θεῖον φόβον, καὶ τὴν εὐγνωμοσύνην, καὶ τὴν ἀγάπην, καὶ πάντα τὰ ἄλλα εὐσεβῆ τε καὶ θεοφιλῆ αἰσθήματα. Τοιοῦτοι δ' εἰσὶν οἱ τύποι τῶν εὐχῶν καὶ πάντα τὰ τῆς προσευχῆς βιβλία, τὰ ὑπὸ τῆς ἐκκλησίας παραδεδεγμένα τε καὶ τεταγμένα εἰς τοῦτο. Ἄριστος δὲ καὶ τελειότατος προσευχῆς τύπος ὁμολογεῖται ὁ παρὰ τοῦ σωτῆρος ἡμῶν Θεοῦ δοθεὶς ἡμῖν, ἐὰν μὴ ἀλογίστως τε καὶ μηχανικῶς προφέρηται· ἔστι γὰρ οἱονεὶ σύνοψις πασῶν τῶν εὐσεβῶν εὐχῶν, ἃς ὁ ἀληθὴς τοῦ Θεοῦ λάτρις τρέφοι ἂν ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ ἐν παντὶ καιρῷ ἀδιστάκτως δύναται ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων φανεροῦν. Πρῶτον μὲν γὰρ εὔχεται, ἵνα κοινῶς καὶ πανταχοῦ γνωρισθῇ ὁ Θεὸς ὡς πατὴρ εὐμενέστατος καὶ προνοητὴς καὶ κηδεμὼν πάντων ἀνθρώπων, καὶ προσηκόντως δοξάζηται καὶ προσκυνῆται. Εἶτα δὲ, ἵνα μᾶλλον ἔλθῃ ἐφ' ἡμᾶς ἡ βασιλεία αὐτοῦ, ἥτις ἐστὶν ἡ βασιλεία τῆς ἀληθείας, τῆς δικαιοσύνης, τῆς φιλανθρωπίας, τῆς καθόλου εἰρήνης, καὶ τῆς ἀδελφικῆς ἀγάπης, καὶ εἰς πάντας διαδοθῇ. Τρίτον δὲ, ἵνα τὸ πανάγιον αὐτοῦ θέλημα, ὡς ἀπαίτησις τῆς ὑψίστης σοφίας, ἀγαθότητος, δικαιοσύνης καὶ ἁγιωσύνης, γνωστὸν γένηται καὶ τηρῆται παρὰ πᾶσι, καθάπερ καὶ παρὰ τοῖς ἁγίοις ἀγγέλοις. Τέταρτον, ἵνα μηδέποτε ὑπὸ τῆς ἐνδείας τῶν πρὸς τὸ ζῆν

Digitized by Google

ἀναγκαζόμενοι, τὴν χρηστότητα καὶ ἀρετὴν ἀθετήσωμεν. Πέμπτον, ἵνα μὴ ἐν γνώσει ἐμμένωμεν τῇ ἁμαρτίᾳ, ἣ ἔχθραν ἐν τῇ καρδίᾳ πρὸς τοὺς ἀνθρώπους τρέφωμεν. Ἕκτον δὲ, ἵνα μὴ ἐάσῃ ἡμᾶς ἐλθεῖν εἰς ἀπορίαν, ἐν ᾗ κινδυνεύομεν ἄπιστοι γενέσθαι αὐτῷ καὶ παραβάται τοῦ ἁγίου αὐτοῦ νόμου· εἰ δέ τι ἀπερισκέπτως ἢ ἐκ συναρπαγῆς πάθους τινὸς ἡμάρτομεν, συγχωρήσῃ ἡμῖν διὰ τὴν πολλὴν αὐτοῦ ἀγαθότητα, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὁπωσδήποτε ἡμᾶς ἀδικήσασιν· ἐν δὲ τοῖς κατ' ἀνάγκην συμβαίνουσιν ἡμῖν ἐναντίοις, τὴν ἀναγκαίαν δύναμίν τε καὶ καρτερίαν παράσχῃ, ἵνα ὡς λογικοὶ ὑπομεῖναι ταῦτα δυνηθῶμεν καὶ μὴ αἰσχρῶς εἰς τὴν ἀθλιότητα καὶ κακίαν ἐκπέσωμεν. Πρὸς δὲ τὴν τούτων ἐκτέλεσιν δύο μάλιστα δεῖται· ἀ, τῆς παρὰ τοῦ Θεοῦ κραταιᾶς βοηθείας· β', τῆς παρ' ἡμῶν ἀγαθῆς θελήσεως. Τὸ μὲν οὖν πρῶτον αἰτοῦμεν παρὰ τοῦ Θεοῦ ἐν ταύτῃ τῇ προσευχῇ, τῇ μετὰ θάρρους καὶ πεποιθήσεως τὰς εὐσεβεῖς ἡμῶν ἐπιθυμίας ἐκτιθεμένῃ· εἰς δὲ τὸ δεύτερον προτρεπόμεθά τε καὶ ἐνισχυόμεθα ὑπ' αὐτῆς, ὁρῶντες πάσας ταύτας τὰς εὐχὰς, καί τοι ἀγαθὰς καὶ εὐσεβεῖς, μηδέποτ' ἂν ἐκτελουμένας, χωρὶς τῆς παρὰ τοῦ Θεοῦ ἀντιλήψεως σὺν τῇ σπουδῇ καὶ ἐνεργείᾳ καὶ ἡμῶν αὐτῶν.

§. 46. *Περὶ τοῦ πότε, καὶ ποῦ δεῖ μάλιστα προσεύχεσθαι.*

Οὐ ῥᾴδιον μὲν ἀκριβῶς ὁρίσαι τὸν χρόνον οὐδὲ τὸν τόπον τῆς προσευχῆς· φησὶ δὲ ὁ Σοφὸς, « Πρὶν εὔξασθαι. ἑτοίμασον σεαυτὸν, καὶ μὴ γίνου ὡς ἄνθρωπος πειράζων τὸν Κύριον » (α). Ἵνα δέ τις, ὡς δεῖ, προσεύξηται,

(α) Σειρὰχ ιή, 23·

Digitized by Google

δεῖται ά, γαλήνης τοῦ πνεύματος, καὶ ἀπαλλαγῆς παντὸς πάθους σφοδροῦ καὶ ταραχῆς καὶ μερίμνης· β', ὀρθῆς ἐπιγνώσεως τοῦ Θεοῦ καὶ τῆς αὐτοῦ μεγαλωσύνης· γ', ἀναμνήσεως ζωηρᾶς τῆς παρ' αὐτοῦ ἡμῶν ἐξαρτήσεως, ἥ, ὅπερ οὐδὲν διαφέρει, ὁ βουλόμενος προσεύξασθαι ἀναμνησθήτω προτοῦ, τί μὲν αὐτός ἐστι, τί δὲ ὁ Θεός, καὶ τί τὸ ἐν τῇ προσευχῇ αἰτούμενον. Καὶ τὸν μὲν Θεὸν γινωσκέτω ἀεὶ ὡς παρόντα, καὶ παντεπόπτην, καὶ παντογνώστην, καὶ παντοδύναμον, πανάγιόν τε καὶ δικαιότατον καὶ παντὸς ἀγαθοῦ πηγὴν ἀέννaον. Εἶτα δ' ἐξομολογείσθω μετ' εὐλαβείας πάντα αὐτοῦ τὰ διανοήματα καὶ τὰς ἐπιθυμίας, ὡς προσήκει τῇ τοῦ Θεοῦ μεγαλωσύνῃ καὶ τῇ λογικῇ τοῦ ἀνθρώπου φύσει. Καὶ τῆς μὲν νοερᾶς προσευχῆς οὐκ ἄν ποτε καιρὸς ἴδιος ὁρισθείη, ὡς παντὸς καιροῦ καὶ χρόνου ἐπιτηδείου εἰς αὐτὴν ὄντος· διὸ καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ οἱ θεῖοι Ἀπόστολοι ἐνετείλαντο « ἀδιαλείπτως προσεύχεσθαι, » ὃ δηλοῖ, ἀδιαλείπτως ἐν παντὶ καιρῷ μνημονεύειν τοῦ Θεοῦ, καὶ πίστει καὶ ἀγάπῃ ἀναλλοιώτῳ ἀνακεῖσθαι αὐτῷ, καὶ πάντα πρὸς εὐαρέστησιν αὐτοῦ πράττειν, καὶ ἡμέρας τε καὶ νυκτὸς ἐπιποθεῖν μᾶλλον ἐπιγνῶναι αὐτὸν καὶ συνοικειοῦσθαι αὐτῷ. Τῆς δὲ κοινῆς καὶ διὰ λόγου γινομένης καιρὸς ἴδιος μάλιστα νομίζεται ά, αἱ τῶν ἑορτῶν ἡμέραι· β', αἱ τῶν πειρασμῶν καὶ τῆς κοινῆς ἀνάγκης· γ', ὅτε προτίθεται ἔργῳ τινὶ ἀγαθῷ καὶ σπουδαίῳ ἐπιχειρεῖν· δ', ὅτε μεγάλης παρὰ τοῦ Θεοῦ εὐεργεσίας ἠξιώθη· έ, ὅλως δὲ καὶ πάντες οἱ παρὰ τῆς ἐκκλησίας τῶν πιστῶν ὡρισμένοι εἰς τοῦτο καιροί. Δύναται μέντοι καὶ αὐτός τις πρὸς τὴν κατὰ μόνας προσευχὴν ἴδιον ὁρίζειν καιρὸν, καὶ εἴ ποτε μὴ ἐπιτρέποιτο ὑπὸ τῶν περιστάσεων, οὐ χρὴ δουλικῶς αὐτῷ προσκεῖσθαι. Ὃ δὲ περὶ τοῦ χρόνου εἰρήκαμεν, τοῦτο καὶ περὶ

Digitized by Google

τοῦ τόπου ἁρμόσειεν. Εἰ γὰρ μὴ κενὸν ἄθυρμα τὴν προσευχὴν ποιεῖν βούλοιτο, ἀναχωρείτω ἔνθα ἂν ἧττον θορυβοῖτο καὶ περισπῷτο τὸν νοῦν. Τοῦτο σημαίνει ἡ τοῦ Σωτῆρος ἐντολή· « Σὺ δὲ, ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ » (α). Καὶ αὐτὸς δὲ ἀπελθὼν, φησὶν, εἰς τὸ ὄρος διενυκτέρευσεν ἐν τῇ προσευχῇ. (β) Πρὸς δὲ τὴν κοινὴν προσευχὴν ἐπιτηδειότατοι μάλιστά εἰσι ἁ, οἱ ἱεροὶ ναοὶ τῶν πιστῶν, καὶ οἱ εὐκτήριοι οἶκοι· β', καὶ ὁ οἶκος, ἐν ᾧ τις διαμένει, ἀλλὰ καὶ ἐν ὑπαίθρῳ ἔστιν ὅτε. Στάσις δὲ καὶ θέσις ἐν ταῖς προσευχαῖς ἔστω ἀεὶ κατὰ τοὺς κανόνας τῆς κοσμιότητος καὶ εὐπρεπείας, ἵνα καὶ δι' αὐτῆς ἡ ἐσωτερικὴ εὐλάβεια καὶ αἰδημοσύνη ἡμῶν δηλῶται, καὶ ἡ πρὸς τὸν Θεὸν ἀγάπη καὶ ἡμῶν αὐτῶν καὶ πάντων τῶν περὶ ἡμᾶς αὔξηται καὶ στηρίζηται. Τὸ δὲ εὐπρεπὲς τῆς στάσεως ἐκ τοῦ καιροῦ μάλιστα τῆς προσευχῆς καὶ τοῦ κοινοῦ ἔθους κανονίζεται.

§. 47. *Περὶ τοῦ ἐν τῇ προσευχῇ περισπασμοῦ.*

Τὸ διὰ γλώσσης μόνον προσεύχεσθαι χωρὶς τῆς τοῦ νοὸς προσοχῆς καὶ τῆς ἐσωτερικῆς ἀγαθῆς διαθέσεως, οὐδὲ προσευχὴν ταύτην ὀνομαστέον. Καλεῖται δὲ περισπαμὸς τοῦ νοὸς, ὅταν ἱστῆται μέν τις ὡς προσευχόμενος, καὶ λόγους προσευχῆς διὰ τῶν χειλέων προφέρῃ, ἡ δὲ διάνοια ἐπὶ πᾶν μᾶλλον ῥέμβηται, ἢ ἀνυψῶται εἰς τὸν Θεόν. Τοῦτο δὲ συμβαίνειν εἴωθε μάλιστα, ὅταν τις τὸν αὐτὸν τῆς προσευχῆς τύπον συνεχῶς ἐπανα-

(α) Ματθ. ς'. 6. (β) Λουκ. ς'. 12.

Digitized by Google

λαμβάνῃ· ὑφίησι γὰρ τοῦτο τὴν τοῦ νοὸς προσοχὴν καὶ ἐπ᾽ ἄλλο τι, καὶ παρὰ γνώμην περισπᾷ, μὴ δυναμένου ἐφ᾽ ἓν καὶ τὸ αὐτὸ ἐπὶ πολὺ διαμένειν, ἀλλ᾽ ἀπαυδοῦντος, καὶ ἐπ᾽ ἄλλο ἑκουσίως μεθισταμένου. Ἐκ τούτου καὶ οἱ περισπασμοὶ εἰς ἑκουσίους καὶ εἰς ἀκουσίους ἀνέκαθεν διεκρίθησαν, ὡς κατὰ τὸ μᾶλλον ἢ ἧττον ἐκ προαιρέσεως γεννώμενοι, καὶ τῇ ἀμελείᾳ καὶ τῷ νυσταγμῷ ἐπερειδόμενοι· μὴ ἀπωθσύμενος γὰρ εὐθὺς, ὅταν ἐπέλθῃ, ἑκούσιόν τι γίνεται καὶ βουλητόν. Τὰ δὲ τοὺς περισπασμοὺς ἐμποιοῦντά εἰσι, ἁ, ἡ τῆς αὐτῆς εὐχῆς πολλάκις ἐπανάληψις· β΄, αἱ δειναὶ παθήσεις· γ΄, σάλος καὶ βρασμὸς τοῦ πνεύματος· δ΄, πᾶσα ὁρμὴ σφοδρὰ τῆς ψυχῆς καὶ πάθος, οἷον φόβος, ἐπιθυμία, μέριμνα, λύπη, κ. τ. λ. Ὑπὸ πάντων τούτων ἀπὸ τῆς προσοχῆς εἰς τὸν Θεὸν ἐπ᾽ ἄλλο τι περισπᾶται ἡ διάνοια, μέχρις ἂν, τὸν περισπασμὸν συνιδοῦσα, εἰς ἑαυτὴν ἐπανέλθῃ. Εἰ δέ τις ἐπίτηδες τὸ τοῦ προσευχομένου σχῆμα καὶ τὴν στάσιν λαμβάνει, ὁ δὲ νοῦς αὐτοῦ ἄλλῳ τινὶ τῶν βιωτικῶν πραγμάτων προσέχει, οὗτος δὴ ὑποκριτής ἐστι καὶ ψεύστης, καὶ τὸ ἔργον αἰσχρὸν καὶ βδελυκτὸν, μάλιστα δὲ, ἐὰν γίνηται, ἵνα δόξαν ἀγαθὴν καὶ σέβας τῷ πράττοντι παρὰ τοῖς ἄλλοις περιποιήσηται. Τοῦ γὰρ ἱερωτάτου τῶν ἐν ἀνθρώποις κατάχρησις γίνεται πρὸς τέλη βέβηλα καὶ αἰσχρὰ, διὸ καὶ ἡ ἁμαρτία τούτου τοσούτῳ μείζων λογίζεται, ὅσῳ τὸ τέλος ἀγενέστερον, καὶ πρὸς ἐξαπάτησιν τῶν ἄλλων μᾶλλον ἀφορᾷ. Ἡ δὲ εὐπρόσδεκτος τῷ Θεῷ προσευχή ἐστιν ἡ τοῦ νοὸς ἀτενὴς προσκόλλησις εἰς αὐτόν· πᾶσα δὲ ὑπόκρισις ἢ βία εἰς αὐτὴν βδέλυγμα ὑπάρχει τῷ Θεῷ, διὸ καὶ προὐργιαίτατον ἂν εἴη τὸ διδάσκεσθαι, οἵαν εἶναι δεῖ τὴν προσευχὴν, καὶ πόσα τὰ εἴδη αὐτῆς, καὶ πότε καὶ πῶς ἑκάστῳ αὐτῶν χρηστέον, καὶ ὅτι οὐ χρὴ εὐ-

Digitized by Google

σεβέστερόν τε καὶ θαρεστότερον ἑαυτὸν νομίζειν, διότι πλείστας γινώσκει προσευχὰς, καὶ πολὺν καθ' ἑκάστην δαπανᾷ χρόνον εἰς τὸ ἀπαγγέλλειν αὐτὰς, καὶ ὅτι οὐδέποτε δεῖ αἰτεῖν παρὰ τοῦ Θεοῦ ἄδικα, ἢ τῇ ἐκείνου σοφίᾳ καὶ ἀγαθότητι καὶ δικαιοσύνῃ διαμαχόμενα, οὐδ' ἀποδιδόναι μείζονα ἰσχὺν καὶ ἀξίαν τύποις τισὶ προσευχῆς ἢ εὐλογίας· οὐ γὰρ αἱ λέξεις, ἀλλ' ἡ διάθεσις τοῦ προσευχομένου τὴν ἀξίαν τῇ προσευχῇ προστίθησιν. Οὕτω δὲ καί τινας ἐν ταῖς προσευχαῖς μιγνυομένας δεισιδαιμονίας φεύγειν ἀνάγκη, οἷον τὸ νομίζειν προσευχάς τινας ἔν τισι καιροῖς καὶ τόποις ἰδίως, ἢ ἀπέναντί τινων εἰκόνων προφερομένας ἰσχύειν ἐξαιρέτως περιποιῆσαι ἡμῖν τὴν τοῦ Θεοῦ εὐμένειαν καὶ εὐεργεσίαν· τοὐναντίον δὲ ἰσχυρῶς ἀντέχεσθαι τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως. « Τοιούτους γάρ, φησιν ὁ Κύριος ἡμῶν, ζητεῖ ὁ Θεὸς τοὺς προσκυνοῦντας αὐτόν » (α). Ἡ δὲ τοιαύτη προσκύνησις οὐ χρόνῳ οὐδὲ τόπῳ περιγράφεται· « Ἔρχεται, φησιν, ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱερουσολύμοις προσκυνήσετε τῷ πατρί(β) » Οὐ τύπον, οὐ φωνὴν, οὐ σχῆμα ἴδιον ἔχει, ὅτι « Πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. » Μόνης δηλαδὴ τῆς τοῦ ἀνθρώπου διανοίας ἐστὶν ἔργον, ἤτοι ἡ ἀγαθὴ προαίρεσις καὶ γνώμη περὶ τοῦ Θεοῦ, οὐχ ὡς ἀκαριαῖόν τι μετέωρον φαινομένη, καὶ αὖθις εἰς τὸ μηδὲν ἀφανιζομένη, ἀλλὰ μόνιμος καὶ διαρκὴς, ἀεὶ καὶ πανταχοῦ δεικνυομένη ὡς σπουδὴ δραστήριος τοῦ κατὰ πάντα εὐαρέστως τῷ Θεῷ διάγειν, καὶ πᾶν τὸ ἀντικείμενον τῷ ἐκείνου παναγίῳ θελήματι φεύγειν ἐπιμελῶς, αὕτη ἐστὶν ἡ ὄντως ἐν πνεύματι καὶ ἀληθείᾳ

(α) Ἰωάν. δ'. 23. (β) Ἰωάν. δ'. 23.

Digitized by Google

προσκύνησις. Πᾶσα δὲ μὴ τοιαύτη προσευχὴ οὐδέν ἐστιν, ἀλλ' ἢ κρότος χειλέων κενὸς καὶ μάταιος.

§. 48. *Περὶ τῶν χριστιανικῶν ἑορτῶν.*

Ὁ πιστὸς τοῦ Θεοῦ θεράπων, καὶ διὰ τῆς ἑορτάσεως τῶν ὡρισμένων ὑπὸ τῆς ἐκκλησίας ἡμερῶν, δηλοῖ τὴν ἑαυτοῦ εὐσέβειαν καὶ ἀγάπην πρὸς τὸν Θεὸν, καὶ τὴν εὐγνωμοσύνην αὐτοῦ ἐπὶ τοῖς ἀγαθοῖς, ὧν ἀξιοῦται παρ' αὐτοῦ, καὶ τὴν πεποίθησιν, καὶ οὕτως οἰκοδομεῖ καὶ ἐν ἑαυτῷ καὶ ἐν τῷ πλησίον τὴν περὶ Θεοῦ ἀγαθὴν γνώμην καὶ διάθεσιν. Διὰ τοῦτο πανταχοῦ ἀνέκαθεν, ὅπου ὁ Θεὸς ἐγινώσκετο καὶ ἐλατρεύετο, καὶ ἡμέραι εὑρίσκονται ῥηταὶ, ἐν αἷς πάντων τῶν ἔργων οἱ εὐσεβεῖς ἀφιστάμενοι ἐπὶ τὸ αὐτὸ συνέρχονται, ἵνα εἰς τὴν πρὸς Θεὸν ἀγάπην ἀλλήλους οἰκοδομήσωσί τε καὶ στηρίξωσι· καιρὸς γὰρ ἀτεχνῶς ἀμοιβαίας οἰκοδομῆς ἐστιν ἡ ἑορτή· εἰ δ' οὕτω καὶ γίνεται, οὔπω νῦν περὶ τούτου. Ὥρισε δὲ καὶ ἡ τῶν πιστῶν ἐκκλησία ἑορτὰς πρὸς ἀνάμνησιν μετ' εὐγνωμοσύνης τῶν πρὸς ἡμᾶς μεγάλων εὐεργεσιῶν τοῦ Θεοῦ, ἢ τῶν τῆς πίστεως καὶ τῆς ἐλπίδος ἡμῶν πραγμάτων. Καθῆκον τοίνυν πᾶσι τοῖς πιστοῖς τὸ παρίστασθαι μὲν ἐν αὐταῖς τῇ ἀκολουθίᾳ καὶ τῇ ἱερουργίᾳ ἀπ' ἀρχῆς μέχρι τέλους μετὰ τῆς δεούσης εὐλαβείας, εἰ μή τις ὑπ' ἀσθενείας, ἢ ἄλλης ἰσχυρᾶς αἰτίας κωλύοιτο, προσκαρτερεῖν δὲ καὶ τῇ γενομένῃ διδασκαλίᾳ, καὶ κατ' ἰδίαν τῇ ἀναγνώσει τῆς ἁγίας Γραφῆς ἢ ἄλλων πρὸς οἰκοδομὴν χρησίμων συγγραμμάτων, ἔτι δὲ καὶ τῇ κατ' οἶκον προσευχῇ, καὶ τῇ ἐξετάσει τοῦ βίου, καὶ περὶ τὰ ἔργα τῆς ἐλεημοσύνης καὶ τῆς φιλαδελφίας ἀσχολεῖσθαι· φεύγειν δὲ πᾶσαν ἐπίπονον σωματικὴν ἐργασίαν, ἐκτὸς κατεπειγούσης ἀνάγκης, καὶ

Digitized by Google

πᾶσαν διεξαγωγὴν τῶν κοσμικῶν πραγμάτων, καὶ πᾶσαν ἐπιχείρησιν ταράττουσαν τὴν κοινὴν ἡσυχίαν, καὶ τὸν τῆς ἑορτῆς σκοπὸν ματαιοῦσαν. Διττὰ οὖν τὰ τοῦ εἰρημένου καθήκοντος, τὰ μὲν καταφατικὰ, τὰ δὲ ἀποφατικά· διὸ καὶ οὐκ ἄχρηστον μικρά τινα περὶ ἑκατέρων ὑπομνῆσαι. Πρῶτον μὲν γὰρ εἴρηται, ὅτι ἅπαν τὸ πλήρωμα τῶν πιστῶν παραστῆναι δεῖ ταῖς ἐν τῷ ναῷ συνάξεσι κατὰ τὴν ἡμέραν τῆς ἑορτῆς. Ἀλλὰ τοῦ καθήκοντος τούτου ἐξαιροῦνται ἀ, τὰ νήπια, μέχρι τοῦ ἕκτου ἢ τοῦ ἑβδόμου ἔτους ἀπὸ τῆς γεννήσεως αὐτῶν, διὰ τὸ μήπω εἶναι ἐν χρήσει τοῦ λογικοῦ, μηδὲ γινώσκειν τὰς πρώτας καὶ καθολικωτέρας τῆς πίστεως ἀληθείας· β', οἱ παράφρονες· γ'; οἱ δέσμιοι· δ', οἱ ἀσθενεῖς καὶ κλινήρεις, καὶ οἱ τούτων θεράποντες· ε, τῶν στρατιωτικῶν, ὅσοι ἂν ἐν ὑπηρεσίᾳ τότε ὦσι· ς', πάντες, ὅσοι παριστάμενοι διακινδυνεύουσι τὴν ὑγείαν, ἢ τὴν ζωὴν, ἢ τὴν ἀθωότητα καὶ τὴν περιουσίαν αὐτῶν· πάντα γὰρ ταῦτα ἰσχυρὰ αἴτια κρίνονται, ἵνα τῆς ἱερᾶς συνάξεως ἀπολίπηταί τις· οἱ δὲ λοιποὶ πάντες προσελθεῖν ὀφείλουσι καὶ παραστῆναι μετὰ τῆς δεούσης εὐλαβείας, καὶ μηδέποτε ἐξ ἀμελείας ἢ ὀλιγωρίας ἀπολιπέσθαι. Ἀθετοῦσιν ἄρα τὸ καθῆκον καὶ τὴν τῆς ἐκκλησίας ἐντολὴν ἀ, οἱ ἐπὶ μικρᾷ τινι προφάσει τῶν ἱερῶν συνάξεων ἀπολειπόμενοι· β', οἱ μόνῳ τῷ σώματι παριστάμενοι, τῇ δὲ διανοίᾳ ἀλλαχοῦ περιϊόντες· γ', οἱ ἐν καιρῷ τῆς ἀκολουθίας ἀπρεπῶς καὶ ἀσέμνως διάγοντες, ληροῦντες, σαρκάζοντες, ἢ ἀστεϊζόμενοι. Τὸ γὰρ τῆς τελετῆς ἀξίωμα μέγα ἐστὶ, καὶ σέβας βαθύτατον καὶ σπουδὴν ἀπαιτεῖ, διὸ καὶ ἡ ἐκκλησία οὐχ ἁπλῶς παρίστασθαι παραγγέλλει, ἀλλὰ μετ' εὐλαβείας καὶ προσοχῆς καὶ κατανύξεως. Ἐν αὐτῇ γὰρ καὶ θῦμα καὶ μυσταγωγὸς αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, ὁ μεσίτης ἡ-

Digitized by Google

μῶν καὶ συνήγορος πρὸς τὸν πατέρα, ὁ δοὺς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν τὸ πανάχραντον αὐτοῦ αἷμα καὶ τὴν ζωήν.

Εἶτα δὲ, καὶ ἐγκαρτερεῖν καὶ παραμένειν τῇ ἐν ταῖς συνάξεσι γινομένῃ διδασκαλίᾳ. Τοῦτο οὐ μόνον ἐκκλησιαστικὸς κανὼν, ἀλλὰ καὶ αὐτὴ τοῦ Σωτῆρος ἡ ἐντολὴ διακελεύεται, ἐντειλαμένου τοῖς ἑαυτοῦ μαθηταῖς, ἵνα ἀπελθόντες διδάξωσι καὶ μαθητεύσωσι πάντα τὰ ἔθνη, καὶ προσθέντος τὸ, « Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ, ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με (α). » Συστήσας οὖν ἐν τῇ αὐτοῦ ἐκκλησίᾳ τὸ τοῦ διδάσκειν ἀξίωμα, ἠβούλετο πάντως καὶ ἀκούειν αὐτοῦ τοὺς πιστούς. « Ἡ γὰρ πίστις, ἦ φησιν ὁ θεῖος Ἀπόστολος, ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ » (β). Ἀπὸ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ μέχρι καὶ νῦν ἡ τοῦ θείου λόγου διδασκαλία θεωρεῖται ὡς ἡ ἀρίστη τῶν τῆς πίστεως γυμνασιῶν, καὶ ἐπιτηδειοτάτη εἰς τὸ μεταδιδόναι τὴν γνῶσιν τῶν τῆς πίστεως θείων καὶ σωτηριωδῶν διδασκαλιῶν τοῖς ἀνθρώποις, καὶ οἰκείας αὐτοῖς αὐτὰς ἀναδεῖξαι· Καὶ τοιαύτη ὄντως ὑπάρχει· πόθεν γὰρ ἄλλοθεν ἐγγένοιτο ταῖς ψυχαῖς ἡ πρὸς τὸν Θεὸν ἀγάπη; πόθεν δὲ ἡ εὐσέβεια καὶ ὁ φόβος; ἢ ἡ ἐνάρετος πολιτεία πόθεν; εἰ μὴ ἐκ τῆς διδαχῆς, καὶ μάλιστα τῆς δημοσίᾳ γινομένης, εἰς ἣν ἔξεστι παντὶ τῷ βουλομένῳ προσιέναι τε καὶ ἀκούειν; Ὥσπερ τοίνυν παντὸς πιστοῦ καθῆκον τὸ τῇ ἱερᾷ μυσταγωγίᾳ παρίστασθαι, οὕτω καὶ τὸ τῇ διδαχῇ παραμένειν. Τρίτον δὲ, καὶ ἐγκύπτειν τῇ τῆς Γραφῆς ἀναγνώσει καὶ τῇ τῶν ἄλλων τῶν πρὸς οἰκοδομὴν ἐπιτηδείων λόγων ἐν τῇ ἡμέρᾳ τῆς ἑορτῆς, καὶ προσκαρτερεῖν τῇ κατ' ἰδίαν προσευχῇ καὶ τῇ τοῦ βίου ἐρεύνῃ, καὶ τὰ ἔργα τῆς ἐλεημοσύνης καὶ φι-

(α) Λουκ. ι. 16. (β) Ῥωμ. ι. 17.

Digitized by Google

λανθρωπίας ἐπιτελεῖν, καὶ εὐσεβῶς τὰς θείας εὐεργεσίας ἀναλογίζεσθαι, οὐδενὶ χρόνῳ οὕτω προσήκει, ὅσον τῇ τῆς ἑορτῆς ἡμέρᾳ. Διό, φησιν ἡ θεία Γραφὴ, « Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ πατρὶ αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου (α)· » τὸ βοηθεῖν τοῖς πένησι, καὶ ἀνορθοῦν τοὺς κατερραγμένους, καὶ ἐπισκέπτεσθαι τοὺς ἀσθενεῖς, καὶ διδάσκειν τοὺς ἀμαθεῖς καὶ τοὺς μικροὺς καὶ ἀκάκους, καὶ ταῦτα ἐν ἀγάπῃ καθαρᾷ καὶ φιλαδελφίᾳ γινόμενα, πλείστου εἰσὶν ἄξια, καὶ πρεπόντως ἂν ταῦτα τὴν ἑορτὴν ὡς ἀναπαύσεως καὶ ἡσυχίας ἡμέραν ἐπιτελοῖτο· ταῦτα γὰρ καὶ ἁγιασμός ἐστι τῆς ἑορτῆς. Τὸ δὲ πορεῖναι μόνον τῇ ἱερουργίᾳ, μηδὲν δὲ πλέον εὐσεβὲς ἔργον ἐργάσασθαι, οὐχ ὅλον οὐδὲ τέλειον τὸ καθῆκον ἀποπληροῖ. Χείριστον δὲ πάντων τὸ ἐν ἀθύρμασι καὶ παιδιαῖς, ἢ ἐν μέθαις καὶ κώμοις καὶ ἀσωτείαις, ἢ καὶ ἐν ἀπραγμοσύνῃ διάγειν. Οὐ γὰρ οὕτως αἱ ἑορταὶ ἁγιάζονται, ἀλλ' ὅταν ἡμεῖς πρὸς τὸν ἡμέτερον ἁγιασμὸν ἐν αὐταῖς καὶ πρὸς τὴν τοῦ βίου διόρθωσιν ἀγωνιζώμεθα. Καὶ ταῦτα μέν ἐστιν ἃ δεῖ πράττειν, ῥητέον δὲ καὶ ἃ δεῖ φεύγειν.

§. 49. Ἐν τῇ Παλαιᾷ Διαθήκῃ ἐνετείλατο ὁ Θεὸς τοῖς Ἰσραηλίταις ἀκριβῶς τε καὶ ἀπαραβάτως τηρεῖν τὰ σάββατα, θάνατον τῷ ἀθετήσαντι ἀπειλήσας· « Ὁρᾶτε καὶ τὰ σάββατά μου φυλάξεσθε· σημεῖόν ἐστι παρ' ἐμοὶ καὶ ἐν ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν, ἵνα γνῶτε, ὅτι ἐγὼ Κύριος ὁ ἁγιάζων ὑμᾶς. Πᾶς ὃς ποιήσει ἐν αὐτῷ ἔργον, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ μέρους τοῦ λαοῦ αὐτοῦ. Ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα, ἀνάπαυσις ἁγία τῷ Κυρίῳ, πᾶς ὃς ποι-

(α) Ἰακωβ. ά. 27.

Digitized by Google

ήσει ἔργον τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, θανατωθήσεται (α). »
Ἐκ τούτων οὖν δῆλον, ὅτι μέγα καὶ σπουδαῖον ἡ τῶν σαββάτων τήρησις οὐ μόνον πρὸς τὴν σωματικὴν ἀνάπαυσιν, ἀλλὰ δὴ καὶ πρὸς τὴν τῶν ἄλλων μεγάλων καὶ ἀγαθῶν σκοπῶν ἐπιτυχίαν δοκεῖ· τὰς γὰρ ἐξ τῶν ἡμερῶν περὶ τὴν τοῦ σώματος θεραπείαν ἀσχολουμένους, δίκαιον κρίνεται, μᾶλλον δὲ ἀναγκαῖον, μίαν τὴν ἑβδόμην τῇ πνευματικῇ ζωῇ ἀφοσιοῦν. Ὅθεν καὶ παντὸς ἔργου τοῦ τὴν κοινὴν ἡσυχίαν ταράττοντος, ἢ τὸν ἀγαθὸν σκοπὸν τῆς ἑορτῆς ματαιοῦντος, ἀφίστασθαι ἐν τῇ ἡμέρᾳ τῆς ἑορτῆς δεῖ. Εἰσὶ δὲ τοιαῦτα πᾶσα ἐπίπονος βιωτικὴ ἐργασία, καὶ αἱ δημώδεις παιδιαὶ, καὶ αἱ ἐμπορικαὶ πανηγύρεις, καὶ τὰ συμπόσια, καὶ οἱ κῶμοι, καὶ αἱ δικαστικαὶ ἐργασίαι, κ. λ. Οἱ μὲν οὖν Ἰουδαῖοι οὕτως ἀκριβῶς τὸ σάββατον ἐτήρουν, ὥστε καὶ εἰς μικρολογίαν καὶ δεισιδαιμονίαν πολλάκις ἐξέκλινον, ὡς ὅτε τοὺς μαθητὰς τοῦ Κυρίου κατέκρινον, ὅτι τῇ ἡμέρᾳ τῶν σαββάτων, διὰ τῶν σπορίμων διερχόμενοι καὶ πεινῶντες, ἔτιλλον στάχυας (β), τὸν δὲ Ἰησοῦν, ὅτι τῷ σαββάτῳ τὸν ὑδρωπικὸν ἐθεράπευσεν (γ). Ὁ δὲ Ἰησοῦς οὐκ ἀφίστατο τοῦ ἀγαθοεργεῖν ἐν σαββάτῳ, λέγων· « Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον (δ). »
Ἔξεστιν ἄρα ἀγαθοποιεῖν ἐν τοῖς σάββασι μηδὲν διστάζοντας, μὴ διὰ τοῦτο τὸ σάββατον βεβηλῶται. Ἔστι δ' ὅτε καὶ τὰς βαρυτάτας ἐργασίας ἀνάγκη ἐν τῇ τοῦ σαββάτου ἡμέρᾳ ἀναλαμβάνειν ὑπὲρ τῆς δικαιοσύνης καὶ τῆς φιλαδελφίας. Ἀλλ', ἐν ᾧ οἱ Ἰουδαῖοι διὰ τῆς μικρολογίας καὶ δεισιδαιμονίας δοκοῦσι περὶ τὴν τοῦ σαββάτου ἑορτὴν ἁμαρτάνειν, οἱ χριστιανοὶ διὰ τῆς

(α) Ἔξοδ. λά. 13—18. (β) Ματθ. ιβ'. 1—12. (γ) Λουκ. ιγ'. 1—5. (δ) Μαρκ. β'. 27.

Digitized by Google

ὀλιγωρίας τῶν ἑορτῶν ἔτι βαρύτερον ἁμαρτάνουσιν, ὡς ταύταις χρώμενοι εἰς τὸ μᾶλλον ἐπ' ἀδείας τῇ ἀσωτείᾳ καὶ ταῖς σωματικαῖς ἀπολαύσεσι παραδίδοσθαι.

§. 50. Ἐπεὶ δὲ τέλος, δεύτερόν γε, τῆς ἑορτῆς καὶ ἡ τῶν ἀναλισκομένων δυνάμεων ἀνάκτησις, διὰ γὰρ τοῦτο καὶ ἡμέραι ἀναπαύσεως λέγονται, πολλαὶ δὲ τῶν ἀθώων τε καὶ θεμιτῶν ἡδονῶν εἰς αὐτὸ συντελοῦσι, μᾶλλον δὲ καὶ ἐνισχύουσιν εἰς τὸ θαῤῥαλεώτερον τοῖς πράγμασι καὶ τῇ τῶν καθηκόντων ἐκτελέσει ἐπιχειρεῖν, εὐλόγως καὶ αὗται θεμιταὶ κρίνονται, ἐὰν μόνον τοιαῦται ὦσιν, ὥστε μηδεμίαν λύμην, ἢ σκάνδαλον συνεπάγεσθαι, μηδὲ τὸ κύριον τέλος τῶν ἑορτῶν διακόπτειν, μηδὲ τῇ κατὰ κόρον ἢ ἐπὶ πολὺν χρόνον ἀπολαύσει ἐξαντλεῖν μᾶλλον, ἢ ἐπανορθοῦν τὰς σωματικὰς δυνάμεις. Πάσης γὰρ ἡδονῆς ἡ ἀπόλαυσις πρὸς οὐδὲν ἄλλο ἀφορᾷν δεῖ, ἢ πρὸς τὴν τῶν δυνάμεων ἀνάκτησίν τε καὶ ζωοποίησιν, ἵνα προθυμότερον τὰ καθήκοντα ἐπιτελῶνται. Οὐκ ἀθέμιτον δὲ καὶ ἡ μετρία καὶ ἥσυχος ἐνασχόλησις πρὸς διάχυσιν τοῦ πνεύματος, καὶ τῆς νωθρότητος ἀπέλασιν, εἰ μὴ ἐπὶ πολὺ, καὶ ἐκ πλεονεξίας, καὶ χωρὶς ἀνάγκης γίγνοιτο. Ἧττον δ' ἀθέμιτον λογίζοιτ' ἂν ἡ κατ' οἶκον οἰκονομία, ἐν ᾗ ἐπανορθοῦσι τὰ ἱμάτια οἱ πένητες καὶ τὰ τῆς τέχνης αὐτῶν ὄργανα, ἢ διατάττουσι τὰ τῆς τροφῆς, ἵν' ἔχωσιν ὕστερον τὰ βαρύτερα τῶν ἔργων ἀταράχως ἐπιτελεῖν. Κρεῖσσον γὰρ περὶ ταῦτα εἶναι, ἢ καθημένους ἐν ἀργίᾳ καταλαλεῖν τοῦ πλησίον, ἢ αἰσχρολογεῖν, ἢ τῇ παιδιᾷ καὶ τῇ μέθῃ καὶ τῇ ἀσωτείᾳ ἐγκαλινδεῖσθαι. Καὶ τοσαῦτα μὲν περὶ τοῦ ἐξωτερικοῦ τῆς θρησκείας, ὅπερ ἀεὶ πολλοῦ ἄξιον καὶ τίμιον ἐστὶ καὶ εὐσεβές, ἐὰν μόνον, ὡς εἴρηται, ἐκ τῆς ἔσω ἀγαθῆς διαθέσεως καὶ ἀγάπης πρὸς τὸν Θεὸν γίγνηται.

Digitized by Google

§. 51. *Παράρτημα περὶ ὅρκου.*

Καὶ ἡ ὁρκωμοσία, ὡς τῇ ἐξωτερικῇ τοῦ Θεοῦ λατρείᾳ προσήκουσα ἐθεωρήθη, ἀλλ᾽ οὐ ῥᾴδιον ὡρισμένως ἀποφήνασθαι περὶ τούτου. Ὁ γὰρ ὅρκος ἀπαίτησίς ἐστι πρὸς τὸν Θεὸν τοῦ παρεῖναι τοῖς ἡμετέροις συναλλάγμασί τε καὶ συζητήσεσιν ὡς μάρτυρα, καὶ κριτὴν καὶ μισθαποδότην. Ἆρ᾽ οὖν οὐχ ἁμαρτάνει περὶ τὴν εὐσέβειαν καὶ τὸν θεῖον φόβον ὁ εὐσεβεῖν βουλόμενος, ἐπειδὰν τῇ ὁρκωμοσίᾳ δοκῇ καταναγκάζειν τὸν Θεὸν ἐπιστῆναι ἰδίως τοῖς ἑαυτοῦ; Ὑπόνοιά τις τοιαύτη συμβαίνει παρὰ πολλοῖς εἰς τὸν τοῦ Κυρίου λόγον ἀφορῶσιν· «Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως· ἔστω δὲ ὁ λόγος ὑμῶν ναὶ ναί, οὒ οὔ, τὸ δὲ περισσὸν τούτων, ἐκ τοῦ πονηροῦ ἐστιν (α).» Ἐκ τούτων φαίνεται μὲν ὅτι ὁ Ἰησοῦς ἀπαγορεύει τὸν ὅρκον, ἀλλ᾽ ἀκριβέστερον ἐρευνήσαντες εὑρήσομεν, ὅτι ὁ λόγος τοῦ Κυρίου ἔτεινε μᾶλλον εἰς ἀπαγόρευσιν τῶν κατ᾽ αὐτὸν ἀλλοκότων τοῦ ὅρκου καταχρήσεων, οὐ κατέκρινε δὲ τὴν νόμιμον τοῦ ὅρκου χρῆσιν. Ἔθος γὰρ ἦν τοῖς Ἰουδαίοις πάντα λόγον αὐτῶν, καὶ τοῦ μηδενὸς ἄξιον ὅρκῳ βεβαιοῦν, καί τοι πολλάκις καὶ τὸ ψεῦδος, περὶ οὗ ὠρκομότουν, συνεγίνωσκον, ὥστε ὁ ὅρκος ἐν τῷ στόματι αὐτῶν κατέστη φράσις ὅλως κενὴ καὶ ἀσήμαντος, καὶ διαβεβαίωσις ἡ φιλοφροσύνη ματαία. Τῆς τοιαύτης οὖν ἀσεβοῦς καταχρήσεως ἀποτρέψαι βουλόμενος τοὺς ἑαυτοῦ ὁ Κύριος, ἔλεγε· Πᾶς λόγος ὑμῶν, πᾶν ναί, ἢ οὔ, οὕτω βέβαιον εἶναι δεῖ, καὶ ἀπαράβατον καὶ ἱερὸν, ὅσον καὶ ὁ ὅρκος αὐτός. Ὅ,τι δηλαδὴ ἕκαστος προφέρει ὡς

(α) Ματθ. ε. 37.

Digitized by Google

ἀληθὲς καὶ ὀρθὸν, τοῦτο καὶ τοιοῦτον εἶναι δεῖ ἀτεχνῶς, ἐξ ἀβόλου καὶ εἰλικρινοῦς καρδίας προερχόμενον, ὅ,τι δέ τις ἀγνοεῖ, οὐ χρὴ τοῖς ἄλλοις ὡς ἀλήθειαν ἐπιβάλλειν, οὐδ' ὑπισχνεῖσθαι ὅ,τι ἂν μὴ βούληται, ἢ μὴ δύνηται πράττειν· ἐν τούτοις οὐδενὸς ὅρκου χρεία. Ἐπεὶ δ' ἐν πολλοῖς καὶ σπουδαίοις βεβαιώσεως ἀσφαλοῦς δεόμεθα περὶ τῆς πίστεως καὶ εἰλικρινείας τῶν ἄλλων, καὶ οὐδαμῶς ἄλλως δυνάμεθα δεσμεύειν καὶ στηρίζειν αὐτὰς, ἢ διὰ τῆς τοῦ Θεοῦ ἐπικλήσεως, ἵνα αὐτὸς γένηται μάρτυς καὶ κριτὴς καὶ ἀνταποδότης, ἐὰν δολίως τε καὶ μετὰ ψεύδους καὶ ἀπάτης πολιτευθῇ ὁ ὀμνύων, συνέστη καὶ ἡ τῆς ὁρκωμοσίας χρῆσις, ἥτις νομίμως τε καὶ εἰλικρινῶς γινομένη οὐκ ἀπαγορεύεται.

§. 52. *Διάκρισις τοῦ ὅρκου.*

Τῶν ὅρκων, οἱ μέν εἰσι διαβεβαιώσεις μετὰ θείας ἐπικλήσεως τῆς τῶν λεγομένων ἀληθείας, καθ' οὓς δηλονότι ὁ ὀμνύων διαβεβαῖοι, ὅτι ἐξαγορεύσει καθαρὰν τὴν ἀλήθειαν, ἄνευ δόλου καὶ ἀπάτης, περὶ οὗ ἐρωτᾶται, ὅσον περὶ αὐτοῦ γινώσκει· οἱ δέ εἰσιν ἐπαγγελίας, καθ' οὓς δηλαδὴ διαβεβαῖοι, ὅτι ἔσται πιστὸς ἐφ' οἷς ἐπηγγείλατο, καὶ ἐκπληρώσει ταῦτα ἀκριβῶς ἐν ὡρισμένῳ χρόνῳ. Ὥστε ὁ μὲν τῆς μαρτυρίας ἀναγκαίως ἂν εἴη ἀπόλυτος, ὁ δὲ τῆς ἐπαγγελίας ὡρισμένος· κατ' ἀμφοτέρους δὲ ὁ ὀμνύων, αὐστηρῶς ὑποχρεοῦται, ἵνα καθαρὰν δηλώσῃ τὴν ἀλήθειαν, ἢ πιστῶς τὴν ἐπαγγελίαν ἐκτελέσῃ. Ἐπάγει δὲ τὴν ὀφειλὴν ταύτην τὸ παρ' ἡμῶν ὀφειλόμενον τῷ θεῷ σέβας, ὃν ἐπικαλούμεθα μάρτυρα καὶ κριτὴν, καὶ ἀνταποδότην, ἔτι δὲ καὶ ἡ δικαιοσύνη καὶ ἡ πίστις, ἣν δεῖ ἁγίαν τε εἶναι καὶ ἱερὰν διὰ παντὸς ἐν τοῖς ἀνθρώποις, ἵνα μὴ κατὰ κράτος διαφθα-

Digitized by Google

ρῶσιν, ἀλλὰ καὶ ἡ ἀξία τῆς λογικῆς ἡμῶν φύσεως, ἥτις καὶ τῆς ἀλόγου γένοιτ' ἂν ὑποδεεστέρα, εἰ μηκέτι ὁ ὅρκος μείζονα πίστιν καὶ ἀσφάλειαν ἔχοι. Ἀπέστω τοίνυν τοῦ ὅρκου ἁ, ὁ δόλος καὶ πᾶσα προσποίησις· β', ἡ ῥᾳδιουργία καὶ τὸ ἐν τοῖς λόγοις ἀμφίδοξον καὶ ἀπατηλόν· γ', ἡ ὑποστολὴ καὶ ἡ ἔντεχνος διεκφυγὴ ἐν τῇ τῆς ἀληθείας ὁμολογίᾳ· πάντα γὰρ ταῦτα τῷ τῆς ὁρκωμοσίας τέλει διαμάχεται. Ἐπεὶ δὲ πάντα ταῦτα χάριν ἰδίου συμφέροντος γίνεται, ἐπιχειρητέον τῇ ὁρκωμοσίᾳ πάνυ πεφυλαγμένως, καὶ προσεκτέον, τίνα τις ἔχει ἐνώπιον αὐτοῦ, καὶ οἷος, ὁ παρ' οὗ ὁ ὅρκος ἀπαιτεῖται, ἢ ὁ ἐν τῷ ὅρκῳ ἐπαγγελλόμενος. Ἄνθρωποι μὲν γὰρ ἀσυνείδητοι παίζουσί τε καὶ χλευάζουσι τὸ τῆς ἀνθρωπότητος ἁγιώτατον χρῆμα, ἔνθα ἂν ἡγήσωνται δυνατὸν, ἢ τὴν ὕβριν αὐτῶν ταύτην καὶ ἀσέβειαν ἀποκρύψαι, ἢ κερδάναι τι· τῶν δὲ τοιούτων ἀνθρώπων οὐθ' ὁ ὅρκος οὐδεμίαν παρέχει ἀσφάλειαν, οὐδ' ἀποδεκτέον αὐτόν· ἐπὶ μεγάλοις δὲ μόνον πράγμασι, καὶ ὅπου ἂν πιθανώτατα εἰκάζοιτο πίστις καὶ εἰλικρίνεια, ζητητέον τὸν ὅρκον, καὶ γενόμενον ἀποδεκτέον, ἄλλως δὲ, παραιτητέον, ἵνα μὴ καὶ ἐπιορκίας ἀφορμὴ διδῶται.

§. 53. *Περὶ ἐπιορκίας καὶ τῆς κατ' αὐτὴν ἁμαρτίας.*

Διττή τις τυγχάνει καὶ ἡ ἐπιορκία, καθάπερ καὶ ἡ ὁρκωμοσία· ἢ γὰρ διαβεβαιοί τις μεθ' ὅρκου ὡς ἀληθὲς, ὅπερ σύνοιδε ψευδὲς ὄν, ἢ ὑπισχεῖται ἐνόρκως, καί τοι γινώσκων μὴ ὑπάρχουσαν αὐτῷ τὴν δύναμιν ἢ τὴν θέλησιν τοῦ ἐπιτελέσαι ὃ ὑπισχνεῖται· κατ' ἀμφότερα τρίνυν ἐπιορκεῖ, ὡς ἐμπαίζων οὕτω καὶ Θεῷ καὶ ἀνθρώποις, καὶ ἔστιν ἄντικρυς ἀθεία, καὶ αἶσχος, ὡς καταχρωμένου τοῦ ἐπιόρκου ἀσεβῶς τὸ τοῦ Θεοῦ πανάγιον ὄνομα, ἵνα ψεί-

Digitized by Google

σηται καὶ ἀπατήσῃ τὸν πλησίον. Διὰ τοῦτο καὶ παρὰ πᾶσιν ἀνέκαθεν ἐνομίσθη μέγιστον ἁμάρτημα ἡ ἐπιορκία, εἴτουν ἡ τοῦ ὅρκου ἀθέτησις· κρίνεται δὲ τὸ μέγεθος αὐτοῦ ἀνάλογον ἀεὶ τῇ ἐκ τῆς ἐπιορκίας γινομένῃ τῷ πλησίον βλάβῃ, καὶ τῷ δι' αὐτὴν κωλυθέντι ἢ ἐλαττωθέντι ἀγαθῷ· κρίνεται δ' ἔτι καὶ ἐκ τοῦ κατὰ τὸ μᾶλλον ἢ ἧττον εὐτελοῦς σκοποῦ, δι' ὃν ἡ ἐπιορκία γίνεται. Αἱ δὲ σεσοφισμέναι διεκφυγαὶ, δι' ὧν ἀγωνίζεται ὁ ἐπίορκος πολλάκις καλύπτειν τὸ αἶσχος καὶ τὴν ἀσέβειαν τῆς αὐτοῦ ἐπιορκίας, οὐδὲν ἰσχύουσι. Καὶ τῷ μὲν ὅρκῳ τῆς ἐπαγγελίας ἐνυπάρχει τι, ὃ δύναται πολλάκις κολάζειν τὸ τῆς ἐπιορκίας αἶσχος καὶ τὸ μέγεθος τοῦ κατ' αὐτὴν ἁμαρτήματος, οἷον, εἰ ἐπί τισιν ἡ ἐπαγγελία ἐγένετο, ἃ οὐ συνέβη γενέσθαι, καὶ ταῦτα παρὰ γνώμην καὶ παρὰ τὴν προσδοκίαν τοῦ ἐπαγγελλομένου· εἰ ἡ τῆς ἐπαγγελίας ἐκπλήρωσις ἀδύνατος φύσει ἢ ἠθικῶς κατέστη· εἰ ὁ πρὸς ὃν ἡ ἐπαγγελία ἑκουσίως ταύτης παραιτεῖται· εἰ ἡ ἐκπλήρωσις αὐτῆς πρὸς βλάβην ἢ κίνδυνον γένοιτ' ἂν τῷ πρὸς ὃν ἐδόθη· εἰ παρὰ τῆς νομίμου ἀρχῆς ἀνῃρέθη ἢ ἀνεβλήθη διὰ τὰς τοῦ ἐπαγγειλαμένου ἀπροσδοκήτως παρεμπεσούσας συμφοράς. Πάντα ταῦτα καὶ τὰ τοιαῦτα τῆς ἐνόρκου ἐπαγγελίας τὴν ὀφειλὴν ἀνελεῖν δύνανται. Ὁρίζεται δ' ἔτι ὁ τῆς ἐπαγγελίας ὅρκος ὑπὸ τῶν ἑπομένων· ἀ, ὅτι οὐδὲν ἄν τις ἑτέρῳ ἐπαγγείλαιτο, ἢ ὃ δικαίως καὶ νομίμως κατέχει· β', ὅτι τὴν ἐπαγγελίαν ἐλευθέραν εἶναι δεῖ καὶ αὐτοπροαίρετον καὶ ἀκατανάγκαστον. Ἄδικον ἄρα, ἢ ἀλλότριον, ἢ κακόηθες οὐκ ἔξεστιν οὐδενὶ ἐπαγγείλασθαι, εἰ δὲ καὶ ἐπαγγείλαιτο, οὐδὲν ἔχει κῦρος ἡ τοιαύτη ἐπαγγελία, κἂν μυρίοις ὅρκοις ἐμπεδουμένη τυγχάνῃ· οὐδεὶς γὰρ τἀλλότρια διατιθέναι δικαιοῦται. Οὕτω καὶ αἱ βίᾳ καὶ παρὰ γνώμην

Digitized by Google

ἢ μετὰ δόλου γινόμεναι ἄκυροι μένουσιν. Ὅταν γὰρ ἡ θέλησις μὴ ἐλευθέρα ᾖ, οὐδεμία ἐγγίνεται τῷ ἐπαγγειλαμένῳ ὀφειλὴ, οὐδὲ τῷ δεξαμένῳ τὴν ἐπαγγελίαν δικαίωμα οὐδέν. Πάντα τοίνυν εὐσεβῆ καὶ ἐνάρετον τηρεῖν δεῖ ἐν ταῖς ὁρκωμοσίαις τάδε· ά, Μηδέποτε χωρὶς κατεπειγούσης ἀνάγκης καὶ αἰτίας μεγίστης ὁρκίζεσθαι· β', Ὅπου δ' ἂν ἀνάγκη τοιαύτη παρῇ, μετὰ λογισμοῦ σώφρονος καὶ ἐν γνώσει ὁμολογεῖν πιστῶς καὶ ἀκριβῶς τὴν ἀλήθειαν, μηδὲν ὑποστελλόμενον, χωρὶς δόλου ἢ ψεύδους· γ', Τοὺς τῆς ἐπαγγελίας ὅρκους ἀπαραβάτως εἰς δύναμιν τηρεῖν· δ', Τὸν δικαίως τε καὶ νομίμως παρά τε τῶν πολιτικῶν καὶ τῶν δικαστικῶν καὶ ἐκκλησιαστικῶν ἀρχῶν ἀπαιτούμενον ὅρκον μὴ παραιτεῖσθαι μηδὲ φεύγειν ἐξ εὐλαβείας τυχὸν κακῶς ἐννοουμένης· ε, Μὴ ἐπιβάλλειν ἑτέρῳ ἀδίκως τε καὶ χωρὶς ἀνάγκης μεγάλης ὅρκον. Οὕτω γὰρ οὐκ ἂν πολλαπλασιάζοιντο εἰς κενὸν οἱ ὅρκοι, οἱ δὲ γινόμενοι ἁγίως τε καὶ τιμίως καὶ πιστῶς, ὡς δεῖ, φυλαχθήσονται.

§. 54. *Περὶ τῶν θρησκευτικῶν εὐχῶν.*

Ἡ θρησκευτικὴ εὐχὴ ὁμοία ἐστὶ τῷ τῆς ἐπαγγελίας ὅρκῳ. Ἐπαγγελία γάρ τις καὶ αὕτη πρὸς τὸν Θεὸν αὐτοπροαίρετος τοῦ πρᾶξαί τι, ἢ ἀποστῆναί τινος, ὅπερ θεάρεστον εἶναι δοκεῖ. Τοιαῦτα δ' εἰσὶ ά, πράξεις τινὲς προαιρετικαὶ, ἢ πράξεών τινων ἐκούσιος ἀποχή· β', πράγματα τῇ τοῦ Θεοῦ λατρείᾳ ἁρμόττοντα. Διὸ καὶ αἱ εὐχαὶ εἰς προσωπικὰς διαιροῦνται καὶ εἰς πραγματικάς. προσωπικαὶ μὲν, ἐπειδάν τις ἐπαγγέληται τῷ Θεῷ πολιτείαν τινὰ ἀναδέξασθαι, καὶ ἀκριβῶς τε καὶ ἐπιμελῶς ἐν αὐτῇ διαμένειν, θεάρεστον αὐτὴν εἶναι νομίζων· πραγματικαὶ δὲ, ὅταν τις ἐπαγγέληται ἀναθεῖναί τι τῷ

Digitized by Google

Θεῷ ὡς ἀρεστὸν αὐτῷ. Οἷον, τοῦ μὲν Σαμψὼν ἡ εὐχὴ τοῦ μηδέποτε ἀποκεῖραι τὰς τῆς κεφαλῆς πρίχας, μηδὲ πιεῖν οἶναν καὶ σίκερα, προσωπικὴ ἦν εὐχή· τοῦ δὲ Ἰεφθάε εὐξαμένου ἐν τῇ μάχῃ θυσίαν προσενεγκεῖν τῷ Θεῷ τὸ πρῶτον ἐκ τοῦ οἴκου αὐτοῦ συναντῆσαν ἐπανελθόντι, ἐὰν νικηφόρος ἐπανέλθῃ, πραγματικὴ ἦν εὐχή. Γίνεται δὲ ἡ ἀπόλυτος, ἡ κατὰ συνθήκην, καὶ διαρκὴς, ἡ πρὸς καιρὸν καὶ ἐφάπαξ, καὶ παῤῥησίᾳ, ἡ κατὰ μόνας, καὶ ἐν ὡρισμένῳ χρόνῳ, ἡ ἀορίστως. Οὕτω τοῦ μὲν Σαμψὼν, ἦν διαρκὴς, καὶ ἀόριστος ὁ τῆς ἐκτελέσεως χρόνος, καὶ κατὰ μόνας ἐγένετο, καὶ ἀπόλυτος· ὡρισμένη δὲ τῷ πράγματι μόνῳ, ἤτοι θῦσαι ἀμνόν· ἡ δὲ τοῦ Ἰεφθάε κατὰ συνθήκην, καὶ ἐφάπαξ τελεσθησομένη, καὶ παῤῥησίᾳ γενομένη, κατὰ δὲ τὸ πρᾶγμα ἀόριστος, ἤτοι τὸ ὡρισμένον αὐτῆς ἔδει ἐπανιόντα νικητὴν οἴκαδε λαβεῖν. Οὐδὲν δὲ ἄλλο διὰ τῆς εὐχῆς γίνεται, ἢ προσδέδεσθαι τὴν ἄλλως ἀσταθῆ καὶ εὐμετάβολον θέλησιν μιᾷ τινι ὡρισμένῃ πράξει θεαρέστῳ δοκούσῃ. Διὸ καὶ ἀγαθόν τι ἀεὶ δεῖ ταῖς τοιαύταις εὐχαῖς ἐνεῖναι καὶ ἀτεχνῶς θεάρεστον· ἐπαγγελίας γὰρ οὔσης τῆς εὐχῆς πρὸς τὸν Θεὸν τὸ πανύψιστον καὶ πανάγαθον ὄν, ἀναγκαῖον εἶναι ταύτην ἀ, ἠθικὴν καὶ δικαίαν· β', μὴ ἀνατρεπτικὴν τοῦ κρείττονος καθήκοντος· γ', πρέπουσαν τῇ τοῦ Θεοῦ δόξῃ καὶ μεγαλωσύνῃ, καὶ τῇ τοῦ ἀνθρώπου ἀξίᾳ· χωρὶς γὰρ τούτων οὐκ ἂν εἴη θεάρεστος. « Θύσατέ, φησι, θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον. » « Οὐ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου Κύριε ! (α) » Περὶ τούτων λέγει ὁ μακάριος Αὐγουστῖνος ταῦτα « Πολλοὶ διαφόρους εὐχὰς ἐν τῇ παρούσῃ ἑορτῇ ποιοῦσιν, ὁ μὲν ἔλαιον προσενεγκεῖν, ἢ κηρὸν πρὸς

(α) Ψαλ. ε. 5—6.

Digitized by Google

φωτισμὸν ἐν τῇ νυκτί, ὁ δὲ μὴ πιεῖν οἶνον, ἢ νηστεῦσαι χρόνον τινὰ πρὸ τῆς ἑορτῆς, κ. τ. λ. πάντα δὲ ταῦτα οὐχὶ αἱ κάλλισται καὶ μάλιστα πρέπουσαι εὐχαί εἰσι· βουλοίμην δ' ἂν ἔγωγε κρεῖσσόν τι τούτων. Τῷ Θεῷ, μήτε φώτων δεομένῳ, μήτε λαμπάδων, μήτε ἐλαίου, μήτε νηστείας, προσάγαγε αὐτῷ, ὅπερ τοσούτου ἐξηγόρασεν ἐν σοὶ, φημὶ δὴ τὴν ψυχήν σου. Ἴσως δ' ἐρωτᾷς, καὶ πῶς ἂν τὴν ἐμαυτοῦ ψυχὴν προσενέγκοιμι; οὐχὶ αὐτοῦ ἐστιν ἤδη; Ἐγώ σοι ἐρῶ, πῶς ἄν αὐτῷ τὴν ψυχὴν προσενέγκοις, καὶ πῶς σε δεῖ τοῦτο ποιεῖν. Προσένεγκε αὐτὴν ἤθεσιν ἁγνοῖς καὶ ἁγίοις κεκοσμημένην, φρονήμασιν ἀγαθοῖς καὶ ἔργοις κοινωφελέσιν, ἐκκλίνων ἀπὸ τοῦ κακοῦ, καὶ ποιῶν τὸ ἀγαθὸν, καὶ βδελυσσόμενος πᾶσαν κακίαν ἐξ ἀγάπης πρὸς τὸν Θεὸν, καὶ πρὸς τὸν πλησίον, καὶ εὐσπλαγχνιζόμενος τοὺς πένητας καὶ τοὺς ἐνδεεῖς, καὶ ἀφιεὶς τοῖς ἀδικήσασι τὰ παραπτώματα. Ταῦτα δήπου θεαρεστότερα πᾶσης ἐστὶ προσφορᾶς. » (α) Οὕτω καὶ ὁ μακάριος Ἀντώνιος « Εὐχὰς ἐκ κενοδοξίας ἢ κουφότητος γινομένας, καὶ πρὸς οὐδὲν ὠφέλιμον ἀφορώσας, χλευάζειν δεῖ μᾶλλον, ἢ τηρεῖν ὡς ἀπρεπεῖς καὶ κενὰς, οἷον τὸ μὴ βούλεσθαι ζώου κεφαλῆς ἐσθίειν δι' εὐλάβειαν εἰς τὸν Βαπτιστὴν, καὶ τὸ μὴ πλύνειν ἢ νήθειν ἐν παρασκευῇ καὶ τὰ τοιαῦτα. Αἱ γὰρ μωραὶ τῶν εὐχῶν οὐκ ἔστιν ὅπως μὴ τῷ Θεῷ ἀπαρέσκωσιν. » Οὕτω διδάσκουσιν οἱ ἅγιοι οὗτοι καὶ μακάριοι ἄνδρες, οἱ σὺν τῇ ἀρετῇ καὶ παιδίαν πλουτήσαντες. Ἐκ δὲ τούτων δηλοῦται, τί δεῖ φρονεῖν περὶ τῶν εὐχῶν, ὅσαι ἐξ ἀνάγκης, ἢ ἐν κινδύνῳ ἀπερισκέπτως καὶ πολλάκις ἐν παραφροσύνῃ γίνονται, οἷον τὸ εὔξασθαί τινας ἐν πιφνιδίῳ θανάτου κινδύνῳ ἀπελθεῖν

(α) Λόγ. εἰς τὴν γέν. τοῦ Κυρίου.

Digitized by Google

εἰς τόπον τινὰ προσκυνήσεως χάριν, εἰ τὸν κίνδυνον διαφύγοι, ἢ δῶρόν τι τῇ ἐκκλησίᾳ προσενεγκεῖν, εἰ τὴν λύπης τε καὶ ζημίας πρόξενον δίκην κερδάνοιεν· κ. τ. λ, ὕστερον δὲ μήτε καιρὸν, μήτε δύναμιν, μήτε περιουσίαν ἔχοντες, ὅπως τὴν εὐχὴν τελέσωσιν, ὀφειλέτας δ' ἑαυτοὺς διὰ παντὸς ἡγούμενοι, κατατήκονται βασανιζόμενοι ὑπὸ τῆς συνειδήσεως. Ἆρ' οὐχὶ ἁρμόττει λέγειν τοῖς τοιούτοις τὸ τοῦ μακαρίου Αὐγουστῖνου; «Οὐκ εἰσὶ ταῦτα αἱ ἄριστοι τῶν εὐχῶν, κρεῖσσον τούτων ὁ Θεὸς βούλεται.»

§. 55. *Περὶ τῆς ἐν ταῖς εὐχαῖς ὀφειλῆς.*

Ὅλως μὲν οὖν τὴν εὐχὴν μετὰ συνέσεως, καὶ ἐν συνειδήσει τελείᾳ τοῦ πράγματος, καὶ πρὸς ἀγαθόν τι χρὴ γίνεσθαι· ἀπέστω δὲ ταύτης ἀλαζονεία καὶ κουφότης, ὥστε νομίζειν διὰ τῆς εὐχῆς ὑποχρεοῦν τὸν Θεὸν ποιῆσαι τὰ μὴ προσήκοντα· ἃ δέ τις ἔφθη εὐξάμενος, ἀπαραβάτως τηρείτω μετὰ πίστεως καὶ προθυμίας. Οὕτως ἐνετείλατο ὁ Θεὸς τοῖς Ἰαραηλίταις. «Ἐὰν εὔξῃ εὐχὴν Κυρίῳ τῷ Θεῷ σου, οὐ χρονιεῖς ἀποδοῦναι αὐτὴν, ὅτι ἐκζητῶν ἐκζητήσει κύριος ὁ Θεός σου παρὰ σοῦ, καὶ ἔσται ἐν σοὶ ἁμαρτία. Ἐὰν δὲ μὴ θέλῃς εὔξασθαι, οὐκ ἔστιν ἐν σοὶ ἁμαρτία. Τὰ ἐκπορευόμενα ἐκ τῶν χειλέων σου φυλάξῃ, καὶ ποιήσεις ὃν τρόπον ηὔξω κυρίῳ τῷ Θεῷ σου δόμα, ὃ ἐλάλησας τῷ στόματί σου (α). » Τὸ μὲν γὰρ πιστῶς καὶ τιμίως τὰ ὡμολογημένα τηρεῖν, δόξα τῆς ἀνθρωπότητος· τὸ δὲ προσποιεῖσθαι καὶ ἀθετεῖν αὐτὰ, αἶσχος αὐτῇ μέγιστον· διὸ τὰς ἅπαξ γενομένας εὐχὰς τῶν σπουδαιοτάτων καθηκόντων ἐστὶν ἀκριβῶς ἐκπληροῦν, μάλιστα δὲ, ἐὰν μεγάλαι ὦσι καὶ σπου-

(α) Δευτερ. κγ'. 21.

Digitized by Google

δαῖαι· ὅσῳ γὰρ αὗται μείζους καὶ σπουδαιότεραι, τοσούτῳ καὶ ἡ ὀφειλὴ τοῦ ἐκπληροῦν αὐτάς· αἱ δὲ ὑφ' ὅρον τινὰ γινόμεναι, ἐὰν μὴ ὁ τεθεὶς ὅρος ὑπάρξῃ, οὐδεμίαν ἐπιβάλλουσιν ὀφειλήν. Οὕτω δὲ καὶ αἱ προσωπικαὶ εὐχαὶ μόνου τοῦ εὐχομένου εἰσί, καὶ οὐδενὶ ἄλλῳ ἐπάγουσιν ὀφειλήν, ὡς δυσχερεῖς τελεσθῆναι, καὶ φροντίδος καὶ πόνου δεόμεναι, ἃ οὐδενὶ ἔξεστιν ἄλλοις ἐπιβάλλειν, ἐκτὸς ἑκουσίου καὶ ἀμοιβαίας συγκαταθέσεως· τοῦτο καὶ περὶ τῶν πραγματικῶν ἰσχύει εὐχῶν. Εἰσὶ δὲ καί τινες, ἀμετάδοτοι ὅλως, οἷον τὸ τηρῆσαι τὰς καλουμένας συμβουλὰς τοῦ Εὐαγγελίου, ὥστε ἐν πενίᾳ διηνεκεῖ τὸν βίον διατελέσαι, ἢ ἐν παρθενίᾳ, κ. τ. λ. Οὐδεὶς γὰρ ἂν ταῦτα παρ' ἄλλου δέξαιτο.

§. 56. Ἐπεὶ δ', ὡς εἴρηται, τὰς εὐχὰς περιεσκεμμένως τε καὶ ἐν πλήρει τοῦ πράγματος συνειδήσει δεῖ γίνεσθαι, καὶ πρὸς ἀγαθὸν ἀεί, οὐκ ἔξεστιν, οἷς διὰ τὸ τῆς ἡλικίας ἄωρον ἡ ἀναγκαία γνῶσίς τε καὶ σκέψις ἐλλείπει, τοιαύτας εὔχεσθαι εὐχάς· κἂν δὲ εὔξωνται, οὐδὲν ἔχουσι κῦρος· οὕτω καὶ οἱ αἰφνιδίοις τε καὶ ἀπροσδοκήτοις δυστυχήμασι περιπίπτοντες, καὶ ὑπὸ σφοδρῶν ὁρμῶν τε καὶ παθήσεων ἢ ὑπὸ ταραχῆς καὶ τρόμου τῆς ψυχῆς κατεχόμενοι. Καὶ ὅλως δὲ πολλῆς προσοχῆς καὶ προνοίας ἐν ταῖς εὐχαῖς δεόμεθα· πολλάκις γὰρ καὶ αἱ ἄρισται καὶ ἠθικώταται δοκοῦσαι, ἐπειδὰν διαρκεῖς ὦσι διὰ παντὸς τοῦ βίου, γένοιντ' ἂν τισι τραῦμα τῆς συνειδήσεως ἀνίατον. Μηδεὶς οὖν εὐχὴν διὰ βίου, χωρὶς ἀνάγκης, εὐχέσθω· ἀρκετὸν γὰρ τοῖς πλείστοις τὸ κοινὸν βάρος τῶν ἐντολῶν ἐν ἀγαθότητι καρδίας βαστάζειν, ποιοῦντας ὃ πράττειν δύνανται ἀγαθόν. Εἰ δέ τις καὶ τι πλέον διαπράξεσθαι δεῖν οἴεται, ἀναδεχέσθω καὶ τοῦτο, καὶ ἐπιτελείτω· ἐφ' ὅσον ἐγχωρεῖ· ἀλλ' ὅπου οὐδεμία ἐπίκειται ἀνάγκη, μὴ ἐπιτιθέσθω ἐφ' ἑαυτὸν βάρος, ὅπερ οὐ δύναται

Digitized by Google

βαστάσαι. Οὗτος ὁ κανὼν καὶ τοῖς πνευματικοῖς, τοῖς τοὺς λογισμοὺς δεχομέναις τῶν πιστῶν, ἀναγκαῖος ὑπάρχει. Προσεχέτωσαν δὲ μάλιστα τῇ τῆς παρθενίας εὐχῇ, καὶ τῇ τῶν ἄλλων τῶν οὕτω σπουδαίων, ὅταν ἄνθρωποι ἀπερίσκεπτοι ῥᾳθύμως ἂν τοιαῦτα εὔχεσθαι δοκῶσι, καὶ παραινείτωσαν αὐτοῖς δοκιμάζειν ἑαυτοὺς πρῶτον ἐφ' ἱκανὸν χρόνον, καὶ ταῦ ἀκαίρου ζήλου ἀποτρεπέτωσαν. Ταῦτα καὶ περὶ τῶν εὐχῶν, ὡς τῇ ἐξωτερικῇ λατρείᾳ τοῦ Θεοῦ καὶ τούτων ἀναφερομένων· καὶ δι' αὐτῶν ὁ περὶ τῶν καθηκόντων λόγος τῶν πρὸς τὸν Θεὸν περαταῦται.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐν ᾧ τὰ εἰς ἑαυτὸν καθήκοντα διδάσκονται

§. 57. *Εἰσαγωγή.*

Τὰ μὲν ἄχρι τοῦδε διαγεγραμμένα καθήκοντα δεικνύουσι τὴν πρὸς τὸν Θεὸν ἡμῶν σχέσιν, ἐξ ἧς καὶ προέρχονται, ὑπαγορευόμενα καὶ ὑπὸ τοῦ λογικοῦ ὡς κανόνες τῆς παρ' ἡμῶν ὀφειλομένης ἀγάπης καὶ διαγωγῆς πρὸς αὐτὸν, παρ' οὗ καὶ τὸ εἶναι καὶ τὸ ζῆν ἔχομεν, καὶ πάντα τὰ χαρίσματα, οἷς πάντων διαφέρομεν τῶν ἐπὶ γῆς κτισμάτων, καὶ εἰς τέλος κράτιστον παρὰ τῆς αὐτοῦ ἀγαθότητος προωρίσθημέν τε καὶ ἐκλήθημεν. Τούτοις δὲ παρέχει καὶ ἡ θεία Γραφὴ τὸ κράτιστον· κῦρος ἐντελλομένη τὸ «Ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σού (α).» Ὁ δηλοῦ παντὸς τοῦ βίου σου ἡ ψυχὴ ἔστω τὸ πρὸς αὐτὸν

(α) Λευκ. ι, 27.

Digitized by Google

βαθύτατον σέβας, καὶ ἡ τελεία καὶ θερμοτάτη ἀγάπη, καὶ ἡ λατρεία καὶ ἡ προσκόλλησις· διότι αὐτός ἐστιν ὁ πατήρ σου, ὃς ἐποίησέ σε καὶ ἔπλασέ σε, αὐτὸς ὁ τροφεὺς καὶ συντηρητής σου καὶ κηδεμὼν καὶ προνοητὴς, αὐτὸς ἔσται καὶ ὁ δίκαιος κριτὴς καὶ ἀνταποδότης σου, αὐτὸν κατὰ πάντα μιμοῦ ὡς ἀρχέτυπόν σου, ἡ δ' αὐτοῦ τελειότης, ἐναργῶς, ὅσον ἔνεστι, κατανοηθεῖσα, ἔστω σοι πανταχοῦ στάθμη τῶν διανοημάτων καὶ τῶν ἔργων καὶ πάσης τῆς ἐνεργείας σου. Οὕτω γὰρ ἔσται σοι, ὅπερ ἔφη ὁ θεῖος Παῦλος « Ἐν αὐτῷ ζῆν καὶ κινεῖσθαι καὶ εἶναι (α) ». Τὸ μὲν οὖν οὕτως ἔχειν πρὸς τὸν Θεὸν ἡ πρὸς αὐτὸν ἡμῶν ἱερά τε καὶ ἀναλλοίωτος ἀπαιτεῖ σχέσις, ἀλλὰ τούτῳ συνῆπται καὶ συνδέδεται ἀχωρίστως καὶ ἡ πρὸς τὸν ἄνθρωπον ὀφειλομένη ἀγαθὴ γνώμη ἡμῶν καὶ διαγωγὴ, ὃς τὴν εἰκόνα ἐκείνου φέρει· ὁ μὲν γὰρ Θεός ἐστιν ἡ αἰώνιος καὶ ἀναλλοίωτος αὐτοαγαθότης, ὁ δὲ ἄνθρωπος ὑπάρχει καὶ αὐτὸς δυνάμει ἀγαθὸς, ἤτοι ἱκανὸς καὶ προωρισμένος, ἵνα μιμούμενος τὸν ποιητὴν αὐτοῦ, ἀγαθὸς γένηται, καὶ τῆς θείας ἀγαθότητος κοινωνὸς καὶ συμμέτοχος. Ἔνεστι γὰρ αὐτῷ τὸ λογικὸν, ᾧ τὸ ἀγαθὸν διακρίνει, ἀλλὰ καὶ τὸ αὐτεξούσιον, ᾧ τὸ γνωσθὲν ἀγαθὸν αἱρεῖσθαί τε καὶ κατορθοῦν δύναται· διὰ τοῦτο καὶ ἕκαστος τῶν ἀνθρώπων, ἐξ αὐτοῦ θεωρούμενος, ἀγάπης τε καὶ τιμῆς ὑπάρχει ἄξιος. Ἐκ τούτου ἡ δευτέρα ἐντολὴ τοῦ Θεοῦ « Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται » (β) ἀποφαίνεται ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστός· ὅπερ δηλοῖ, ὅτι ἐκ τῶν δύο τούτων ἐντολῶν γεννῶνται πάντα τὰ λοιπὰ, ὅσα, καὶ ὑπὸ τοῦ νόμου παραγγέλλονται, καὶ ὑπὸ

(α) Πραξ. ιζ'. 28. (β) Λουκ. ί. 28.

Digitized by Google

τῶν προφητῶν καὶ τῶν ἄλλων ἁγίων ἀνδρῶν ἀνέκαθεν περὶ τοῦ κατ' ἀρετὴν βίου ἐῤῥέθησαν. Ἄξιον δ' ἀναμνησθῆναι ἐνταῦθα καὶ τὸν λόγον τοῦ ἠγαπημένου μαθητοῦ τοῦ Κυρίου. « Ἀγαπῶμέν, φησι, τὸν Θεὸν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς. Ἐάν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισεῖ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν, ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν; Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ (α). » Ἐκ τούτων οὖν δῆλον τὸ εἰρημένον, ὅτι τὰ πρὸς τὸν Θεὸν καὶ τὰ πρὸς τὸν ἄνθρωπον καθήκοντα συνέχονται ἐν ἀλλήλοις καὶ ἀχώριστα διατελοῦσι. Τὸ δὲ θαυμαστὸν, ὅτι οὐ μόνον ἐν ἡμῖν αὐτοῖς, ἀλλὰ καὶ ἐν ἑκάστῳ τῶν πλησίον ἐξίσου δεῖ παρ' ἡμῶν τιμᾶσθαι καὶ ἀγαπᾶσθαι τὸν ἄνθρωπον, ὡς πανταχοῦ ἱκανόν τε καὶ κεκλημένον πρὸς τὴν θείαν ὁμοίωσιν καὶ τελειότητα, καθάπερ καὶ ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος τέλειος ἐστί. Τὸ οὖν παρὰ παντὸς τῷ ἀνθρώπῳ τῷ ἐν ἡμῖν αὐτοῖς, καὶ ἐν τῷ πλησίον ὀφειλόμενον ὧδέπως ἂν ἐν κεφαλαίῳ ῥηθείη. Τίμα καὶ ἀγάπα τὸν ἄνθρωπον ὡς εἰκόνα Θεοῦ καὶ κεκλημένον εἰς τὸ ἐξομοιωθῆναι αὐτῷ, τῷ πατρὶ ἡμῶν τῷ ἐν τοῖς οὐρανοῖς. Μηδέποτε πράττε τι πρὸς τὸν ἄνθρωπον ἀνοίκειον τῇ γενέσει, τῇ ἀξίᾳ καὶ τῇ κλήσει αὐτοῦ. Τούτων τὸ μὲν, καταφατικῶς, τὸ δὲ, ἀποφατικῶς ἐκφράζει τὸ πρὸς τὸν ἄνθρωπον κυριώτατον ἡμῶν καθῆκον.

Σημ. Ἀναγκαιότατόν ἐστι τὸ μαθεῖν ἅπαξ διὰ παντὸς ἐκ τῆς ἀληθοῦς ὄψεως θεωρεῖν τὸν ἄνθρωπον. Τοῦτο γὰρ καὶ μόνον παρέχει λόγον ἀποχρῶντα καὶ βάσιν ἀ-

(α) Ἰωάν. Α'. Ἐπιστ. δ'. 19.

Digitized by Google

κράδαντον τῆς πρὸς αὐτὸν ὀφειλομένης τιμῆς καὶ ἀγάπης. Ἔστι τοίνυν οὐ μόνον ἀριστούργημα τῆς τοῦ Θεοῦ παντοδυναμίας τε καὶ σοφίας καὶ ἀγαθότητος, ἀλλὰ δὴ καὶ πρὸς τὴν θείαν ἀφομοίωσιν κεκλημένος διὰ τῶν ἐν αὐτῷ ὑψηλῶν χαρισμάτων· διὸ καὶ ὑπὸ τὴν ἐξαίρετον καὶ διηνεκῆ αὐτοῦ πρόνοιαν καὶ ἀγάπην καὶ τὸ ἔλεος διατελεῖ, καὶ τίμιον καὶ μέγα καὶ ἱερὸν ἐνώπιον αὐτοῦ φαίνεται. Ὃ ἂν οὖν ποτῇ τις τῷ ἀνθρώπῳ ἀγαθὸν ἢ κακὸν, τοῦτο ὡς εἰς ἑαυτὸν ἀναγόμενον θεωρεῖ ὁ Θεός· οὐ γὰρ μόνον ἐπιβλέπει ἐπὶ τὴν ἑαυτοῦ εἰκόνα, ἀλλὰ καὶ προίσταται ταύτης πανσόφως καὶ δικαίως καὶ ἁγίως, καὶ διὰ τοῦτο ἄψαυστον χρὴ ὑπὸ χειρῶν βεβήλων διαμένειν.

§. 58. *Περὶ τῆς εἰς ἑαυτὸν ὀφειλομένης τιμῆς καὶ ἀγάπης.*

Ἐπειδὴ ἡ θεία ἐντολὴ μέτρον ὡρίσατο τῆς πρὸς τὸν πλησίον ἀγάπης καὶ τιμῆς τὴν πρὸς ἡμᾶς αὐτοὺς τιμὴν καὶ ἀγάπην, διὰ τοῦτο καὶ περὶ ταύτης πρῶτον δοκεῖ λέγειν, εἶτα δὲ καὶ περὶ ἐκείνης. Τιμὴ τοίνυν καὶ ἀγάπη δύο διάφορα μέρη εἰσὶ τῆς μιᾶς καὶ τῆς αὐτῆς ἀγαθῆς γνώμης, ἣν ὡς ἱερὸν πῦρ ἐν τῇ καρδίᾳ ἡμῶν ἄσβεστον διατηρεῖν ὀφείλομεν πρὸς τὸν ἄνθρωπον, ὡς ἀριστούργημα τοῦ Θεοῦ καὶ εἰκόνα αὐτοῦ, καὶ ὑπὸ τὸ πατρικὸν αὐτοῦ βλέμμα διηνεκῶς διατελοῦντα· πάντα γὰρ ταῦτα ἐσμὲν ἀληθῶς ἡμεῖς τε καὶ πᾶν τὸ ὁμόφυλον. Καὶ τιμὴ μέν ἐστιν ἡ ἐξαίρετος φροντὶς τοῦ ἀπέχειν πάντων τῶν τῷ τιμωμένῳ ἀνιαρῶν ἢ βλαβερῶν ὁπωσδήποτε γενομένων. Ἀγάπη δὲ, τὸ προθύμως ἀναδέχεσθαι καὶ πράττειν πάντα τὰ αὐτῷ ἡδέα τε καὶ ὠφέλιμα. Ἀμφότερα δ' ὁμοῦ παρίστησι τὸ ὑπὸ τῆς ἁγίας Γραφῆς ἐννοούμενον ὑπὸ τὴν λέξιν ἀγάπη· καὶ εἰ

Digitized by Google

τὸν ἐν ἡμῖν ἄνθρωπον ἀφορᾷ, αὐτοτιμὴ καὶ αὐτοαγάπη καλεῖται. Δεικνύονται δὲ, ἢ κατὰ καιρὸν ἐν πράξεσί τισιν, ἢ εἰς γνώμην μόνιμον καὶ διαρκῆ μεταβάλλονται. Καὶ τὸ μὲν πρῶτον μικρὸν ὠφελεῖ, τὸ δὲ δεύτερον ὑπάρχει τὸ καθῆκον καὶ ἡ κλῆσις πάντων ἡμῶν, ὅπερ οὐκ ἄλλως κατορθοῦται, ἢ θεωρουμένου τοῦ ἀνθρώπου, ὡς εἴρηται, ἐκ τῆς σχέσεως αὐτοῦ πρὸς τὸν Θεόν. Ἵνα δὲ μὴ καὶ ψευδὴς αὐτοτιμὴ καὶ αὐτοαγάπη ἀντὶ τῆς γνησίας καὶ ἀληθοῦς εἰσχωρῇ, σημειούσθωσαν ἐνταῦθα οἱ κυριώτεροι τῶν χαρακτήρων, οἷς αὕτη ἀπὸ τῆς ψευδοῦς διακρίνεται.

§. 59. *Περὶ τῶν τῆς γνησίας αὐτοτιμῆς καὶ αὐτοαγάπης χαρακτήρων.*

Τὴν πρὸς ἑαυτὸν τιμὴν καὶ ἀγάπην, ἵνα γνήσιαι καὶ ἀληθεῖς ὦσι, δεῖ εἶναι ἁ, εὔτακτον· β', δικαίαν· γ', γενναίαν· δ', σταθεράν· ε', τῷ εἰρημένῳ τῆς πίστεως δόγματι ἐπῳκοδομημένην. Χωρὶς γὰρ τούτων οὐκ ἔτ' ἂν εἴη αὐτοτιμὴ καὶ αὐτοαγάπη, εἰ μὴ κατὰ δόκησιν. Καὶ εὔτακτος μέν ἐστιν, ἐπειδὰν μὴ μόνον τὴν σάρκα θεραπεύῃ, ἀλλὰ καὶ τὸ πνεῦμα οὕτως, ὥστε μὴ θάτερον θατέρῳ λυμαίνηται. Δικαία δὲ, ἐπειδὰν μηδενὸς παρ' ἑαυτῇ καταφρονῇ, μηδένα βλάπτῃ, ἐν οἷς δικαίως ἀξιοῖ ἢ κέκτηται. Γενναία δὲ, ἐπειδὰν πᾶσαν μὲν πρόσκαιρον ὠφέλειαν ἢ ἡδονὴν ἀνοίκειον τῇ τοῦ ἀνθρώπου ἀξίᾳ καὶ τῇ κλήσει ἐξουθενῇ, μηδεμίαν δὲ δυσχέρειαν ἢ πόνον, ἢ κίνδυνον φεύγῃ, ὅπως τὴν οἰκείαν ἀξίαν διατηρήσῃ, καὶ πρὸς τὴν ἑαυτοῦ κλῆσιν προβαίνῃ. Μόνιμος δὲ καὶ σταθερὰ, ὅταν, ἀπὸ τῆς νεότητος μέχρι τῆς ἐσχάτης αὐτοῦ ἀναπνοῆς, τιμᾷ ἑαυτὸν, καὶ κατὰ τὸ θεῖον θέλημα χρῆται, μηδέποτε εἰς κτηνωδίαν ἐκπίπτων, μηδὲ τῆς

Digitized by Google

ἐν αὐτῷ θείας εἰκόνος ἐπιλανθανόμενος, μηδ' ὅτι ὑπὸ τὴν προστασίαν ἀεὶ καὶ τὴν ἀγάπην καὶ τὴν ἐποπτείαν τοῦ θεοῦ διατελεῖ. Ὁ γὰρ αἴφνης, ὡς ἀστραπὴ διεγειρόμενος, καὶ πάλιν ἐν ἀκαρεῖ ἀφανιζόμενος ἐνθουσιασμὸς, οὐδὲν ὠφελεῖ· καὶ ὁ μὴ θεωρῶν οὕτως ἑαυτὸν, ὡς ἀριστούργημα τῆς παντοδυναμίας, τῆς σοφίας, καὶ τῆς ἀγαθότητος τοῦ Θεοῦ, καὶ ὡς εἰκόνα αὐτοῦ ζῶσαν, ἧς ἀδιαλείπτως κήδεται, καὶ προνοεῖ, οὐ δύναται ἀληθῶς καὶ καθαρῶς ἀγαπᾷν καὶ τιμᾷν ἑαυτὸν, ἀλλὰ δόκησις μόνη ἂν εἴη ἡ τούτου εἰς ἑαυτὸν ἀγάπη, οὐχὶ δὲ γνησία καὶ ἀληθὴς αὐτοαγάπη, οὐδ' αὐτοτιμὴ, δι' ἧς ἕκαστος δείκνυσι, πόσον πέποιθεν ἐπὶ τὸν Θεὸν, ὡς τὴν εἰκόνα αὐτοῦ ἐν ἑαυτῷ σεβόμενος. Ὁ δὲ μὴ οὕτως ἀγαπῶν μηδὲ τιμῶν τὴν ἐν ἑαυτῷ ἀνθρωπίνην φύσιν, ἀλλὰ περὶ μόνον τὸ σαρκικὸν αὐτῆς θέλημα ἀσχολούμενος, καὶ τοῦτο θεραπεύων, δῆλός ἐστι μηδὲν τὸ ἐν αὐτῇ θεῖον νομίζων, διὸ καὶ ἐπισφαλὴς, μᾶλλον δὲ ἐπικυνδυνώτατος τοῖς ἄλλοις ἀνθρώποις ὁ τοιοῦτος γίνεται, ὡς πρὸς πᾶν κακὸν, ἐπειδὰν μὴ ὑπ' ἄλλου προσκαίρου λόγου κωλύηται, πρόθυμος καὶ ἐπιῤῥεπής. Ὁμολογητέον δὲ, ὅτι γνησία καὶ ἀληθὴς αὐτοτιμὴ καὶ αὐτοαγάπη σπανιωτάτη ἐν τοῖς ἀνθρώποις εὑρίσκεται, διὰ τὴν κουφότητα καὶ καὶ τὸ ἀμέριμνον τῶν πολλῶν, καὶ διὰ τὴν ἄγνοιαν τῆς καθ' ἡμᾶς ἀξίας καὶ τοῦ προορισμοῦ, καὶ διὰ τὴν εἰς τὰ πρόσκαιρα καὶ τὰ σαρκικὰ προσκόλλησιν αὐτῶν. Ὁ βουλόμενος οὖν ἀληθῶς, καθάπερ δίκαιον καὶ πρέπον, ἀγαπᾷν καὶ τιμᾷν ἑαυτὸν, φυλαττέσθω ἐπιμελῶς ἀπὸ πάντων τούτων, ὡς πολεμίων.

§. 60 *Περιγραφὴ τῶν εἰς ἑαυτὸν καθηκόντων.*

Ὁ ἄνθρωπος ἐκ ψυχῆς τε καὶ σώματος συνίσταται· καὶ τὸ μὲν σῶμα ὄργανον τυγχάνει τῆς ψυχῆς, δι' οὗ

Digitized by Google

αὕτη ἐν τῷ αἰσθητῷ κόσμῳ δηλοῦται καὶ ἐνεργεῖ· ἡ δὲ ψυχὴ πάλιν ζωοποιοῦσα τὸ σῶμα αἰτία πάσης κινήσεως καὶ ἐνεργείας αὐτοῦ γίνεται. Ἀμφότερα τοίνυν ταῦτα ἰδίας ἑκατέρου ἐπιμελείας δέονται, ἵνα, οἷα δεῖ εἶναι κατὰ τὴν φύσιν καὶ τὸν σκοπὸν αὐτῶν, γένωνται, καὶ οὐδέτερον ἂν αὐτῶν, χωρὶς τῆς δεούσης ἐπιμελείας, τοῦ τέλους αὐτοῦ ἐφίκοιτο. Αὕτη δὲ ἡ ἐπιμέλεια τε καὶ θεραπεία τούτων τὰ πρὸς ἑαυτὸν καθήκοντα τοῦ ἀνθρώπου συνιστᾶσιν, ἃ δεῖ ἐξ ἀγάπης τε καὶ τιμῆς πρὸς τὴν ἐν ἑαυτῷ ἀνθωπίνην φύσιν ἐκπληροῦν. Ἐροῦμεν τοίνυν πρῶτον τίνα τὰ κυριώτερα ἑκάστου πρὸς ὅλον ἑαυτὸν καθήκοντα, εἶτα δέ τίνα τὰ πρὸς τὸ ἑαυτοῦ σῶμα ἰδίως, καὶ τελευταῖον τίνα τὰ πρὸς τὸ πνεῦμα.

§. 61. *Περὶ τῶν εἰς ἑαυτὸν ἐν γένει καθηκόντων.*

Σῶμα καὶ πνεῦμα συνῆπται ἐν τῷ ἀνθρώπῳ ὁμοῦ, ἀδιαλείπτως ἑκάτερον πρὸς τὸ ἕτερον ἐπενεργοῦν· καὶ οὐκ ἀλόγως ἡ τοιαύτη ὑπάρχει συνάφεια καὶ ἀμοιβαία ἐπενέργεια. Τὸ μὲν γὰρ πνεῦμα τέλος ἔχον τὴν πρὸς τὸν Θεὸν ἐξομοίωσιν, προώρισται καὶ μανθάνειν ἀεὶ ἀκριβέστερόν τε καὶ ἐναργέστερον πᾶν τὸ ἀληθὲς, καὶ ἀγαθὸν, καὶ δίκαιον, καὶ καλὸν, καὶ πρέπον, ἔν τε τῷ αἰσθητῷ καὶ τῷ νοητῷ κόσμῳ, ἵν, ὕστερον καὶ ἐνεργεῖν κατὰ τὴν αὐτοῦ ὀρθὴν γνῶσιν δύνηται, καὶ οὕτω μᾶλλον εἰς τὸν Θεὸν, τὴν πρώτην αὐτοῦ πηγὴν καὶ αἰτίαν καὶ τὸ ἀρχέτυπον, ἀνυψῶται. Πρὸς δὲ τοῦτο καὶ τοῦ σώματος, οἷα δὴ ὀργάνου, δεῖται· ἀκατανόητον γὰρ ἡμῖν, πῶς ἂν, ἔν γε τῷ παρόντι, χωρὶς ὀργάνου τοῦ σώματος, ἢ γνῶσίν τινα τὸ πνεῦμα κτήσαιτο, ἢ ἐκτὸς ἑαυτοῦ ἐνεργήσειεν. Ὅσῳ ἄρα χρονιώτερος ὁ τοῦ σώματος μετὰ τοῦ πνεύματος διαμένει σύνδεσμος, τοσούτῳ

Digitized by Google

καὶ ὀνησιμώτερον πρὸς τὴν τοῦ τέλους ἐπιτυχίαν· καὶ ὅσῳ ἰσχυρότερόν τε καὶ ἀκεραιότερον τὸ σῶμα διατηρεῖται, τοσούτῳ καὶ ἐπιτηδειότερον ὄργανον ὑπάρχει τῷ πνεύματι πρὸς αὐτὸ τοῦτο. Τοῦ δὲ σώματος ἐκ πολλῶν καὶ διαφόρων μελῶν συνισταμένου, ὡρισμένην ἕκαστον θέσιν τε καὶ ἐνέργειαν ἔχει, καὶ τῇ ἀσκήσει πολλῷ ἐπιτηδειότερα πάντα γίνεται τῷ πνεύματι πρὸς τὰς διαφόρους ἐργασίας, ἀλλὰ καὶ φθαρῆναι, ἢ κολοβοθῆναι παντοιοτρόπως ἐνδέχεται. Ἐὰν οὖν ἡ ὅλον τὸ σῶμα, ἢ τινα τῶν αὐτοῦ μελῶν φθαρῶσιν, ἀναγκαίως ἀφαιρεῖται τὸ πνεῦμα τὸ ὄργανον τοῦ προβαίνειν ἐπὶ τὸ αὐτοῦ τέλος. Ἐὰν δὲ καὶ κατὰ κράτος οὕτω διαφθαρῇ ὅλον, ὥστε καὶ διαλυθῆναι, οὐκ ἔτι λείπεται τῷ πνεύματι ὄργανον ἔνγε τῷ παρόντι, ὅπως περαιτέρω πρὸς τὸ τέλος αὐτοῦ προβῇ. Καὶ ἡ μὲν ὁλικὴ τοῦ σώματος φθορὰ ἄφυκτον, κατὰ τὸν τῆς φύσεως νόμον, ὡς εἴρηται τῷ γενάρχῃ «Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ» (α). ἢ ὥς φησιν ὁ θεῖος Παῦλος «Ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν.» (β). Ἐπεγένετο δὲ ἡ ἀνάγκη αὕτη ἐκ τῆς τοῦ πρώτου ἀνθρώπου παραπτώσεως, ὡς ἡ θεία Γραφὴ διδάσκει, «Ὥσπερ δι' ἑνὸς ἀνθρώπου εἰς τὸν κόσμον ἡ ἁμαρτία εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν» (γ). Οὗτος δὲ ὁ θάνατος, ὅς ἐστιν ἡ τελεία τοῦ σώματος καταστροφὴ καὶ διάλυσις, οὐ τυχαῖον, ὡς δοκεῖ τισιν, ἀλλὰ κατὰ βούλησιν τῆς θείας προνοίας, ὡς καὶ πάντα τὰ ἐν τῷ κόσμῳ γινόμενα, συμβαίνει. Διττῶς δ' ἐπιγίνεται, ἢ διὰ φυσικῶν δενάμεων ἐσωτερικῶς ἢ ἐξωτερικῶς ἐνεργουσῶν, ἢ διὰ προαιρετικῶς κινουμένων ἰδίων ἢ ἀλλοτρίων. Καὶ ἐν πολλοῖς μὲν, προνοῶν τις καὶ φυλαττόμενος, δύναται

(α) Γεν. (β) Ἑβρ. θ'. 27. (γ) Ῥωμ. ε'. 12.

Digitized by Google

τὸν τῆς ζωῆς κίνδυνον διαφυγεῖν, οὐχὶ δὲ καὶ ἐν πᾶσιν οὐδὲ παντα χοῦ· καὶ ὅταν μὲν δύνηται, παντὶ σθένει προσήκει κωλύειν τὴν τοῦ βίου κατάλυσιν, κἂν μεγάλας θυσίας ὑποστῆναι πρὸς τοῦτο δέῃ, ἐὰν μόνον δικαίοις τε καὶ νομίμοις χρῆται τοῖς τρόποις· ἄλλως γὰρ, ἑκουσίως ἀποστερεῖ ἑαυτὸν τὴν δύναμιν τοῦ προβῆναι ἐπὶ τὸ ἴδιον τέλος, ὅπερ ἀθέμιτον πάντως ἐστὶ καὶ ὁμολογεῖται. Τοῦ γὰρ τέλους, πρὸς ὃ δεῖ σπεύδειν ἡμᾶς, ὡς ποῤῥωτάτω κειμένου, ἀφροσύνη καὶ ἀδικία μεγίστη εἰς ἑαυτὸν ὑπάρχει ἀφαιρεῖν οἴκοθεν τὴν ἐπὶ τὰ πρόσω πρόοδον. Ἐντεῦθεν οὖν εὑρίσκεται καθῆκον ἀπόλυτον τὸ μηδέποτέ τινα ταῖς ἑαυτοῦ δυνάμεσι χρώμενον, ἐν γνώσει τε καὶ ἑκουσίως λύειν τὸν τοῦ πνεύματος πρὸς τὸ σῶμα σύνδεσμον, μηδ' ὑπ' ἀλλοτρίας δυνάμεως κατ' ἀνάγκην, ἢ κατὰ προαίρεσιν ἐνεργούσης, ἐᾷν διαλυθῆναι, ἀλλὰ φυλάττεσθαι, ὅσον ἔνεστι, καὶ ἀνθίστασθαι, εἰ μή τινα καθήκοντα κρείττονα τὴν ὑπ' ἀλλοτρίας δυνάμεως διάλυσιν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἐπιβάλλουσιν.

§. 62. *Περὶ τῆς αὐτοκτονίας, ὅτι ἀθέμιτον καὶ κακόηθες.*

Τῷ εἰρημένῳ σπουδαιοτάτῳ καθήκοντι ἀντίκειται ἡ αὐτοκτονία, καταστροφὴ καὶ διάλυσις τῆς ζωῆς ἐκ προαιρέσεως οὖσα. Διττῶς δ' ἂν καὶ αὕτη πράττοιτο, ἢ γὰρ ἀμέσως καὶ σκαιῶς, ἐπειδάν τις ἑκουσίως ἐπιβάλῃ οὕτω χεῖρα εἰς τὴν τῆς ζωῆς κατάλυσιν, ὥστε ἀνάγκη τὸν θάνατον ἐπελθεῖν, ἢ ἐμμέσως καὶ πλαγίως, ἐπειδὰν τοιαῦτα πράττῃ, ἐξ ὧν ἀναγκαίως ἐνεργεῖται κατὰ μικρὸν ἡ κατάλυσις τῆς ζωῆς· καὶ αὕτη δὲ, ἢ ἐπίτηδες καὶ λελογισμένως, ἢ οὐκ ἐπίτηδες μὲν, ἀλλ' ὅμως ἐν συνειδήσει, ὅτι ἐκ τῶν τοιούτων αὐτοῦ πρά-

Digitized by Google

ξεων δύναιτ' ἂν, ἢ δέοι συμβῆναι τοῦτο. Κυρίως τοίνυν αὐτοκτονία, κατὰ ταῦτά, ἐστιν, ἐπειδὰν ἡ ἄμεσος, ἢ ἡ ἔμμεσος κατάλυσις τῆς ζωῆς ἐν τῇ τοῦ πράττοντος γνώμῃ καὶ τῇ συνειδήσει κέηται· ἡ δὲ ἐκ πράξεως, καθ' ἣν οὐδέποτε ὁ πράττων κατάλυσιν τῆς ζωῆς διενοήθη, καί τοι ἐπίμεμπτος καὶ ἁμαρτωλὴ, οὐδέποτε μέν τοι ὀρθῶς ἂν κληθείη αὐτοκτονία κυρίως, ἥπερ ἐστὶ τὸ μέγιστον τῶν ὑπὸ τοῦ ἀνθρώπου πραττομένων ἁμαρτημάτων· καὶ τοῦτο, ὅσῳ μᾶλλον ἐν γνώσει, καὶ ἐν ἀταραξίᾳ τοῦ πνεύματος γίνεται, καὶ ὅσῳ τὸ τέλος, πρὸς ὃ, ἀγεννέστερον, τοσούτῳ μεῖζον κρίνεται, καθάπερ καὶ ἡ ἐπ' αὐτῷ εὐθύνη ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων. Ἔστι γὰρ, πρῶτον μὲν ἁρπαγὴ καὶ σφετερισμὸς ἀσεβὴς τῆς τοῦ Θεοῦ ἐξουσίας καὶ τοῦ δικαιώματος· εἶτα δὲ καὶ κακούργημα μέγιστον πρὸς τὴν ἐν ἑαυτῷ ἀνθρωπίνην φύσιν· καὶ τελευταῖον πρὸς πᾶσαν τὴν κοινωνίαν, ἐξαιρέτως δὲ πρὸς τὸν ἴδιον οἶκον ἀδίκημα μέγιστον. Τὸ μὲν πρῶτον, ὅτι ὁ αὐτόχειρ δοκεῖ βούλεσθαι διδάξαι, ἢ ἐπιβαλεῖν τῷ Θεῷ τὸ πρακτέον, πράττων αὐτὸς αὐθαιρέτως, ὅπερ ἔδει μόνῳ τῷ Θεῷ ἀφιέναι πρᾶξαι, ὅτε ἂν εὐδοκοίη, καὶ ἀφανίζων ἀγνωμόνως τὴν παρὰ τοῦ Θεοῦ φιλανθρώπως τε καὶ παναγάθως γενομένην αὐτῷ πρὸς τὸ ἀγαθὸν μεγίστην τῶν εὐεργεσιῶν· τὸ δὲ δεύτερον, ὅτι ὁ αὐτόχειρ, χωρὶς δικαιώματος, ἀλλ' ἀδίκως τε καὶ αὐθαιρέτως ἀνατρέπει τὸν τοῦ ἀνθρώπου προορισμὸν, τὸ προβαίνειν ἀεὶ ἐπὶ τὴν πρὸς τὸν Θεὸν ἐξομοίωσιν, ἐν ᾗ ἡ ἀξία καὶ ἡ μακαριότης καὶ τὸ ὄντως ἀγαθὸν ἑκάστου ὑφίσταται, μηδὲν λογιζόμενος, πόσον ἤδη πρὸς τὸ ἑαυτοῦ τέλος προέβη, ἢ πόσον ἂν ἔτι προκόψειεν, εἰ ἔτι ἐν τῷ βίῳ διέμενε, καὶ ὀρθῶς αὐτῷ ἐχρῆτο. Ἀδίκημα δὲ μέγιστον πρὸς ἅπασαν τὴν κοινωνίαν, ἥπερ προσδοκᾷν ἐδικαιοῦ-

Digitized by Google

το παρὰ τοῦ αὐτόχειρος εἶναι αὐτῇ μέλος χρήσιμον καὶ ἀγαθοποιὸν, ὁ δὲ αἰσχρῶς τε καὶ ἀγεννῶς τὴν προσδοκίαν ταύτην ἐξαπατῶν, ὅτε, εἰ ἠβούλετο, πολλὰ ἔτι ἀγαθὰ ποιεῖν ἠδύνατο, χωρίζεται ἀπ' αὐτῆς, κηρύττων οἱονεὶ διὰ τούτου, ὅτι οὐδὲν αὐτῷ περὶ τῆς κοινωνίας μέλλει, οὐδὲ περὶ τοῦ εὖ ἢ κακῶς ἔχειν αὐτήν. Οὕτω δὲ καὶ πρὸς τὸν ἴδιον οἶκον ἐξαιρέτως ἀδίκημα μέγιστον ἡ αὐτοκτονία, ὃς τοσοῦτο καὶ ἠγάπησεν αὐτὸν, καὶ ἐπεμελεῖτο αὐτοῦ, καὶ ἐπὶ τὴν βοήθειαν καὶ ἀρωγὴν αὐτοῦ ἤλπιζε, καὶ ἐλπίζειν δίκαιος ἦν, διὰ τὴν πρὸς αὐτὸν οἰκειότητα, καὶ παραμυθίαν ἐν τῇ θλίψει, καὶ βοήθειαν ἐν ἀνάγκῃ διὰ τὴν ἀγάπην, ὁ δὲ αἴφνης ἐγκαταλείπει αὐτὸν μικρὰ περὶ τῶν κατ' αὐτὸν φροντίζων, καὶ εἰς ἀνίαν καὶ αἰσχύνην ἐπὶ τῷ παρὰ φύσιν χωρισμῷ βυθίζων αὐτόν.

§. 63. *Περὶ τῶν εἰς τὴν αὐτοχειρίαν ἀγόντων.*

Καί τοι παρὰ φύσιν τὸ ἑκουσίως ἐπιχειρεῖν τῇ τοῦ ἰδίου βίου καταλύσει, πολλάκις μέν τοι καὶ αἰτίαι δίδονται εἰς αὐτοχειρίαν παραφέρουσαι· αἱ δὲ κυριώτεραι τούτων νομίζονται αἱ ἑπόμεναι ά, ἀτελὲς ἢ λελωβημένον κατά τινα πρὸς τὴν τῆς ζωῆς ἐνέργειαν ἀναγκαιότατα μέλη· β', βίος ἄσωτος, ᾧπερ τὰ φυσικῶς τε καὶ ἀναγκαίως παρεπόμενα ὀδυνηρὰν ἤδη παρέχει αἴσθησιν· γ', δεινοὶ τοῦ συνειδότος ἔλεγχοι καὶ φόβοι, οὓς οὐκ ἔτι κατασιγάσαι τις δύναται· δ', παντοῖα πάθη ψυχῆς ἀκάθεκτα, οἷον ὑπερηφανία, κενοδοξία, φθόνος, ζηλοτυπία, ὀργὴ, ἡδυπάθεια, καὶ ταῦτα ἐπειδὰν τῶν ἐφετῶν ἀποτυγχάνωσι· ε, κακουργήματα κολάσεσιν αὐστηραῖς ὑπὸ τῶν νόμων, ὅταν φωραθῶσι, τιμωρούμενα· ς', δυστυχήματα καὶ πενία μεγάλη, καὶ καταφρόνησις·

Digitized by Google

μάλιστα δὲ, ἐὰν καὶ αἰσχύνη ἄκαιρος προσῇ, ἡ δυσπιστία εἰς τὴν θείαν πρόνοιαν· ζ', ἀποδειλίασις καὶ μικροψυχία ἐν τοῖς δεινοῖς, καὶ ἀπελπισία ἐκ μελαγχολίας· πάντα γὰρ ταῦτα δεινῶς τὴν τοῦ ἀνθρώπου γνώμην διαστρέφει, καὶ εἰς παραφροσύνην φέρει, ἥτις εἰς κατάλυσιν τῆς ζωῆς τελευτᾷ. Ἐν πολλοῖς δὲ καὶ ἄδηλος ἡ αἰτία μένει, ἀλλ' ὅμως ἓν, ἡ καὶ πλείω τούτων τῶν εἰρημένων ἀεὶ ὑπάρχει, ὡς ἐκ τοῦ παρεληλυθότος βίου τοῦ αὐτόχειρος πιθανώτατα εἰκάζεται. Ἐπεὶ δὲ σπανίως ἂν ἡ ἀληθὴς αἰτία ἀνευρίσκοιτο τῆς αὐτοχειρίας, συλλυπεῖσθαι χρὴ μᾶλλον καὶ πενθεῖν ἐπὶ τοῖς τοιούτοις διὰ τὸ φιλάδελφον, ἢ αὐστηρούς τε καὶ ἀσπλάγχνους εἶναι κριτάς.

§. 64. *Περὶ τῶν λεγομένων πρὸς παραμυθίαν περὶ τούτου.*

Α'. Οὐδαμοῦ, φασιν, ἐν ταῖς ἁγίαις Γραφαῖς φαίνεται ἀπαγορευομένη ὡς ἀθέμιτον ἡ αὐτοκτονία· οὐκ ἄρα ἀθέμιτον.

Β'. Τὸ καλῶς ἀποθανεῖν κρεῖσσον, ἢ τὸ ζῆν αἰσχρῶς. Ὅταν ἄρα οὐδὲν ἕτερον προσδοκᾷ, ἢ ὄνειδος καὶ δυστυχίαν, οὐκ ἂν εἴη ἀθέμιτον ἡ αὐτοχειρία.

Γ'. Ἐπειδὰν ἄχθος ᾖ τις περιττὸν ἐν τῷ κόσμῳ, μηδενὶ μηδεμίαν παρέχειν ὠφέλειαν δυνάμενος, τί ἂν ἔτι ζώη;

Δ'. Εἰ τὸ ζῆν δῶρόν ἐστι τοῦ Θεοῦ καὶ εὐεργεσία πᾶσι τοῖς αὐτοῦ μετέχουσιν, ἐμοὶ δὲ οὐκ ἔτι ἡδύ, ἀλλὰ καὶ μάλα ἀλγεινὸν καθίσταται, πῶς ἂν εἴη ἀθέμιτον ἀποδοῦναι αὐτὸ τῷ δωρησαμένῳ, ἐπεὶ οὐκ ἔτι μοι ἡδὺ οὐδ' εὐεργεσία τυγχάνει; Οὕτω καὶ διανοοῦνται καὶ λέγουσιν οἱ τὸ ζῆν βαρέως φέροντες, δικαιῶσαι πειρώμενοι ἐνώπιον τῶν ἀνθρώπων τὴν αὐτοκτονίαν. Ἀλλ' οἱ λόγοι οὗτοι ληρήματά εἰσιν ἄντικρυς κενὰ καὶ ἀνίσχυ-

Digitized by Google

ρα. Ὁ γὰρ τῶν τοῦ ζῆν δυσχερειῶν μετὰ μακροθυμίας τε καὶ καρτερίας ἀνεχόμενος, οὗτός ἐστιν ἀληθῶς ὁ τῆς ἀρετῆς ἥρως, οἷος οὐδέποτε ὁ αὐτόχειρ φαίνεται, ἀλλὰ καὶ πόρρω τοῦ ἡρωϊσμοῦ εὑρίσκεται. Ἐπεὶ δὲ πολλάκις ὁ εἰς τὴν αὐτοχειρίαν πειρασμὸς μέγας ἐστὶ καὶ δεινός, φυλαττέσθω πᾶς τις ἀπὸ παντὸς πράγματος, ὃ καὶ μακρόθεν δύναται παραφέρειν εἰς αὐτήν· ἐπιμελείσθω δὲ ἐν καιρῷ καὶ φίλους ἀγαθοὺς κτᾶσθαι, καὶ συνετοὺς συμβούλους, ἵνα καὶ ὁδηγίαν καὶ παραμυθίαν, ἐν τοῖς πειρασμοῖς παρ' αὐτῶν λαμβάνῃ· καὶ βίου σώφρονος φροντιζέτω, ὃς ἐκ τῆς ἀνυποκρίτου πίστεως, καὶ τῆς εἰλικρινοῦς καὶ θερμῆς πρὸς τὸν Θεὸν ἀγάπης γίνεται, καὶ ὑποθαλπέτω διηνεκῶς τὴν ἐπὶ τὴν αὐτοῦ ἀγαθότητα καὶ πατρικὴν πρόνοιαν σταθερὰν πεποίθησιν. Ἐπιτηρείτω δὲ ἀδιαλείπτως καὶ τὴν ἑαυτοῦ κλίσιν, καὶ τὰς τῶν αἰσθήσεων παθήσεις, ἵνα εἰς μηδὲν ἀθέμιτον ἀποκλίνωσι, μηδ' ἐπιχειρείτω πράγμασι περιττοῖς, καὶ ταραχὴν τῷ πνεύματι ἐπάγουσι, καὶ τὴν εὐθυμίαν ἀφαιροῦσι, καὶ τὴν ζωὴν καταπικραίνουσι, καὶ μισητὴν αὐτὴν ἀπεργαζομένοις, ἀλλ' ὅσον ἔνεστι, φευγέτω ταῦτα· ὅπου δ' ἂν μὴ δυνατὸν ᾖ φυγεῖν, ἐγκαρτερείτω γενναίως· οὕτω γὰρ οὐκ ἄν ποτε εἰς νοῦν ἐπέλθοι ἡ αὐτοχειρία.

§. 65. *Ὅτι ὑπὸ τοῦ θείου νόμου ἡ αὐτοχειρία ἀπαγορεύεται.*

Ἡ τῆς αὐτοχειρίας ἀπαγόρευσις οὐ μόνον τῇ πρὸς τὸν Θεὸν ἡμῶν σχέσει καὶ τῇ πρὸς τὸν πλησίον ἔγκειται, ἀλλὰ δὴ καὶ τῇ τοῦ θείου νόμου ἐντολῇ τῇ λεγούσῃ «οὐ φονεύσεις». Εἰ γὰρ εἰκὼν τοῦ Θεοῦ, καὶ ναὸς καὶ ἁγιαστήριον ὁ ἄνθρωπος, ὁ φθείρων ἄρα τὴν εἰκόνα ταύτην, ἢ ἐν ἑαυτῷ, ἢ καὶ ἐν ἄλλῳ, ἐχθρὸς δείκνυται τῷ Θεῷ, καὶ

Digitized by Google

ἀγνώμων πρὸς τὸν πανάγαθον αὐτὸν εὐεργέτην. Οὕτω φησὶν ὁ μακάριος Παῦλος, » Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; ὅστις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός, ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινες ἐστε ὑμεῖς (α). » Διὰ τοῦτο καὶ μέγιστον πάντων τῶν γινομένων ἁμαρτημάτων πρὸς τὸν Θεὸν καὶ πρὸς τὴν ἀνθρωπότητα λέγεται ἡ αὐτοχειρία. Ἀλλὰ δεῖ κἀνταῦθα ἐξετάζειν καὶ κρίνειν μετὰ προσοχῆς τὰ κατὰ μέρος, τὸν βαθμὸν τῆς συνειδήσεως, τῆς προαιρέσεως τὸν σκοπὸν, καὶ τὰ λοιπὰ, ἐν οἷς ἡ αὐτοχειρία ἐπράχθη. Ἐπεκτείνεται δὲ μάλιστα ἡ ἀπαγόρευσις οὐ μόνον ἐπὶ τὴν βίᾳ καὶ ἐπίτηδες γινομένην αὐτοχειρίαν, ἀλλὰ καὶ ἐπὶ τὸν ἑκούσιον κίνδυνον τῆς ζωῆς καὶ τῆς ὑγιείας καὶ τῆς τοῦ σώματος ἀκροτηριάσεως ἢ κολοβώσεως, ἥπερ ἐκ τῆς ἀκολασίας, ἢ κενῆς περιεργείας, ἢ ἐκ πλεονεξίας ἐπιγίγνεται· ἡ γὰρ ζωὴ καὶ ἡ ὑγίεια καὶ ἡ τοῦ σώματος ἀκεραιότης ὄργανα ὑπάρχουσι τοῦ πνεύματος εἰς τὴν ἐπίδοσιν αὐτοῦ πρὸς τὴν τοῦ κρατίστου τέλους ἐπιτυχίαν. Καί περ οὖν αὐτόχειρες κυρίως λέγοιντ' ἂν οἱ μετὰ γνώμης τὸ ζῆν καταλύοντες, οὐκ εἰσὶ μέν τοι ἀλλότριοι τῆς κατὰ τὴν αὐτοχειρίαν ἁμαρτίας, καὶ οἱ ἐξ ἀπερισκεψίας καὶ ἐλαφρίας ἐπιχειροῦντες πράγμασιν, ἐξ ὧν ἕπεται ἀναγκαίως ἡ τῆς ζωῆς καὶ τῆς ὑγιείας φθορὰ, καὶ ἡ τῶν μελῶν τοῦ σώματος, οἷά εἰσιν ἡ πάλη, ἡ ἀνάβασις, ἡ ἀναῤῥίχησις, ἡ νῆξις, ἡ ἄρσις βάρους τινὸς, καὶ τὰ τοιαῦτα, ἔτι δὲ αἱ ῥιψοκίνδυνοι παιδιαὶ καὶ τὰ ἀθύρματα, ἡ οἰνοφλυγία, ἡ ἀδηφαγία, ἡ τῶν σαρκικῶν ἡδονῶν ἄμετρος ἀπόλαυσις· πλεῖστοι γὰρ ὅσοι ὑπὸ τούτων καὶ πολλῶν ἄλλων διασπῶσι πρὸ ὥρας τὸν τῆς ζωῆς μίτον, ἢ

(α) Α'. Κορ. γ'. 16-17.

Digitized by Google

φθείρονται καὶ ἀνίκανοι πρὸς τὴν πρᾶξιν τοῦ ἀγαθοῦ καθίστανται· διὸ καὶ ὑπεύθυνοί εἰσιν οἱ τοῖς τοιούτοις ἐπιχειροῦντες, καὶ τοσούτῳ μεῖζον, ὅσῳ καὶ ἡ ἀπερισκεψία καὶ ἡ κουφότης, ᾗ πράττουσι τὸ τῇ ζωῇ βλαβερὸν, καὶ τὸ τέλος δὲ, πρὸς ὃ πράττεται, ἀγεννέστερον καὶ ὀλεθριώτερον.

§. 66. *Περὶ τῆς ἀξίας ἐν γένει τοῦ ζῆν.*

Ἐπειδὴ ἡ ζωὴ ἡμῶν τὸ μέσον ἐστὶ, δι' οὗ ἂν τοῦ τέλους ἡμῶν τύχοιμεν, ἀναγκαῖον ἄρα καὶ ὑπάρχειν αὐτὴν, καὶ πρὸς τοῦτο ἀφορᾷν, καὶ χρησίμην εἶναι, καὶ ὡς ἀναγκαίαν τῇ ἐπιτυχίᾳ ταύτῃ τιμᾷν, καὶ ἀντέχεσθαι αὐτῆς ἐπιμελῶς. Ὥστε ἡ τῆς ζωῆς ἀξία οὐκ ἔστιν ἀπόλυτος, ἀλλὰ σχετικὴ μόνη, ὑπόκειται δηλονότι ὡς μέσον τῆς ἠθικῆς ἡμῶν τελειότητος. Εἰ οὖν ἐν τοιούτοις καιροῖς εὑρεθείημεν, ὥστε ἀναγκαζόμεθα δυοῖν θάτερον ἑλέσθαι, ἢ τὴν ζωὴν, ἢ τὴν τῆς ἠθικῆς ἡμῶν τελειότητος ἐπίδοσιν, αἱρετώτερον ὁμολογεῖται τὸ δεύτερον, τὴν δὲ ζωὴν γενναίως παραδοτέον· ἡ γὰρ ἠθικὴ τελειότης, ὡς ἐξομοίωσις πρὸς τὸν Θεὸν, καὶ τελικώτατος τοῦ ἀνθρώπου προορισμὸς, ζητητέα ἐστὶ πρὸ παντὸς ἄλλου παρὰ τοῦ ἀνθρώπου, καὶ εἰς αὐτὴν διὰ παντὸς σπεύδειν ὀφείλει, καὶ οὐδέποτε οὐδαμῶς ἀφαιρεθῆναι ἔξεστιν. Ἐντεῦθεν καὶ ὁ κανὼν, ὡς ἀρχὴ ἡ νόμος ἠθικὸς, « Μηδέποτε ἐξωνεῖσθαι τὴν ζωὴν ἀντὶ τῆς ἠθικῆς τελειότητος, ἀθετοῦντα τὸν ἠθικὸν νόμον· » ὃ δηλοῖ, ὅτι ἐάν τίς ποτε ἐν τοιούτοις καιροῖς εὑρεθῇ, ἐν οἷς, ἵνα τὸ ζῆν διασώσῃ, ἀναγκαῖον διασπάσαι τὴν πρὸς τὸν Θεὸν καὶ τὴν πρὸς τὸ ὁμόφυλον σχέσιν, καὶ προδοῦναι τὴν ἀρετὴν, τότε τῆς ζωῆς μᾶλλον, ἢ τῆς ἀρετῆς καταφρονῆσαι δεῖ. Τότε γὰρ μάλιστα ἰσχύει τὸ

Digitized by Google

κρεῖσσον γενναίως ἀποθνεῖν, ἢ αἰσχρῶς ζῆν· τῇ γὰρ ἀρετῇ μηκέτι λυσιτελοῦσα ἡ ζωὴ πᾶσαν ἀπόλλυσι τὴν ἑαυτῆς ἀξίαν. Περὶ τούτου ἔλεγεν ὁ Σωτὴρ ἡμῶν: « Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτὴν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν (α). » καὶ ἀλλαχοῦ « Τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; (β)» Ἀλλ' ἐρεῖ τις, εἰ ἅπαξ μόνον μιᾷ τινι πράξει τὸν νόμον ἀθετήσαιμι, ἵνα τηρήσω τὸ ζῆν, πόλλ' ἂν ἔτι ἀγαθὰ ἔργα διαπράξαιμι, ἅπερ οὐκ ἂν ἔσοιντο εἰργασμένα, εἰ τὴν ζωὴν προδεδώκοιμι. Ἆρ' οὐκ ἄδικον τοῦτό γε; δοκεῖ τοίνυν μὴ μόνον ἐξεῖναι, ἀλλὰ καὶ χρῆναι τοιαύτην ἅπαξ παρεκτροπὴν ἢ ἀθέτησιν τοῦ νόμου ποιήσασθαι τῶν ἀγαθῶν χάριν, πρὸς ἃ αὖθις τῇ ζωῇ χρήσομαι. Τῷ λόγῳ τούτῳ φανερῶς διαμάχεται καὶ τὸ λογικὸν καὶ ἡ θεία Γραφὴ, ἡ μὲν, λέγουσα, « Μὴ ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθὰ (γ). » Τὸ δὲ, ὅτι περὶ τῆς ἐν τῷ παρόντι ἀπαιτήσεως τοῦ καθήκοντος μόνον ἐσμὲν βέβαιοι, περὶ δὲ τοῦ μέλλοντος ἀγαθοῦ, ὃ ἔσοιτ' ἂν, εἰ οὕτως αἰσχρῶς τὴν ζωὴν τηρήσαιμεν, οὐδαμῶς ἐσμὲν βέβαιοι· ἄδηλον γὰρ ὅλως, εἰ μὴ ἐν παντὶ καιρῷ καὶ ἐν πάσῃ ὥρᾳ ὑπ' ἀδοκήτου συναντήματος ἀφαιρεθείη ἡμῖν αὕτη. Διὰ τοῦτο ἔσται ἡμῖν κανὼν ἀπαράβατος οὗτος. Πράττειν, τό γε νῦν ἔχον, τὸ παρὰ τοῦ καθήκοντος ἀπαιτούμενον, περὶ δὲ τοῦ μέλλοντος τῇ προνοίᾳ μελήσει. Τοῦτο καὶ ὁ λόγος τοῦ Κυρίου ὑπαινίττεται, « Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιο-

(α) Ἰωάν. ιβ', 25. (β) Μαρκ. η'. 36. (γ) Ῥωμ. γ'. 4.

Digitized by Google

σύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ἡμῖν (α). » Ἵνα δὲ μάλιστα πιστοὶ τῷ καθήκοντι μένωμεν, ἀναγκαῖον ὀρθῶς περὶ τῆς παρούσης ζωῆς γινώσκειν, καὶ τὸν ἀπὸ τοῦ θανάτου μετριάζειν φόβον, ὃς οὐδόλως τοῖς πιστοῖς ἁρμόττει. Ἔσται δ' ἡμῖν τοῦτο, ἐὰν τὴν ἀπὸ τῆς πίστεως περὶ αὐτῶν πληροφορίαν ἐπιμελῶς ζητῶμεν.

§. 67. *Ἡ κατὰ τὴν πίστιν ἰδέα τῆς ζωῆς καὶ τοῦ θανάτου.*

Ἡ μὲν παροῦσα ζωὴ, κατὰ τὴν τῆς πίστεως διδασκαλίαν, γυμναστήριόν ἐστι καὶ δοκιμασίας χρόνος βραχὺς, ἐν ᾧ δεῖ ἀναπτυχθῆναι ἡμᾶς καὶ δεῖξαι, εἰ ἄξιοι τοῦ κρείττονος ἀγαθοῦ ἐσμέν· οὕτω λέγει ὁ θεῖος Ἰάκωβος, « Μακάριος ἀνὴρ, ὃς ὑπομένει πειρασμὸν, ὅτι δόκιμος γενόμενος, λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ κύριος τοῖς ἀγαπῶσιν αὐτὸν (β). » Πρὸς δὲ τοῦτο κεῖται πρὸ τῶν ὀφθαλμῶν καὶ πρὸ τῶν χειρῶν αὐτοῦ ἅπας ὁ ὁρατὸς κόσμος, ᾧ παντοίως χρῆσθαι δύναται, ἀλλ' ὅμως οὐκ ἀδιάφορον οὐδ' ἴσον ὑπάρχει τὸ, ὅπως αὐτῷ ἐχρήσατο, ἀλλὰ δεῖ πως χρῆσθαι κατὰ τὴν τοῦ λογικοῦ ὑφήγησιν, καὶ τὴν τοῦ νόμου τοῦ ἐν τῇ καρδίᾳ αὐτοῦ κρείττονι χειρὶ ἐγγεγραμμένου. Εἰ μὲν οὖν τῇ διττῇ ταύτῃ ὑφηγήσει πιστῶς ἕπεται, οὐδόλως παρεκτρεπόμενος, ἢ καὶ παρεκτραπεὶς, σπουδάζει αὐτίκα ἐπανιέναι, καὶ τὸ ἡμαρτημένον ἐπανορθῶσαι, ἄξιος δείκνυται τῆς κρείττονος μερίδος· εἰ δὲ τοὐναντίον, τῇδε κἀκεῖσε ἀμφιῤῥέπων, διὰ παντὸς κατὰ τὰ θελήματα τῆς σαρκὸς πράττει, αὐστηροτέρας δοκιμασίας δείκνυσιν ἑαυτὸν δεόμενον. Οὕτως ἡ παροῦσα ζωὴ ἁπλοῦν φαίνεται γυμναστήριον, καὶ χρόνος δοκιμασίας βραχὺς, διὰ τοῦ-

(α) Ματθ. ς'. 33. (β) Ἰακ. α. 12.

Digitized by Google

το καὶ πρὸς τὸν καιρὸν τῆς γεωργίας καὶ τῆς σπορᾶς παραβάλλεται, καὶ κατὰ τοῦτο λέγει ὁ μακάριος Παῦλος, « Ὁ σπείρων φειδομένως, φειδομένως καὶ θερίσει, καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει (α). » Ὁ δὲ θάνατος, κατὰ τὴν διδασκαλίαν τῆς πίστεως, ἔστι καὶ οὗτος χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, καὶ μετάβασις αὐτῆς, ἢ εἰς τὸν τῆς κρείττονος καὶ μακαριωτέρας μερίδος χῶρον, ἧς ἐδείχθη ἄξιος τῇ δοκιμασίᾳ ἐγχαρτερήσας, ἢ εἰς τὸν τῆς αὐστηροτέρας δοκιμασίας πρὸς αἰωνίαν κόλασιν αὐτῆς. Ἡ δὲ κρείττων μερὶς ἡ μετὰ θάνατον ἀποκειμένη τῷ πνεύματι, ὑπάρχει γαλήνη ἀτάραχος εἰς αἰῶνας, καὶ ἀμοιβὴ τελεία πάσης τῆς ἐν τῷ παρόντι βίῳ δοκιμασίας καὶ θλίψεως, καὶ παντὸς τοῦ ἀγῶνος, ὃν ὑπέστη. Αὕτη ἐστὶν ἡ μακαριότης, ἐν ᾗ χαίροντες καὶ ἀγαλλόμενοι ἀγαλλίασιν θείαν καὶ ἄῤῥητον, θερίσομεν τὸ ἐν θλίψει καὶ ἐν δάκρυσι καὶ στεναγμοῖς σπαρὲν ὑφ' ἡμῶν ἐν τῷ παρόντι βίῳ· μακαριότης, ἐν ᾗ προσπελάσομεν τῷ Θεῷ τῷ αἰωνίῳ πατρὶ ἡμῶν καὶ δημιουργῷ, ἀφικόμενοι εἰς τὸ ἡμέτερον τέρμα, καὶ τοῖς μακαρίοις πνεύμασι πάντων τῶν ἀπ' αἰῶνος ἐν τῇ εὐσεβείᾳ καὶ τῇ δικαιοσύνῃ καὶ τῇ χρηστότητι τοῦ βίου διαλαμψάντων. Τὸ γενέσθαι τοίνυν ἡμᾶς τῆς κρείττονος ταύτης μερίδος ἀξίους, τοῦτό ἐστι τὸ θέλημα τοῦ Θεοῦ, ὡς ἅπασα ἡ περὶ ἡμᾶς αὐτοῦ οἰκονομία τρανώτατα μαρτυρεῖ, καὶ ὁ θεῖος Παῦλος κηρύττει, « Τοῦτο γάρ, φησι, καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν (β). » Τούθ' ἕνεκα ὀλίγον καὶ πρὸ τοῦ σωτηρίου πάθους ἔλεγε τοῖς ἑαυτοῦ μαθηταῖς ὁ Κύριος « Μὴ ταρασσέσθω ὑ-

(α) Β'. Κορ. θ'. 6. (β) Α'. Τιμ. β'. 4.

Digitized by Google

μῶν ἡ καρδία, μηδὲ δειλιάτω, πιστεύετε εἰς τὸν Θεὸν καὶ εἰς ἐμὲ πιστεύετε, ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν, εἰ δὲ μὴ, εἶπον ἂν ὑμῖν, πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν. κ.τ.λ. (α). » Εἰ οὖν ἐναργῶς κατανοήσαιμεν, τί ἐστιν ἡμῖν ἡ παροῦσα ζωὴ, καὶ τί ἂν ἐσοιτο ἡ μέλλουσα, πῶς ἂν ἔτι τὸν θάνατον ὀῤῥωδήσαιμεν; μᾶλλον δὲ, πῶς οὐκ ἂν αὐτὸν ὡς φίλον ἢ ἀγαθὸν ἄγγελον λογισαίμεθα, ἐν καλῷ παριστάμενον, καὶ εἰς τὸν Θεὸν καλοῦντα ἡμᾶς, καὶ ἐπανάγοντα εἰς τὴν ἀρχαίαν ἡμῶν πατρίδα; Τοσοῦτον δὲ μόνον ἀναγκαῖον, ἵνα τὸν βίον οὕτω διάγωμεν, ὥστε ἀγαθὰ μόνον ἀεὶ τὸν θάνατον ἐπιόντα ἀναγγέλλειν. Ἐν τοιαύτῃ οὖν πληροφορίᾳ γενομένοις, πῶς ἂν ἔτι ἐπέλθοι τὸ βουληθῆναι φαύλῃ τινὶ πράξει, ἡ ἀδικίᾳ, ἢ παραβάσει τοῦ καθήκοντος ἀπαλλαγῆναι τοῦ θανάτου; ἥκιστα δὲ πρὸς ἀγεννέστερα τέλη πράττειν τι, ὅπερ τῇ γενέσει ἡμῶν καὶ τῇ ἀξίᾳ καὶ τῇ κλήσει ἀπᾴδει.

§. 68. *Περὶ τοῦ θετικοῦ καθήκοντος τοῦ τὴν ζωὴν ὑπὲρ τοῦ ἀγαθοῦ διδόναι.*

Ὅτι μὲν, ἀνάγκης ἐπικειμένης δι' αἰσχρᾶς καὶ ἀθεμίτου πράξεως ἐξαγοράσαι τὸ ζῆν, παραδιδόναι αὐτὸ μᾶλλον δεῖ, ἢ τηρῆσαι, εἴρηται. Ἐὰν δὲ, θετικοῦ καθήκοντος ἡ ἐκπλήρωσις οὕτω πολλοῖς, ἤ τισι τῶν πλησίον ἡμῶν διαφέρῃ, ὥστε καὶ κινδυνεύσειεν ἂν ἡ ζωὴ καὶ ἡ ἀσφάλεια αὐτῶν, εἰ μή τις καὶ μετὰ κινδύνου τῆς ἑαυτοῦ ζωῆς φθάσας βοηθήσειε καὶ διασώσειεν αὐτοὺς, τότε ὁμολογουμένως ἀπαιτεῖ τὸ καθῆκον, ἵνα τις τὴν ζωὴν αὐτοῦ θῇ ὑπὲρ τῆς τῶν πολλῶν σωτηρίας· Οἷον ἁ, ὅταν

(α) Ἰωάν. ιδ'. 1-3

Digitized by Google

ἡ πατρὶς καὶ ἡ ἐκκλησία εἰς τοῦτο κινδύνου τε καὶ ἀμηχανίας ἥκῃ, ὥστε καὶ ἐρημωθῆναι, ἢ γοῦν δουλωθῆναι ἀπειλοῦνται, εἰ μήτις διακινδυνεύων τὸ ζῆν, τὴν προστασίαν αὐτῶν ἀναδέξαιτο. 6′, Ἐν πυρκαϊᾷ, ἢ πλημμύρᾳ, ἢ λοιμῷ, ἢ ἄλλοις τοιούτοις κοινοῖς δυστυχήμασιν, ἢ πόλεων καὶ χωρῶν ὅλων, ἤ τινων τῶν τῆς χώρας καὶ τῆς πόλεως. Ἐν γὰρ πᾶσι τοῖς τοιούτοις ἀνάγκη καὶ κινδυνεύοντα τὸ ζῆν βοηθεῖν· καθῆκον γὰρ τὴν ἑνὸς ζωὴν ὑπὲρ τῆς τῶν πολλῶν σωτηρίας κινδυνεῦσαι· καὶ τοῦτο ἔνθα ἂν δέῃ ἐπικουρίας τε καὶ βοηθείας τῆς ταχίστης. Μὴ ἐπείγοντος δὲ μήτε ἰδίᾳ μήτε δημοσίᾳ, ἢ καὶ τεταγμένων ἰδίως τινῶν ἐν ταῖς τοιαύταις ἀνάγκαις βοηθεῖν, αὐτοῖς μὲν καθήκει ἀφειδῶς τε καὶ ἀνυπερθέτως βοηθεῖν ὁπωσδήποτε, τοῖς δὲ λοιποῖς, ὅπου μάλιστα ὁ ζωὴ τὸ κινδυνευόμενόν ἐστιν, οὐ καθήκει τὴν ἰδίαν ζωὴν διακινδυνεύειν. Τῷ μὲν οὖν ἀγνοοῦντι τὴν τῆς ψυχῆς ἀθανασίαν, καὶ τὸ ὕψος τῆς κλήσεως, καὶ τὸ ἔσχατον τέλος, καὶ τὴν μακαριότητα τὴν ἐκδεχομένην αὐτὸν πέραν τοῦ τάφου, βαρὺ τοῦτο φαίνεται καὶ παρὰ φύσιν· τῷ δὲ καλῶς περὶ πάντων τούτων διδαχθέντι οὐ τοιοῦτο δοκεῖ, ἀλλὰ προθύμως καὶ τὸν τῆς ζωῆς κίνδυνον ἀναδέχεται, ὅπως τοῖς ἄλλοις ἡ σωτηρία γένηται. Οἶδε γὰρ καὶ πεπίστευκεν, ὅτι τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας τιθεὶς, ἐξαγοράζει διὰ τούτου τὴν ὄντως ζωὴν τῶν δικαίων. Εἶτα κἀκεῖνο ἐνθυμητέον, ὅτι τὸ τιθέναι τὴν ψυχὴν ὑπὲρ τῶν ἄλλων, οὐκ ἀεὶ τὴν ὄντως παράδοσιν καὶ καταστροφὴν τῆς ζωῆς σημαίνει, ἀλλ᾽ ὅτι οὐ θέμις, φειδόμενον τῆς ζωῆς, ἀπολείπεσθαι τοῦ καθήκοντος, ἀλλὰ καὶ τοῦ θανάτου καταφρονοῦντα, αὐτὸ πάντως ἐκπληροῦν. Οὐ γὰρ δὴ συμβαίνει ἀεὶ καὶ ἔργῳ τὴν ζωὴν καταλύειν, ὁσάκις ἄν τις αὐτὴν ἐκ τοῦ καθήκοντος διακινδυνεύσειεν, οὐδ᾽ ἅπαξ μόλις, εἰ

Digitized by Google

καὶ ἑκατοντάκις κινδυνεύσειεν· ἀλλ' ἐνεδέχετο καὶ αὐτίκα κατὰ πρῶτον συμβῆναι, καὶ γενόμενον, εὖ ἂν ἔχοι· προσφέρεται γὰρ οὕτω θυσία τῷ ἰδίῳ καθήκοντι καὶ τῇ κλήσει· καὶ μὴ γενόμενον, πάλιν ἡ προαίρεσις ἴση καὶ τῇ πράξει λογίζεται· εἰ γὰρ καὶ ζῇ ἔτι, ἀλλ' οὖν ὑπὲρ τῆς κακῶς ἐχούσης ἀνθρωπότητος ἑκουσίως προσηνέχθη. Οὕτω προσφέρονται καθ' ἑκάστην εἰς θυσίαν οἱ ἰατροί, οἱ πνευματικοί, καὶ ἱερεῖς, οἱ νοσοκόμοι, καὶ οἱ στρατιῶται, ἐὰν μὴ μόνον ἕνεκεν τῆς εὐτελοῦς ἀντιμισθίας ταῦτα πράττωσιν, ἀλλ' ἐξ ἀγαθῆς προαιρέσεως πιστοὶ διαμένωσιν, ἐν ᾧ ἕκαστος ἐκλήθη, καὶ ἀκριβῶς τὸ καθῆκον ἐπιτελῶσι, κἂν κίνδυνος τῇ ζωῇ ἐπικέηται, καί τοι πολλάκις αὐτὴν διασώζουσιν. Ὁ δ' ἐν τοῖς τοιούτοις, φειδοῖ τῇ ἑαυτοῦ ἀπολειπόμενος τοῦ καθήκοντος, οὐκ ἀνεύθυνος ἔσται, καὶ ἡ εὐθύνη ἀνάλογος γίνεται τῷ μεγέθει καὶ τῇ σπουδαιότητι τοῦ παραλειπομένου καθήκοντος.

§. 69. *Περὶ τοῦ θανατιᾶν.*

Πολλάκις φαίνονταί τινες θανατιῶντες, οἷον ὁ Δαυὶδ ὅτε ἐθρηνώδει « Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη! » Ἐξάγαγε, ἔλεγε πρὸς τὸν Θεὸν, ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου! Ὁ Ἰὼβ, « ἵνα τί, λέγων, ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον, ὀφθαλμὸς δέ με οὐκ εἶδε; διατί γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην (α);» Ὁ δὲ μακάριος Παῦλός φησι, « Ἐμοὶ τὸ ζῆν Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος. Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι, οὐ γνωρίζω; συνέχομαι γὰρ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι· πολλῷ γὰρ

(α) Ἰωβ. ι. 18.

Digitized by Google

μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς (α). » Τί οὖν ἡ τοιαύτη ἐπιθυμία δοκεῖ; Κατὰ τὴν τῆς πίστεως διδασκαλίαν, εἰ μὲν ἐκ κόρου γίνεται τοῦ ζῆν, ἢ ἐξ ἀθυμίας καὶ ἀκηδίας, ἢ ἐκ τῆς ἀνάγκης τοῦ διάγειν ἐν κόποις καὶ μόχθοις καὶ ἐν θλίψεσι καθ' ἑκάστην, ἢ ἐκ τοῦ μηκέτι τῶν ἡδονῶν ἀπολαύειν δύνασθαι, ὅσον ἡ διεφθαρμένη σὰρξ ἐφίεται, κακοήθης δήπου καὶ παράνομός ἐστιν ἡ τοιαύτη ἐπιθυμία, καί τοσούτῳ μᾶλλον, ὅσῳ διὰ τὴν μετ' αὐτῆς ὑπάρχουσαν ἀθυμίαν καὶ δυσαρέσκειαν, κωλύει τὴν τῶν καθηκόντων ἐκτέλεσιν. Εἰ δ' ἐκ τοῦ εὐσεβοῦς τε καὶ ἠθικωτάτου ἐπαισθήματος, καὶ τῆς πρὸς τὸν Θεὸν σπουδῆς πρόεισιν, ἵνα μᾶλλον ἐν ἀπολαύσει αὐτοῦ γένηται, ἢ τὴν προθυμίαν μόνον δηλοῖ τοῦ καταλιπεῖν τὸν βίον, ὅταν αὐτὸς ὁ Θεὸς εὐδοκῇ, ὀρθὴ τότε καὶ ἠθικωτάτη ἡ τοιαύτη ἐπιθυμία. Ὁ γὰρ ὄντως ἐνάρετος, πρόθυμος ἐν παντὶ καιρῷ δείκνυται τὸ καθῆκον ποιεῖν εἴτε πρὸς τὴν ζωὴν, εἴτε πρὸς τὸν θάνατον. Ἵνα τοίνυν ὀρθῶς περὶ αὐτῆς κρίνωμεν, θεωρητέον τὸ αἴτιον, καὶ τὸ τέλος τῆς ἐπιθυμίας. Τὸ δ' αὐτὸ καὶ περὶ τῆς ἐπιθυμίας τοῦ ζῆν ἰσχύει· εἰ μὲν γὰρ καὶ αὕτη ἐκ λόγου καὶ πρὸς τέλος ἀγαθὸν ὑπάρχει, ἀγαθή ἐστι, κακὴ δὲ, εἰ ἐκ κακοῦ καὶ πρὸς κακόν.

§. 70. *Περὶ τῆς ἀμύνης.*

Πολλαχῶς ἐνδέχεται τὴν ζωὴν κινδύνοις περιπίπτειν νῦν μὲν ὑπὸ φυσικῶς, νῦν δὲ καὶ ὑπὸ προαιρετικῶς ἐνεργουσῶν δυνάμεων· κατὰ πάντα δὲ χρόνον καθῆκον τοῦ ἀνθρώπου ὁμολογεῖται τὸ, ὅσον ἐνδέχεται, δικαίως τε

(α) Φιλιπ. ά. 21—24.

Digitized by Google

καὶ νομίμως ἀγωνίζεσθαι, καὶ ὑπὲρ αὐτῆς τὸν ἀδικεῖν βουλόμενον ἀμύνεσθαι. Ἐὰν οὖν ἀδίκως ἀποκτεῖναί μέ τις ζητῇ, ἐγὼ δὲ οὐκ ἂν ἄλλως δυνηθείην τὸν κίνδυνον διαφυγεῖν, ἢ πλήξας καὶ καταβαλὼν αὐτὸν, τί μοι καθήκει ἐν τῷ τοιούτῳ ποιεῖν; Πότερον, παραδοῦναι κἀνταῦθα τὴν ζωὴν, ἢ σῶσαι, ἀποκτείναντα τὸν πολέμιον; Περὶ τούτου καὶ αὖθίς φαμεν, ὅτι τὸ καθῆκον τοῦ μὴ φονεῦσαί τινα, εἰ καὶ ἀποφατικὸν, οὐχ ὑπάρχει ἀπόλυτον, ἀλλ' ἔστιν ὅτε καὶ κτεῖναι οὐκ ἀθέμιτον, οἷον ὅταν πρὸς τοῖς ἄλλοις ἀδίκως τε καὶ βιαίως ἡ ζωὴ προσβάλληται, καὶ οὐκ ἂν ἄλλως διασωθείη, ἢ καταλυθείσης τῆς τοῦ προσβάλλοντος ζωῆς· πλὴν ἀλλὰ τοῖς ἐπιεικεστέροις τῶν μέσων χρῆσθαι δεῖ ἐν πρώτοις εἰς ἄμυναν, εἰ ἐξείη· εἰ γάρ τις τῇ φυγῇ, ἢ τῇ ἐπικλήσει ἄλλων ἀθρώπων εἰς βοήθειαν, ἢ τῇ ἀφοπλίσει τοῦ ἀντιπάλου διαφυγεῖν τὸν θάνατον δύναιτο, τοῦτο ἄριστόν τε καὶ ἀσφαλέστατον καὶ συντομώτατον. Ἀδυνάτου δὲ τούτου ὄντος, ἀνάγκη τότε καὶ ἐπὶ τὰ ἀπηνέστερα χωρεῖν, αἰκίζοντα, ἢ πηροῦντα, ἢ καὶ ὅλως ἀποκτείνοντα τὸν ἀδίκων χειρῶν ἄρξαντα καὶ βιαζόμενον. Ἐφ' ὅσον οὖν ἐνδέχεται, φειστέον τῆς τοῦ βιάζοντος ζωῆς, καὶ τὸν ἀμυνόμενον οὐδέποτε δεῖ τὸν θάνατον τοῦ ἀδικοῦντος προτίθεσθαι, ἀλλὰ τὴν ἑαυτοῦ σωτηρίαν μόνην. Οὕτω γὰρ ἐπιχειρῶν, καὶ τοῦ κακούργου εἰς τοῦτο ἥκοντος, ὥστε μηδεμίαν λείπεσθαι ἐλπίδα τοῦ σωθῆναι, ἀλλ' ἀνάγκη πᾶσα, ἢ θανεῖν αὐτὸν, ἢ τὸν ἀδικοῦντα κτεῖναι, ἀθῶος ἔσται ἀπὸ τοῦ αἵματος αὐτοῦ, οὐ μόνον ἐπὶ τῶν ἄλλων δικαστῶν, ἀλλὰ καὶ ἐπὶ τῆς ἑαυτοῦ συνειδήσεως, καὶ ἐπὶ τοῦ θείου δικασηρίου. Οὐδὲν γὰρ ἄλλο ἐν τῷ τοιούτῳ πράττει, ἢ ὃ ὀφείλει πράττειν, συνεχόμενος ὑπὸ τῆς ἀνάγκης, ἵνα τὴν ἑαυτοῦ διατηρήσῃ ζωὴν, ἀδίκως τε καὶ ἀνόμως κινδυνεύουσαν. Καὶ αὐτὸ δὲ τὸ φυσικὸν δίκαιον καὶ ἡ φυσικὴ ἐπιείκεια

Digitized by Google

τοῦτο ἀπαιτοῦσιν, ἵνα ὁ ἀδίκως ἐπιχειρῶν καὶ βιαζόμενος μᾶλλον ἀπολέσῃ τὸ ζῆν, ἢ ὁ ἀθῶος καὶ μηδὲν ἀδικῶν, ὅπου οὐκ ἔνι αἵρεσις ἑτέρα ἢ τὸν ἕτερον θανεῖν. Est haec non scripta, sed nata lex, lex quam non didicimus, sed ex natura ipsa arripuimus, expressimus. φησιν ὁ Κικέρων (α). Ἀλλά φασιν, ὅτι ὁ Χριστὸς φαίνεται ἀποδοκιμάζων ὅλως καὶ μὴ συγχωρῶν οὐδαμῶς τὴν ἄμυναν. « Ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος. Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅς τις σε ῥαπίσει ἐπὶ τὴν δεξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην κ. τ. λ. » (β). Οἱ λόγοι οὗτοι φαίνονται μὲν ἀπαγορεύοντες πᾶσαν βιαίαν ἀντίστασιν πρὸς τοὺς ὑβρίζοντας, ἀλλὰ κυρίως ἐν αὐτοῖς οὐχ ἡ ἄμυνα, ἀλλ' ἡ αὐτοδικία κωλύεται, καὶ ἡ ταυτοπάθεια, ἓν ᾗ βούλεταί τις τὰ αὐτὰ ἀποδοῦναι τῷ βιαζομένῳ καὶ κακῶς ποιήσαντι, ὅπως καὶ αὐτῷ τὴν αὐτὴν ὀδύνην τε καὶ ζημίαν ἐμποιήσῃ. Τοῦτο ἐκ τοῦ ὅλου λόγου τοῦ Κυρίου κατανοεῖται. Ἐν πολιτείᾳ γὰρ εὐνομουμένῃ, πολλαχῶς δύναταί τις, ἀδικηθείς, ἢ ζημιωθείς, δικαιωθῆναί τε καὶ ἀποζημιωθῆναι, μηδεμιᾶς αὐτοδικίας δεόμενος; μηδὲ αἰτεῖν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, μηδὲ τῷ ἀδικοῦντι ἀνθίστασθαι, καὶ μάλιστα, ἐπειδὰν γνωστὴ ἡ μοχθηρία αὐτοῦ ᾖ. Ἐν αὐτῇ γὰρ πρόχειρος ἡ ἀρχὴ, εἰς ἣν καταφυγεῖν χρὴ καὶ δικαιωθῆναι δι' αὐτῆς. Διαφέρει δὲ ὅλως, ὅταν ἡ ζωὴ κινδυνεύῃ· ἀπολεσθείσης γὰρ, οὐκ ἔτι δύναται παρὰ τῆς ἀρχῆς βοήθειαν αἰτεῖν, ἢ τὸ δίκαιον, ἢ ἀποζημίωσιν, διὸ καὶ ἐν τῷ τοιούτῳ αὐτόν τινα χρὴ, ὡς ἂν οἷός τε ᾖ, σώζεσθαι.

Ἀλλὰ καὶ ὁ ἀδίκως ἐπιχειρῶν, εἴποι ἄν τις, εἰς φα-

(α) Orat. pro Milone (β) Matθ. ε. 38—39

Digitized by Google

νερὸν κίνδυνον αἰωνίως ἀπολέσθαι καθίσταται, εἰ ἐν τῇ πάλῃ κτάνοιμι αὐτόν. Οὐκ ἄρα χρὴ διὰ τὸ φιλάδελφον, ἐλέσθαι μᾶλλον θανεῖν, ἢ τοιαύτης αὐτῷ ζημίας, οἷα ἡ αἰώνιος κόλασις, αἴτιον γενέσθαι με; καὶ ταῦτα εἰ ἐμαυτῷ σύνοιδα τὰ κατ' ἐμὲ καλῶς ἔχοντα; Ὡς πολλὴν τὴν ὑπόκρισιν ἔχει ἡ ἔνστασις αὕτη. Αὐτὸς γὰρ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λέγει· « Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ (α). » Ἴσως που ἂν εἴη φρόνιμον τοιαῦτα νεανιεύσασθαι, ἀλλ' οὐκ ἀεί, οὐδὲ παντοχοῦ. Τί γὰρ ἂν τοῦτο πρὸς τὴν κοινὴν ἀσφάλειαν λυσιτελέσειεν; ἢ τί πρὸς τὴν ζωὴν καὶ τὴν περιουσίαν τῶν πλησίον ἡμῶν, εἰ οὕτως οἱ βίᾳ καὶ δυναστείᾳ τοῖς ἄλλοις ἐπιχειροῦντες, βοηθοῖντο, καὶ θυσίαις τοιαύταις οἱονεὶ τιμῷντο; Ἆρ' οὐκ ἔστι τοῦτο βοηθεῖν καὶ ἀμύνειν τοῖς πονηροῖς, καὶ ἐνθαρρύνειν αὐτοὺς, ἵνα πλείω καὶ μείζω ἀδικῶσιν; Εἶτα δὲ, καὶ πῶς ἄν τις ἀσφαλὴς οὕτως εἴη, ἢ περὶ τῆς ἑαυτοῦ διαθέσεως, ἢ ὅτι ὁ πονηρὸς μετὰ τὸ κακούργημα μεταμεληθήσεται, καὶ διορθωθήσεται; Τοὐναντίον γὰρ ἡ πεῖρα διδάσκει, ὅτι οἱ ἅπαξ εἰς τοῦτο κακίας τε καὶ μοχθηρίας ἀφικόμενοι, οὐκ ἔτι παύονται, πρὶν ἄν τις αὐτοὺς ἐκβάλῃ τοῦ ζῆν. Τούτων οὖν οὕτως ἐχόντων, καὶ τοσαῦτα τῆς τῶν πονηρῶν φειδοῦς συνεπαγομένης κακὰ, ἀκατανόητον δοκεῖ, πῶς ἂν ἡ φιλαδελφία ὑπαγορεύοι τιθέναι τὴν ζωὴν ὑπὲρ τῶν τοιούτων ἑκουσίως τε καὶ χωρὶς ἀντιστάσεως, μήτι γε δὴ καὶ ὡς ὀφειλὴν αὐτὸ ἐπιβάλλοι. Χωρὶς δὲ τούτων καὶ ἡ βιαία ἀναίρεσις ἡμῶν, προφανὴς πάντως ἀθέτησις, μᾶλλον δὲ, καὶ καταπάτησις ἂν εἴη τοῦ ἠθικοῦ νόμου, ἣν ὀφείλομεν κωλύειν εἰς δύναμιν, καὶ μὴ συγχωρεῖν οὕτω

(α) Ἰωάν. ιε. 13.

Digitized by Google

γίνεσθαι. Ἐκ τούτων οὖν δῆλον, ὅτι οὐ μόνον θεμιτὸν, ἀλλὰ δὴ καὶ καθῆκον πολλάκις ἡ ἄμυνα.

§. 71. *Ὅτι καθῆκον τὸ τῆς ὑγιείας καὶ τῆς ἀκεραιότητος τοῦ σώματος ἐπιμελεῖσθαι.*

Ὀργάνου ὄντος, ὡς εἴρηται, τῷ πνεύματι τοῦ σώματος, ἐκ τῆς αὐτοῦ ὑγιείας τε καὶ ἀκεραιότητος ἡ τελεία τοῦ πνεύματος ἐνέργεια ἤρτηται, προαγομένη μᾶλλον, ἢ καὶ κωλυομένη ὑπὸ τῆς κατ' αὐτὸ διαθέσεως. Ἀκέραιον μὲν γὰρ, καὶ ἐν ἀκμῇ τῆς ἰσχύος αὐτοῦ διατηρούμενον, καὶ τῇ ἀσκήσει γεγυμνασμένον τὸ σῶμα, καὶ εὔκαμπτον, πολλοῖς ἔργοις ἐπιτήδειον ὑπάρχει, οἷς τὸ νοσηρὸν καὶ ἀνάπηρον, ἢ ὑπὸ τῆς τρυφῆς ἐκτεθηλυμένον, ἀνεπιτήδειον ὅλως εὑρίσκεται. Διὰ τοῦτο ἄρα ἐπιμελητέον, ὅσον ἐνδέχεται, τῆς ὑγιείας καὶ τῆς ἀκεραιότητος καὶ τῆς ἰσχύος αὐτοῦ, ὡς μέσων καὶ τούτων πρὸς τὴν ἠθικὴν ἡμῶν τελειότητα, πρὸς ἣν πάντα τὰ κατὰ τὸν ἄνθρωπον δεῖ τείνειν. Ὅλος γὰρ ὁ ἄνθρωπος, οἷός ἐστι, καὶ πνεῦμα καὶ σῶμα, πρὸς τὴν τοῦ Θεοῦ ὁμοίωσιν ἐκλήθη πλασθείς. Διὸ καὶ τότε λέγεται ὀρθῶς ἐπιμελεῖσθαι τοῦ σώματος, καὶ τῶν αὐτοῦ δυνάμεων, ὅταν πρὸς τὸ ὡρισμένον τέλος ὄργανον αὐτὸ παρέχῃ ἐπιτήδειον, καὶ πρὸς αὐτὸ χρῆται. Πρῶτον μὲν οὖν φυλακτέον, ὅσον οἷόν τε, ἀπὸ πάντων, ὅσα ἂν εἴη ἢ γένοιτο τῇ τοῦ σώματος ὑγιείᾳ καὶ τῇ ἰσχύϊ βλαβερά. Εἶτα δὲ καὶ πριστέον ἐπιμελῶς πάντα τὰ τούτοις ἐπιτήδεια. Τελευταῖον δὲ, εἴ ποτέ πως βλαβείη, ἐπιμελητέον περὶ τῆς ταχίστης αὐτοῦ ἐπανορθώσεώς τε καὶ ἀναῤῥώσεως, μηδεμιᾶς φειδομένους δαπάνης. * Πρὸς

* Σημ. Valetudo sustentatur notitia sui corporis, et observatione, quae res aut prodesse soleant, aut obesse, et continentia in victu omni atque cultu corporis tuendi causa, et praetermittendis voluptatibus, postremo arte eorum, quorum ad scientiam haec pertinent. Cicero de offic. L. II. C. 24.

Digitized by Google

δὲ ταῦτα ἀφεκτέον ἐπιμελῶς πρῶτον, πάντων τῶν τὴν ὑγίειαν καὶ τὴν εὐεξίαν τοῦ σώματος λυμαινομένων. Τοιαῦτα δ' εἰσὶ ἁ, ἡ ἐξ ὀλιγωρίας ῥᾳθυμία· ἐκ γὰρ ταύτης γίνεται καὶ ἡ τῆς ὑγιείας ὀλιγωρία, καὶ ἐν τῷ πορίζεσθαι τὰ τῇ ὑγιείᾳ ἐπιτήδεια κατάχρησις, καὶ πολλὰ τολμηρὰ ἐπιχειρήματα, ὑφ' ὧν πολλάκις ὑποσκάπτεται, ἢ καὶ κατὰ κράτος καταλύεται ἡ ὑγίεια· β', ἡ μαλθακότης καὶ ἐκθήλυνσις ἡ ἐκ τῆς ἄγαν φιλοζωίας πᾶσαν τὴν ἐκ τοῦ καιροῦ, ἢ τοῦ ἔργου, ἢ οἱουδήποτε ἀγῶνος ταλαιπωρίαν φεύγουσα· γ', αἱ σφοδραὶ παθήσεις, ἐξαιρέτως δὲ ἡ τῆς λύπης, τοῦ φθόνου, τοῦ θυμοῦ, τῆς φιλαργυρίας, τῆς ἐναγωνίου φροντίδος καὶ μερίμνης, κ. τ. λ. « Ζῆλος καὶ θυμὸς ἐλαττοῦσιν ἡμέρας, καὶ πρὸ καιροῦ γῆρας ἄγει μέριμνα » (α)· δ', ἀκράτεια περὶ τὸ ἐσθίειν καὶ πίνειν· « Ὑγίεια γὰρ ψυχῆς καὶ σώματος ποτὸν μέτριον. Μὴ ἀπληστεύου ἐν πάσῃ τρυφῇ, καὶ μὴ ἐκχυθῇς ἐπὶ ἐδεσμάτων. Ἐν πολλοῖς γὰρ βρώμασιν ἔσται πόνος, καὶ ἡ ἀπληστία ἐγγιεῖ ἕως χολέρας. Δι' ἀπληστίαν πολλοὶ ἐτελεύτησαν, ὁ δὲ προσέχων προσθήσει ζωήν » (β)· ε', ἡ ἀσέλγεια καὶ πᾶσα ἀκαθαρσία, αἵ καὶ σώματα καὶ ψυχὰς ἀπώλεσαν· ς', ἡ ἀργία καὶ ἡ ὀκνηρία· ζ', ἀλλὰ καὶ πᾶσα διὰ βιαίας καὶ ἐπιμόνου ἐργασίας, καὶ διὰ μακρᾶς ἀγρυπνίας ἢ νηστείας μακρᾶς, καὶ διὰ παντὸς εἴδους ὑπερβολῆς, ἐπὶ πολὺ καὶ ἀδιαλείπτως γινομένης, ἐξάντλησις τῶν σωματικῶν δυνάμεων. Ἀπὸ πάντων οὖν τούτων φυλακτέον, ὡς, κατὰ τὸ μᾶλλον, ἢ ἧττον, τῇ ὑγιείᾳ καὶ τῇ εὐεξίᾳ τοῦ σώματος βλαβερῶν. Χρηστέον δὲ τοῖς ταύτῃ ἐπιτηδείοις, οἷά εἰσι, ἁ, περιστολὴ τῶν σφοδρῶν παθήσεων, καὶ μάλιστα τῶν φύσει τὴν ὑγίειαν ἐπηρεαζουσῶν· β',

(α) Σειράχ. λ'. 24. (β) Σειραχ. λζ'. 31.

Digitized by Google

μετριότης τῆς χαρᾶς καὶ τῆς λύπης, καὶ ἐπὶ ταῖς εὐτυχίαις καὶ ἐπὶ ταῖς δυστυχίαις, ἡ ἐκ τῆς πεποιθήσεως ἐπὶ τὴν θείαν πρόνοιαν, καὶ ἐκ τῆς ἀγαθῆς συνειδήσεως γινομένη· γ', τήρησις τῶν διαιτητικῶν κανόνων κατὰ τὴν τοῦ σώματος ἐξιδιασμένην χρᾶσιν· δ', ἄσκησις τοῦ σώματος συνεχὴς διὰ τῆς ἐργασίας, καὶ τῆς ἐν ταῖς τοῦ βίου δυσχερείαις καρτερίας. Ταῦτά εἰσι τὰ κυριώτερα τῶν τὴν ὑγίειαν καὶ τὴν εὐεξίαν τοῦ σώματος διατηρούντων· εἰσὶ δ' ἴσως καὶ ἕτερα παρὰ ταῦτα πλείω, ἃ οὐ χαλεπῶς τις εὑρήσει, προσέχων τῇ ἑαυτοῦ φύσει, καὶ δοκιμάζων, τί τὸ χρήσιμον ἢ τὸ βλαβερόν. « Τέκνον ! φησὶν ὁ Σειρὰχ, ἐν τῇ ζωῇ σου πείρασον τὴν ψυχήν σου, καὶ ἴδε τί πονηρὸν αὐτῇ, καὶ μὴ δῷς αὐτῇ. Οὐ γὰρ πάντα πᾶσι συμφέρει, καὶ οὐ πᾶσα ψυχὴ ἐν παντὶ εὐδοκεῖ » (α). Ὁ δὲ μακάριος Πέτρος περιέχει πάντα ἐν κεφαλαίῳ οὕτως· « Ὁ θέλων ζωὴν ἀγαπᾷν, καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον. Ἐκκλινάτω ἀπὸ κακοῦ, καὶ ποιησάτω ἀγαθὸν, ζητησάτω εἰρήνην, καὶ διωξάτω αὐτὴν κ. τ. λ.(β) » « Ὑγίεια καὶ εὐεξία βέλτιον παντὸς χρυσίου, καὶ σῶμα εὔρωστον, ἢ ὄλβος ἀμέτρητος. Οὐκ ἔστι πλοῦτος βελτίων ὑγιείας σώματος » (γ).

§. 72. *Περὶ τῆς ἐν ἀσθενείᾳ θεραπείας*

Συμβαίνει πολλάκις, νῦν μὲν ὑπὸ νόσου, νῦν δὲ ὑπ' ἄλλης αἰτίας, τὴν τοῦ σώματος εὐεξίαν καταλύεσθαι. Οὐ χρὴ τοίνυν ἐν τοῖς τοιούτοις ἀμεριμνᾷν, ἀλλ' ἕως ἂν ἐλπὶς βοηθείας λείπηται, βοηθεῖν τῷ σώματι, καὶ

(α) Σειρ. λζ'. 27. (β) Α', ἐπιστ. γ'. 10—12. (γ) Σειραχ. λ'. 15, 16.

Digitized by Google

τὴν παρὰ τῶν ἄλλων ἐπικαλεῖσθαι βοήθειαν. Πρῶτον μὲν οὖν τῇ συμβουλῇ ἰατροῦ ἐμπείρου χρησόμεθα, ἀκριβῶς τὰ παρ' αὐτοῦ παραγγελλόμενα, κἂν αὐστηρὰ ὦσιν, ἢ ὀχληρὰ τῇ αἰσθήσει, τηροῦντες· εἶτα δὲ οὐδέποτε ἀπείροις καὶ ἀμαθέσι πιστεύσομεν ἰατροῖς, τοῖς προθύμως ἔχουσι παρέχειν φάρμακα καὶ παντοῖα ἰάματα, ὅπου ἂν ἐλπίσωσι κέρδος· τρίτον δὲ καὶ τῇ τοῦ Θεοῦ ἀγαθότητι καὶ προνοίᾳ, τῇ καὶ περὶ τῆς ζωῆς τῶν στρουθίων μεριμνώσῃ, συστήσομεν τὰ ἡμέτερα, ἐπικαλούμενοι τὴν θείαν ἀντίληψιν καὶ τὸ ἔλεος· τέταρτον δὲ, καὶ ἀπὸ τοῦ ἀλόγου φόβου καὶ τῆς ἀγωνίας φυλαξόμεθα· ταῦτα γὰρ μᾶλλον πολλάκις τὴν ὑγίειαν λυμαίνονται, καὶ τὸ τῆς ψυχῆς ἀγαθὸν, ἢ ἡ νόσος αὐτή.

Τελευταῖον δὲ, ἐπειδὰν ἡ νόσος λωφήσῃ, καὶ ἡ ἀνάρρωσις ἄρχηται, οὐ τολμήσομεν πρὸ ὥρας τι, ὑφ' οὗ ἂν ἡ νόσος ἐπανέλθοι· οὐ γὰρ μόνον ῥᾳδίως τοῦτο γίνεται, ἀλλὰ καὶ εἰς κακὸν ἀνίατον μεταπίπτει. (ἴδε Σειραχ. λή. 1—10) Πάντα τοίνυν τὰ εἰρημένα οὐχ ἁπλῶς ἐπίνοιαί εἰσι χρήσιμοι, ἀλλὰ καθήκοντα, ἅπερ οὐκ ἀνεύθυνος ὁ ἐν γνώσει ἀθετῶν ἔσται.

§. 73. *Ἕτερα καθήκοντα πρὸς τὸ σῶμα.*

Ἐπειδὴ τὸ ἀνθρώπινον σῶμα ἄλόν τι ὀργανικὸν ὑπάρχει, καὶ διὰ πάσης ἐνεργείας τῆς ζωῆς, διὰ τῆς διαφορήσεως, διὰ παντὸς σωματικοῦ τε καὶ πνευματικοῦ ἀγῶνος, ἡ ζωϊκὴ αὐτοῦ δύναμις ἀναλισκομένη κατὰ καιρὸν, ἐλαττοῦται, ἀναγκαῖον ἀναπληροῦν αὐτὴν, διηνεκῶς ἀπολλυμένην, ἢ τὸ σῶμα μαραινόμενον παρακμάζειν, καὶ φθείρεσθαι. Γίνεται δὲ ἡ ἀναπλήρωσις τῇ ἀπολαύσει τῆς τροφῆς· δεῖται δὲ καὶ ἱματισμοῦ, καὶ κατοικίας, καὶ ποικίλης ἄλλης θεραπείας, ἵνα ἐν ἀσφαλείᾳ

Digitized by Google

μένη ἀπό τε τῆς ἐπηρείας τῶν καιρῶν, καὶ τῆς ἐκ τῶν ἀγρίων καὶ ἰοβόλων θηρίων, ἔτι δὲ καὶ ἀπὸ τῆς ἐπιβουλῆς τῶν πονηρῶν καὶ κακοποιῶν ἀνθρώπων. Εἰς πορισμὸν δὲ πάλιν πάντων τούτων, ὀργάνων αὖθις δεῖται, ὥστε καὶ ταῦτα δεῖ ζητεῖν, καὶ δύναται διὰ τῆς δαπάνης, καὶ τῆς ἐνεργείας τῶν σωματικῶν καὶ τῶν ψυχικῶν αὐτοῦ δυνάμεων περιποιεῖσθαι ἑαυτῷ ταῦτα. Οὕτως οὖν κατὰ πάντα τὸν βίον ἀναγκαίως δεῖ ἀλλήλας διηνεκῶς διαδέχεσθαι, τήν τε ἀνάλωσιν καὶ τὴν ἀναπλήρωσιν τῶν δυνάμεων· καθάπερ γὰρ ἀεί τι τούτων ἀποβάλλει, οὕτως αὖθις καὶ ἀεὶ δεῖ τι προσλαμβάνειν, καὶ τἀνάπαλιν. Τῶν δὲ δυνάμεων ἡ χρῆσις καὶ ἡ ἀνάλωσις εἰς πορισμὸν τῶν ἀναγκαίων ἐργασία καλεῖται, καὶ ταύτης ἡ μὲν σωματικὴ, ἡ δὲ πνευματική· ὁτὲ μὲν γὰρ αἱ τοῦ σώματος μᾶλλον, ὁτὲ δὲ αἱ τοῦ πνεύματος μᾶλλον ἐπιτείνονται, καὶ εἰς ἐνέργειαν ἔρχονται. Πᾶσα δὲ κυρίως σωματικὴ ἐργασία καὶ τῆς τοῦ πνεύματος δεῖται προσοχῆς, ἵν' ὀρθῶς ἐπιτελῆται, ἀλλ' οὐδὲ πνευματικὴ γίνεται χωρίς τινος καὶ σωματικῆς κινήσεως· ἡ οὖν διαίρεσις αὕτη ἐπὶ τὸ μᾶλλον, ἢ ἧττον τῆς χρήσεως στηρίζεται. Αἴτιον δὲ τῆς τῶν δυνάμεων χρήσεως εἰς πορισμὸν τῶν ἐπιτηδείων τῷ σώματι, τὸ αὐτό ἐστιν, ὃ καὶ πρότερον ἀπεδόθη, τὸ καθῆκον δηλονότι τοῦ φροντίζειν περὶ τῆς ζωῆς, καὶ περὶ τῆς ὑγιείας καὶ τῆς εὐεξίας τοῦ σώματος, ἵνα διὰ παντὸς πρὸς τὴν ἀρετὴν, καὶ τὴν πρὸς τὸν Θεὸν ἐξομοίωσιν ἐπιδιδόναι ἔχωμεν, καὶ οὕτως εἰς τὸ ἔσχατον ἡμῶν τέλος προσεγγίζωμεν. Δι' αὐτὸ δὴ τοῦτο καὶ τοῦ πορισμοῦ τῶν πρὸς διατροφὴν, καὶ ἱματισμὸν, καὶ κατοικίαν, καὶ τὴν ἄλλην θεραπείαν τοῦ σώματος ἐπιτηδείων ἐπιμελεῖσθαι. Ἐκ τούτου καὶ ἡ ἐργασία, ὡς χρῆσις τῶν ἡμετέρων δυνάμεων, ἀληθὲς καὶ ἀναντίῤῥητον καθῆκον παντὸς ἀνθρώπου ἐστίν· ἀλλὰ

Digitized by Google

καὶ ὡς προφυλακτικὸν ἀπὸ τῆς νωθρότητος καὶ τῆς ἐξαχρειώσεως οὐχ ἧττον τυγχάνει καθῆκον ἡ ἐργασία· λέγεται γὰρ, ὅτι « ἐν τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς, καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν (α). » Οὕτω καὶ ἐν τῇ ἀρχαιοτάτῃ ἱστορίᾳ τοῦ ἀνθρώπου εὑρίσκεται τεταγμένον αὐτῷ τὸ ἐργάζεσθαι. « Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν » (β)· καὶ ὅτι, ἐφ' ὅσον ἡ θεία αὕτη ἐντολὴ ἐτηρεῖτο, ἀγαθοὶ καὶ ἀναμάρτητοι διέμειναν οἱ πρωτόπλαστοι, ἐπὶ δὲ τὴν ἀργίαν τραπομένοις ἐπῆλθεν ὁ πονηρὸς λογισμὸς ἐκτεῖναι χεῖρα ἐπὶ τὸ ἀπηγορευμένον ξύλον· τῷ γὰρ μηδὲν ποιεῖν, τὸ κακῶς ποιεῖν διδασκόμεθα. Ὥστε κατὰ πολλὰ δύναται ἡ ἐργασία ὄργανον γενέσθαι τῇ ἀρετῇ· διὸ καὶ οὐ μόνον ἡ ἀνάγκη, ἀλλὰ δὴ καὶ ἡ θεία φωνὴ ἐντέλλεται περὶ ταύτης· « Ἴθι, φησὶ, πρὸς τὸν μύρμηκα ὦ ὀκνηρὲ! καὶ ζήλωσον, ἰδὼν τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος. Ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὢν, ἑτοιμάζεται θέρους τὴν τροφὴν, πολλήν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν » (γ). Οὕτω καὶ ὁ θεῖος Παῦλος παραινεῖ· « Ὁ κλέπτων, μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι » (δ). Ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παρίστησι τὸν ἄναρχον πατέρα καὶ ἑαυτὸν, ὡς διηνεκοῦς ἐργασίας παράδειγμα· « Ὁ πατήρ μου, φησὶν, ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι » (ε). Πᾶσα δὲ καὶ ἡ φύσις τῷ ἰδίῳ αὐτῆς πα-

(α) Ματθ. ιγ'. 25. (β) Γεν. β'. 15. (γ) Παροιμ. ς'. 6—8. (δ) Ἐφ. δ'. 28. (ε) Ἰωαν. ε. 17.

Digitized by Google

ραδείγματι τὴν ἐνέργειαν καὶ χρῆσιν τῶν δυνάμεων ἡμῖν διακελεύεται, ἀκαταπαύστως ἐνεργοῦσα, φύουσά τε καὶ διαλύουσα, καὶ τὸ διαλυθὲν αὖθις ἀναπλάττουσα. Ἆρ' οὖν μόνοις τοῖς ἀνθρώποις ἔδει προσεῖναι τὸ τῆς ἀργίας λυπηρὸν πλεονέκτημα; Οὐδαμῶς. Γνωστὸν γὰρ αὐτοῖς φύσει καὶ τὸ τῆς ἀνάγκης καὶ τὸ τοῦ καθήκοντος τοῦ ἐργάζεσθαι, καί τοι πολλάκις ὀλιγωροῦσιν αὐτοῦ, ὡς ὀχληροῦ καὶ ἀπαρέσκοντος τῇ σαρκί.

§. 74. *Περὶ τοῦ τίνα δεῖ προσεῖναι τῇ ἐργασίᾳ.*

Οὐχ ἁπλῶς δὲ τὸ ἐργάζεσθαι ἀγαθὸν, ἀλλὰ τὸ δικαίως καὶ πρὸς τὸ ἀγαθὸν, ἤτοι τὸ μηδὲν ἀπρεπὲς τῇ τοῦ ἀνθρώπου ἀξίᾳ, μηδ' ἐναντίον τῇ τοῦ ἤθους χρηστότητι πράττειν, ἀλλὰ τέλος ἀεὶ ὠφέλιμον προτίθεσθαι, καὶ σὺν λόγῳ καὶ μέτρῳ, ἵνα μὴ μάτην αἱ δυνάμεις κατατριβόμεναι, ἄχρηστοι τοῦ λοιποῦ γίνωνται, τὸ δὲ τέλος τῆς ἐργασίας ἐπιτυγχάνηται, ἔτι δὲ καὶ μεθ' ὑπομονῆς, καὶ καρτερίας καὶ προθυμίας ἐργάζεσθαι· οὐ γὰρ δεῖ ταράττεσθαι τὸν ἀγαθὸν ἄνδρα, ἐάν ποτε οἱ πόνοι καὶ αἱ ἐργασίαι αὐτοῦ μὴ κατ' εὐχὴν χωρῶσιν. Ἔτι δὲ δεῖ τὸ προτιθέμενον τιμίως τε καὶ ἐπιμελῶς ἐπιτελεῖν· ἄλλως γὰρ λύπη τε καὶ ζημία, ἢ αὐτῷ τῷ ἐργαζομένῳ ἢ τοῖς, οἷς ἐργάζεται, πολλάκις γίνεται. Μάλιστα δὲ τὸ ἑτέροις ὀφειλόμενον πραχθῆναι ὑφ' ἡμῶν, ἐργαστέον οὕτως ἀεί, ὅπως κατὰ τὴν εὐχὴν καὶ τὴν προσδοκίαν καὶ τὴν ἀξίωσιν αὐτῶν ἀποβαίνῃ, καὶ μηδεμίαν ἀπάτην, ἢ ἀμέλειαν ἐν αὐτῷ συγχωρητέον. Ἔτι δὲ πρὸς τούτοις καὶ ἐνατενίζειν εἰς τὸν Θεὸν χρὴ τὸν ἐργαζόμενον, καὶ εὖ διακεῖσθαι, τὸ μὲν, ὅτι παρ' αὐτοῦ εἰσιν ἡμῖν πᾶσαι αἱ δυνάμεις, αἵ τε σωματικαὶ καὶ αἱ πνευματικαὶ, διὸ καὶ κατὰ τὸ θέλημα καὶ τὴν εὐδοκίαν αὐτοῦ ἀεὶ χρη-

Digitized by Google

στέον αὐταῖς· τὸ δὲ, ἵν' ἐπιτελεῖν διὰ παντὸς προτιθώμεθα τὸ παρὰ τοῦ καθήκοντος ἀπαιτούμενον, ὡς αὐτὸ ἀπαιτεῖ, καὶ διότι ἀπαιτεῖ· ἀλλὰ καὶ ἀνάλογον εἶναι πρὸς τοὺς καιροὺς καὶ τὰς λοιπὰς περιστάσεις τὴν τῶν ἡμετέρων δυνάμεων χρῆσίν τε καὶ κατανάλωσιν. Ὅταν οὖν πάντα ταῦτα τῷ ἐργάζεσθαι προσῇ, τότε καὶ τῇ ἀξίᾳ, καὶ τῇ λογικῇ φύσει τοῦ ἀνθρώπου, καὶ τῇ κλήσει αὐτοῦ πρέπει, καὶ ἠθικῶς ἀγαθόν ἐστιν. Τῇ δ' ἠθικῶς ἀγαθῇ χρήσει τῶν ἡμετέρων δυνάμεων ἀντίκειται ἁ, ἡ ἀχρηστία· καὶ β', ἡ κατάχρησις αὐτῶν· ταῦτα δ' ἀμφότερα, κατὰ τὰς ἀρχὰς καὶ τοῦ λόγου καὶ τῆς θείας ἀποκαλύψεως, ἀδικά τε καὶ ἀπόβλητα κρίνονται. Καὶ ἡ μὲν ἀχρηστία ἐκ πολλῶν ἂν γένοιτο, οἷον ἁ, ἐκ τῆς ἀκηδίας· β', ἐκ τῆς ἄγαν φειδοῦς ἑαυτοῦ· γ', ἐκ τῆς ῥᾳστώνης· δ', ἐκ παντοίων προλήψεων. Πάντα γὰρ ταῦτα, ὄκνον ἐμποιοῦντα καὶ φόβον ἀπὸ πάσης δυσχερείας, ἀχρήστους ἐᾷν τὰς ἡμετέρας δυνάμεις παραίτια γίνονται, καίτοι πάντων τὴν ἀργίαν κακὸν εἶναι ὁμολογούντων, καὶ τοὺς ἀργοὺς τῷ τοῦ ἀχρείου μισητῷ ὀνόματι στιγματιζόντων. Ὥσπερ γὰρ τὸ πτηνὸν ἵπτασθαι, οὕτω καὶ ὁ ἄνθρωπος ἐργάζεσθαι καὶ πονεῖν πέφυκεν· «Ἄνθρωπος γεννᾶται κόπῳ, νεοσσοὶ δὲ γυπὸς τὰ ὑψηλὰ πέτονται» (α). Οἱ δ' ἀρχαῖοι σοφοὶ, ὀρθῶς τὴν ἀργίαν ἐκάλουν μητέρα πάσης κακίας. Καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τρανώτατα τὴν τῆς ἀργίας κακίαν κατέδειξεν ἐν τῇ παραβολῇ τῆς ἀκάρπου συκῆς, ἥτις οὐκ εἶχε καρπὸν, εἰ μὴ φύλλα μόνον (β)· ἀλλὰ καὶ τὸ τέλος αὐτῆς ἐν τῇ τοῦ ὀκνηροῦ καὶ ἀχρείου δούλου παραβολῇ, ὃς ἐξεβλήθη εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων» (γ). Ἀγνώμων μὲν

(α) Ἰώβ. ε. 7. (β) Ματθ. κά. 19. (γ) Ματθ. κε. 30.

Digitized by Google

γὰρ φαίνεται ὁ ὀκνηρὸς πρὸς τὸν Θεὸν, τὸν ποικίλας δυνάμεις αὐτῷ δωρησάμενον, ἵνα καὶ αὐτὸς εἰς τὸ τῆς ἀνθρωπότητος ἀγαθὸν συντελῇ· ἄδικος δὲ καὶ εἰς ἑαυτὸν, ὅτι διὰ τῆς ὀκνηρίας εἰς ἔνδειαν ἐμπίπτει, καὶ εἰς ἀπορίαν, καὶ εἰς κόρον τοῦ βίου, καὶ εἰς μυρίας ἄλλας κακίας· ἄδικος δὲ τελευταῖον καὶ τῷ πλησίον, ὅτι ἐκ τῶν ἱδρώτων ἐκείνου τρεφόμενος, οὐδὲν αὐτὸς εἰς ἀνταλλαγὴν ἐκείνῳ παρέχει. Διὸ καὶ ὁ Παῦλός φησιν, « Εἴτις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. » (α). Ἡ δὲ κατάχρησις τῶν ἡμετέρων σωματικῶν τε καὶ πνευματικῶν δυνάμεων, ἡ καὶ αὐτῆς τῆς παντελοῦς ἀχρηστίας χείρων, διττῶς γίνεται· ἢ γὰρ εἰς ὅλως περιττὰ καὶ ἄχρηστα ἔργα καὶ παιδιὰς κενὰς καὶ χρονοκτόνους καταναλίσκονται, ἢ εἰς βλαβερὰ καὶ παράνομα, οἷα πράττουσιν οἱ λῃσταὶ καὶ κακοῦργοι, νυκτὸς ἐγειρόμενοι καὶ ἀγρυπνοῦντες, ἵνα ἄλλους κτείνωσι. Πρόκειται δὲ πανταχοῦ στάδιον εὐρὺ εἰς τὴν κατάχρησιν, ἐὰν μὴ βούληταί τις προσέχειν. Διὸ παραινεῖ ὁ μακάριος Παῦλος· « Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία, ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ. Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ » (β). Ἵνα δὲ τὸ τῆς εὐθύνης μέγεθος κατὰ πᾶσαν τῶν ἡμετέρων δυνάμεων κατάχρησιν ὀρθῶς ὁρισθῇ, παρατηρητέον ἀ, τὸν τῆς καταχρήσεως τρόπον· β', τὸ ὑπ' αὐτῆς κωλυθὲν ἀγαθόν· γ', τὸ ἐξ αὐτῆς γενόμενον κακόν· δ', τὸ τέλος, πρὸς ὃ ἡ κατάχρησις. Ἐκ γὰρ πάντων τούτων τὸ τῆς ἁμαρτίας μέγεθος καταφαίνεται.

(α) Β'. Θεσσαλ. γ'. 10. (β) Ῥωμ. ς'. 12. 13.

Digitized by Google

§. 75. *Περὶ τοῦ, πρὸς τί δεῖ κυρίως ταῖς δυνάμεσιν ἡμῶν χρῆσθαι.*

Χρηστέον τοίνυν ταῖς ἡμετέραις δυνάμεσιν ἀεὶ, ἁ, ἵνα τῇ πρώτῃ καὶ μεγίστῃ τῆς ψυχῆς χρείᾳ, ἥπερ ἐστὶν ἡ ἠθικὴ αὐτῆς μόρφωσις, ἐπαρκέσωμεν· β', ἵνα καὶ τὸ σῶμα, τῆς ψυχῆς χάριν, διαθρέψωμέν τε καὶ διατηρήσωμεν· γ', ἵνα καὶ εἰς τὸ κοινὸν ἀγαθὸν συντελέσωμεν. Ἐπὶ πόσον δὲ δεῖ ταῖς δυνάμεσιν ἡμῶν πρὸς τὴν τοῦ σώματος θεραπείαν χρῆσθαι, οὐχ οἷόν τε ἀκριβῶς ὁρίσαι· ἐκ γὰρ τῶν ἰδίων ἑκάστου σχέσεών τε καὶ περιστάσεων ἤρτηται. Καθῆκον οὖν ἐστιν ἑκάστῳ πονεῖν, ἵνα τὰ ἀναγκαῖα αὑτῷ τε καὶ τοῖς ὑφ' αὑτὸν, ἢ περὶ αὐτὸν πορίζηται, μόνον δὲ περιττὰς ἀνάγκας μὴ παρασκευαζέσθω, ἀλλ' ἔν τε τῇ τροφῇ καὶ ἐν τῇ περιβολῇ καὶ τοῖς ἄλλοις τοῖς περὶ τὸ σῶμα τὴν μετριότητα, ἔνθα τέτακται, ἀσπαζέσθω, καὶ πρὸς τοῦτο ἐργαζέσθω καὶ κοπιάτω· ἧττον γὰρ τοῦ δυνατοῦ ποριζόμενος, ἢ ποιῶν, τοῦ καθήκοντος ἀπολείπεται, καὶ ἀμελής ἐστι καὶ ἄσωτος. Περὶ τῶν τοιούτων λέγει ὁ θεῖος Ἀπόστολος· « Εἴτις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων » (α). Καὶ ὁ Σολομὼν ἐν ταῖς Παροιμίαις· « Πλοῦτον καὶ πενίαν μή μοι δῷς, σύνταξον δέ μοι τὰ δέοντα καὶ τὰ αὐτάρκη, ἵνα μὴ πλησθεὶς, ψευδὴς γένωμαι, καὶ εἴπω, τίς με ὁρᾷ; ἢ πλανηθεὶς κλέψω, καὶ ὀμόσω τὸ ὄνομα τοῦ Θεοῦ » (β). Οὕτως οὖν ἕκαστος ὀφείλει διανοεῖσθαι, καὶ εἰς πορισμὸν τῶν ἀναγκαίων ἐργάζεσθαι. Ἐπεὶ δὲ ἡ περὶ τὴν χρῆσιν τῶν δυνάμεων ἕξις καὶ

(α) Α'. Τιμ. ε'. 8. (β) Παρ. λ'. (κδ'). 10.

Digitized by Google

καρτερίαν ῥᾴονα καὶ ἀσφαλεστέραν τὴν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων κτῆσιν καθιστᾶσι, περιποιητέον καὶ ταύτας παντὶ σθένει διὰ τῆς ἀσκήσεως καὶ τῆς ἐπιμελείας, ὡς ἓν καὶ τοῦτο τῶν σπουδαιοτάτων καθηκόντων. Οὐ μόνον δὲ τὸ κτήσασθαι, ἀλλὰ καὶ τὸ ὀρθῶς καὶ σκοπίμως τοῖς πορισθεῖσι χρῆσθαι, καθῆκον ὁμολογεῖται σπουδαιότατον. Τῷ γὰρ ἀνθρωπίνῳ σώματι, καί τοι σοφίᾳ τινὶ θαυμαστῇ κατεσκευασμένῳ, ἀλλ' ὡς τῇ λώβῃ καὶ τῇ φθορᾷ ὑποκειμένῳ, οὐ ταῦτα οὐδ' ἴσα παντὶ χρήσιμα καὶ ἀναγκαῖα, ἀλλὰ τὰ τούτῳ αὐτάρκη, τῷ ἑτέρῳ ἀνεπαρκῆ φαίνεται. Μέγα δὲ δύναται καὶ τροφὴ καὶ περιβολὴ καὶ τ' ἄλλα, νῦν μὲν ἐπ' ἀγαθῷ τοῦ σώματος, νῦν δὲ πρὸς τὸ ἐναντίον, καὶ διὰ τοῦ σώματος ἐπὶ τοῦ πνεύματος. Διὸ καὶ καθῆκον ἑκάστου μανθάνειν τί μὲν τὸ ὠφέλιμον, τί δὲ τὸ βλαβερὸν τῷ σώματι, ἵνα ἐκεῖνο μὲν ἑαυτῷ περιποιῆται, τούτου δὲ ἀπέχῃ.

§. 76. *Περὶ τῆς βρώσεως.*

Τῶν πρὸς τροφὴν ἀναγκαίων εἰσὶ τά τε ἐδέσματα καὶ τὰ ποτά. Ποικιλωτάτων δὲ ὄντων, παρατηρητέον ἐν τῇ ἀπολαύσει αὐτῶν ἀ, τὸ ποιόν· β', τὸ ποσόν· γ', τὴν τοῦ σώματος χρείαν καὶ τὴν ἕξιν. Οὐ χαλεπὸν δὲ παντὶ τῷ προσέχοντι καταμαθεῖν ἐν ὀλίγῳ, ἔκ τε τῆς χρείας καὶ ἐκ τῆς πείρας καὶ τοῦ λογικοῦ, τί μὲν τὸ ὠφέλιμον, τί δὲ τὸ βλαβερὸν, ἢ περιττὸν πρὸς τὸ ἀνακτήσασθαι τὴν ἐκλιποῦσαν ζωϊκὴν δύναμιν, καὶ μὴ ὑπερκορεσμὸν γίνεσθαι. Ὁ δὲ τῷ ἀναγκαίῳ καὶ χρησίμῳ ἐμμένων, ἐγκρατὴς καὶ μέτριος λέγεται, καὶ ἐγκράτεια καὶ μετριότης ὁ ἐν αὐτοῖς τοῖς ἀναγκαίοις κατὰ τὴν τῆς βρώσεως καὶ πόσεως μετάληψιν περιορισμός. Αὕτη δὲ, εἰ καὶ πρὸς ἀγαθὸν τέλος ἀσκεῖται, καὶ ἠθικὴν

Digitized by Google

ἔχει ἀξίαν. Εἰ γὰρ πρὸς τὸ ἑτοίμως ἀεὶ ἔχειν καὶ προθύμως εἰς τὴν τῶν καθηκόντων ἐκτέλεσιν, ἠθικόν δὴ τότε καὶ ἀληθὴς ἀρετή ἐστιν· εἰ δὲ ἐκ φειδοῦς καὶ οἰκονομίας, θεωρητέον αὖ τὸ τῆς οἰκονομίας τέλος. Εἰ γὰρ πρὸς τὸ ῥᾷον καὶ ἀσφαλέστερον πράττειν τι τῶν κακῶν, πᾶσαν ἠθικὴν ἀξίαν ἀπόλλυσι, τότε ἡ ἐγκράτεια, καὶ εἰς ἠθικὸν τέρας μεταβάλλεται, οἷον συμβαίνει ἐν τῷ φιλαργύρῳ, τῷ φιλεκδίκῳ, καὶ τοῖς τοιούτοις. Ἐν τούτοις δὲ ἐν τῷ τῆς ὑγιείας διατηρεῖ πως ἀεί ἀξίαν τινὰ ἡ ἐγκράτεια καὶ ἡ μετριότης, ἐν τοῖς καθήκουσιν ὁρίοις ἐμμένουσα· « Μήτηρ ὑγιείας ἐγκράτεια, νόσου δὲ τρυφὴ» ἔλεγεν ὁ μακάριος Ἱερώνυμος (α), ὃ καὶ ἡ πεῖρα βεβαιοῖ· « Διὰ γὰρ ἀπληστίαν πολλοὶ ἐτελεύτησαν, ὁ δὲ προσέχων προσθήσει ζωήν » (β). Ἀντίθετον δὲ τῆς ἐγκρατείας καὶ μετριότητός ἐστιν ἡ ἀκρασία καὶ ἡ πλησμονὴ περὶ τὸ ἐσθίειν καὶ πίνειν. Ὁ γὰρ ἀκρατὴς τὴν τῆς γεύσεως ἡδονὴν ἐκ σιναμωρίας διώκων, οὐ μόνον τὸ δίκαιον ὑπερβαίνει μέτρον, ἀλλ' οὐδ' ὅρον οὐδένα βούλεται γινώσκειν ἐν αὐτῇ. Περὶ τῶν τοιούτων φησί τις, (γ) ὅτι ἐπίμεμπτοί καὶ ὅλως ἀπηλλοτριωμένοι τοῦ πνεύματος τοῦ Χριστοῦ, οἱ τὴν τρυφὴν καὶ τὴν ἀλαζονείαν, καὶ τὸν τοῦ σώματος καλλωπισμὸν ἀπλήστως θηρεύοντες, τοῦ δὲ Θεοῦ καὶ τῶν πτωχῶν ἀδελφῶν αὐτῶν ἐπιλήσμονες γινόμενοι· διὸ καὶ τοῖς τοιούτοις, τοῖς εἰς τὴν τρυφὴν καταῤῥέουσι, καὶ ἐν τοῖς κώμοις ὑβρίζουσιν, ὑπεκκαίεται ἡ τοῦ γαστριμάργου ἐκείνου κόλασις (δ)· ἀλλὰ καὶ τὸ τοῦ Ἡσαΐου αὐτοῖς ἁρμόττει· Οὐαί, φησιν, οἱ ἐγειρόμενοι τὸ πρωὶ καὶ τὰ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐ-

(α) Mater sanitatis abstinentia, aegritudinis voluptas.
(β) Σειράχ. λέ. 37. (γ) Μ. Σχνίκλος §. 577. (δ) Λευκ. ις'. 24.

Digitized by Google

τοὺς συγχαύσει. Μετὰ γὰρ κιθάρας, καὶ ψαλτηρίου, καὶ τυμπάνων καὶ αὐλῶν, τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν » (α).

Ἐπεὶ δὲ πρότερον εἴρηται ἡμῖν ἰδίως περὶ ἀκρασίας, σημειωτέον ἐνταῦθα μόνον ἐν κεφαλαίῳ, τί ἂν εἴη τὸ κατὰ Χριστὸν τῆς τροφῆς μεταλαμβάνειν. Ἔστω τοίνυν αὐτῇ πρῶτον τὸ ἐν μέτρῳ λογικῷ ὁρίζεσθαι, καὶ μήτε ἐλλείπειν, μήτε πλεονάζειν τοῦ μετρίου. Εἶτα δὲ τέλος αὐτῷ ἡ τῆς ζωῆς διατήρησις, καὶ τῶν ἀνηλωμένων δυνάμεων ἀποκατάστασις, ὥστε καὶ σῶμα καὶ πνεῦμα ἱκανῶς ἔχειν πρὸς τὴν τῶν κρειττόνων καθηκόντων ἐκπλήρωσιν. Τελευταῖον δὲ, καὶ εὐγνωμόνως ἐνατενίζειν τῷ Θεῷ τῷ δοτῆρι παντὸς ἀγαθοῦ. Οὕτω παραινεῖ ὁ μακάριος Παῦλος· « Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε » (β). Καὶ ἀλλαχοῦ δέ φησι· « Πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανόμενον· ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως » (γ). Ἄριστον δὲ καὶ τούτου παράδειγμα κατέλιπεν ἡμῖν εἰς μίμησιν ὁ Σωτὴρ ἡμῶν ἐν τῇ ἐπὶ γῆς αὐτοῦ παρουσίᾳ.

§. 77. *Περὶ τῆς τοῦ σώματος περιβολῆς.*

Ἡ τοῦ σώματος περιβολὴ κατὰ πολλὰ τυγχάνει ὠφέλιμος. Πρῶτον μὲν γὰρ τὴν τοῦ σώματος διαφόρησιν, καὶ τὴν θερμότητα, ἀναγκαίας οὔσας τῇ ὑγιείᾳ, διατηρεῖ. Εἶτα δὲ καὶ ἐκ τῆς τοῦ καιροῦ βλαβερᾶς ἐπηρείας, καὶ ἐκ πολλῶν ἄλλων κακώσεων ἀσινὲς διαφυλάττει· τρίτον δὲ καὶ τὴν ἀσχημοσύνην αὐτοῦ ἀπὸ τῆς

(α) Ἡσαΐ. ε. 11. (β) Α'. Κορ. ι'. 31. (γ) Α'. Τιμ. δ'. 4.

Digitized by Google

αἰσχρᾶς περιεργείας τε καὶ καταχρήσεως ἀποκρύπτει· τέταρτον δὲ καὶ τελευταῖον εὐπρέπειαν καὶ εὐσχημοσύνην οὐ μικρὰν ἐμποιεῖ. Πάντων δὲ τούτων οὐκ ὀλιγωρητέον, ἀλλὰ πρὸς ταῦτα μάλιστα, οὐχὶ δὲ πρὸς ἐπίδειξιν καὶ ἀλαζονείαν καὶ πολυτέλειαν δεῖ περιβάλλεσθαι. Οὕτω πάλιν ὁ μέγας τοῦ Κυρίου Ἀπόστολος παραγγέλλει· « Τὰς γυναῖκας (τὸ δ' αὐτὸ δήπου καὶ περὶ τῶν ἀνδρῶν ἰσχύει) ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς, μὴ ἐν πλέγμασιν, ἢ χρυσῷ, ἢ μαργαρίταις, ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν » (α)· ὁ δὲ μακάριος Χρυσόστομος λέγει που, ὅτι τὸ ἱμάτιον ἐδόθη ἡμῖν, οὐχ ἵνα καλλωπιζώμεθα, ἀλλ' ἵνα τὴν γύμνωσιν ἡμῶν καλύπτωμεν, τὸ τῆς Γραφῆς ὑπαινιττόμενος· « Καὶ ἐποίησε κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς » (β). Οὐ χρὴ τοίνυν οὕτως ἐνδύεσθαι, ὅπως καὶ τῆς γυμνώσεως μείζονα φέρει τὴν αἰσχύνην, ἀλλὰ σκοπεῖν ἀ, ὅπως μὴ τὴν ἑαυτοῦ, ἢ τὴν τῶν ἄλλων ἀρετὴν λυμαίνηται· β', ὅπως μήτε πολυτελεστέρα, μήτε εὐτελεστέρα τοῦ προσήκοντος ᾖ· γ', ὅπως μὴ τῇ ὑγιείᾳ ἢ τῇ περιουσίᾳ καὶ τοῖς ἄλλοις τοῖς κατ' αὐτὸν βλαβερὰ ἀποβαίνῃ. Δεῖ γὰρ καὶ ἐν τῇ περιβολῇ τὴν ἀρετὴν ἀσκεῖν, καὶ δεικνύναι τὸν χριστιανὸν, τεκμήριον αὐτὴν τῆς νηφαλιότητος καὶ τῆς τῶν πραγμάτων ἐχέφρονος ἐκτιμήσεως παρεχόμενον. Ἐνδυόμενος γὰρ, ἀφορᾷ πρῶτον μὲν εἰς τὴν κοσμιότητα, εἶτα δὲ, εἰς τὴν ὠφέλειαν καὶ τὴν ῥᾳστώνην, τελευταῖον δὲ καὶ εἰς τὸ ἐν τῇ πολιτείᾳ ἐπικρατοῦν ἔθος, εἰ μή τι κενὸν ἢ τῷ

(α) Α'. Τιμ. β'. 9. (β) Γεν γ'. 21.

Digitized by Google

ἤθει βλαβερὸν ἔχει. Τὸ δὲ ἐν γένει καὶ ἀπαραιτήτως ἐν τῷ ἱματισμῷ ἀπαιτούμενον ἐστὶν ἡ καθαριότης.

Εὐκόλως δέ τις καὶ ἐκ τοῦ τρόπου, καθ' ὃν ἐνδύεται, τῇ ἁμαρτίᾳ περιπίπτει· ἀ, ἐὰν ὑπὲρ τὸ δέον λαμπρῶς τε καὶ πολυτελῶς ἐνδύηται, ἢ εἰς πλῆθος περιττὸν δαπανᾷ, ὥστε πρὸς τὰς ἀναγκαιοτέρας χρείας ἀνεπαρκὴς γίνεται καὶ λυπεῖ ἑαυτὸν, ἢ καὶ ἄλλους τινὰς, καὶ τῶν ἔργων τῆς ἐλεημοσύνης καὶ τῆς ἄλλης φιλανθρωπίας διὰ ταῦτα ἀπολείπεται· β', ἐὰν τῇ περιβολῇ πρὸς ἀλαζονείαν καὶ τύφον καὶ ὑπεροψίαν χρῆται, ἵνα τῶν ἄλλων διαφέρῃ, ἢ ἵνα μείζονα αἴσθησιν αὐτοῖς τῆς καταφρονήσεως παρέχῃ· γ', ἐὰν δι' αὐτῆς ἕλκειν ἀθεμίτως πρὸς ἑαυτὸν ἄλλους, καὶ δελεάζειν καὶ ἐρεθίζειν βούληται πρὸς τὰς αἰσχρὰς ἡδονὰς, ἢ πρὸς κατάχρησιν τοῦ προσώπου αὐτῶν. Πρὸς τὸν τοιοῦτον ἁρμόσειεν ἡ τοῦ πλουσίου παραβολή (α). Ἡ περὶ τὴν βρῶσιν καὶ τὸν ἱματισμὸν πολυτέλεια ῥᾳδίως εἰς θρύψιν καὶ ἐκθηλυσμὸν καὶ εἰς τὴν τοῦ Θεοῦ λήθην, καὶ εἰς ἀναλγησίαν πρὸς τὰς τοῦ πλησίον δυστυχίας καταφέρει τὸν ἄνθρωπον, καὶ εἰς πολλὰς ἄλλας ἀπρεπεῖς πράξεις ἐναντίον τοῦ θείου θελήματος· κρίνονται δὲ καὶ τὰ ἐκ ταύτης ἁμαρτήματα κατὰ τοὺς ἀποδοθέντας ἤδη κανόνας.

§. 78. *Περὶ τῆς οἰκήσεως καὶ τῶν ἄλλων τῶν πρὸς ἀνάπαυσιν ἀναγκαίων.*

Τοῦ οἰκήματος τέλος ὑπάρχει γενικῶς ἀ, ἡ ἀπὸ τῆς ἐπηρείας τῶν καιρῶν καὶ τῆς τῶν πονηρῶν ἀνθρώπων, καὶ τῶν βλαβερῶν θηρίων ἀσφάλεια· β', τὸ ἐν ἀνέσει καὶ ἐφ' ἡσυχίας παρέχειν τῷ σώματι τὴν ἀναγκαίαν

(α) Λουκ. ις'. 19.

Digitized by Google

ἀναψυχὴν μεταλαμβάνοντας τροφῆς, καὶ ὕπνου, καὶ τῆς ἄλλης θεραπείας· γ', τὸ δύνασθαι ἐπιτελεῖν ἐν αὐτῷ ἀταράχως πολλὰς ἐργασίας, καὶ φυλάττειν τὴν ὑπάρχουσαν περιουσίαν. Ἐπεὶ δὲ πάντων τούτων ἐπιμελεῖσθαι χρεὼν, ἐπιμελητέον ἄρα καὶ τοῦ οἰκήματος, ἵνα πρὸς τὸ ἀποδεδειγμένον τέλος ἐπιτήδειον ᾖ, καὶ μὴ ἀντίξουν αὐτῷ, ἢ τῇ δεούσῃ τάξει τε καὶ κοσμιότητι· ἀλλὰ φευκτέον κἂν τούτῳ τὴν ἄχρηστον πολυτέλειαν καὶ τὰς περιττὰς δαπάνας, ἵνα μὴ ἐκ τούτων πρὸς τὰ κρείττονα καθήκοντα ἀνεπαρκεῖς ὦμεν. Τὸ δ' αὐτὸ καὶ περὶ τῆς κτήσεως τῶν ἄλλων, τῶν πρὸς ῥᾳστώνην καὶ ἀνάπαυσιν ἐπιτηδείων, εἰρήσθω, οἷα τὰ διάφορα ἔπιπλα τῆς οἰκίας καὶ τὰ σκεύη. Τὰ μὲν γὰρ τούτων εἰσὶ πρὸς ἔργων τινῶν ἐκτέλεσιν, τὰ δὲ πρὸς τὴν τῶν πόνων τῆς ζωῆς ἀνακούφισιν, ἄλλα δὲ καὶ πρὸς εὐπρέπειαν, διὸ καὶ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον, ἀναγκαῖα, καὶ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον, περιττὰ, κατὰ τὴν διάφορον αὐτῶν ἐπιτηδειότητα καὶ χρῆσιν· Κανὼν οὖν κυριώτατος καὶ περὶ τῆς κτήσεως τούτων ἐστὶν ὅδε· « Πορίζου πρὸ πάντων ἀεὶ τὸ ἀναγκαιότατον· εἶτα δὲ, ἐπιτρεπόντων τῶν πραγμάτων, καὶ τὸ ἧττον ἀναγκαῖον· τοῦ δὲ μὴ ἀναγκαίου ἀλλὰ περιττοῦ ἀπέχου. » Ὁ τὰ πρὸς ἀνάπαυσιν ἐπιτήδεια χωρὶς περιττότητος κεκτημένος, ἐν εὐπορίᾳ εἶναι λέγεται, ἣν ἕκαστον δεῖ ζητεῖν, ὅσον οἷόν τε ἐπιμελούμενον, ἵνα μή τινος τῶν ἀναγκαίων στερῆται. Τοῦτο παντὸς ἀνθρώπου ἐν γένει καθῆκον ὁμολογεῖται· πολλῶν γὰρ καὶ ἀνιαρῶν πραγμάτων διὰ τῆς εὐπορίας ἀπαλλάττεται, καὶ εὐθυμίαν καὶ εὐφροσύνην τῇ ψυχῇ περιποιεῖται, καὶ οὐχ ἑτέροις ὑποδουλοῦται, καὶ δύναμιν δὲ καὶ καιρὸν δι' αὐτῆς κτᾶται, ἵνα μᾶλλον πρὸς τὴν ἑαυτοῦ ἠθικὴν τελειότητα, καὶ πρὸς τὸ κοινῇ συμφέρον ἐργάζηται. Τῆς δὲ εὐπορίας μέσα κάλλιστά τε καὶ ἀ-

Digitized by Google

σφαλέστατά εἰσι ά, ἡ φιλοπονία, καὶ ἡ περὶ τὰ ὠφέλιμα ἐπιμελὴς ἀσχολία· β', ἡ τῶν πορισθέντων μετὰ συνέσεως χρῆσις καὶ οἰκονομία· γ', ἡ περὶ τὰς σωματικὰς ἀπολαύσεις ἐγκράτεια ἐν ἁπλότητι καὶ αὐταρκείᾳ, ἡ περιστολὴ τῶν ἀναγκῶν καὶ τῶν ἐπιθυμιῶν. Τῷ οὖν τούτοις ἐπιμελῶς χρωμένῳ οὐ χαλεπὸν τὴν τῷ σώματι καὶ τῇ ψυχῇ αὐτάρκη εὐπορίαν περιποιήσασθαι· ὁ δ' ἐκ νωθρότητος, ἢ ἀμεριμνίας, ἢ ὅπως ἄλλως ὀλιγωρῶν τούτων, εἰς ἔνδειάν τε καὶ πενίαν ταχέως ἐμπίπτει. Ἔστι δὲ πενία τὸ τοῦ ἀναγκαίου πρὸς τὰς σωματικὰς χρείας στερεῖσθαι. Διὸ καὶ καθῆκον παντὸς λογικοῦ ἀνθρώπου ἐστὶ ταῖς ἑαυτοῦ δυνάμεσι καὶ τῇ ἱκανότητι χρώμενον ἀπὸ τῆς πενίας προφυλάττεσθαι. Πειρασμὸς γὰρ γίνεται πολλοῖς ἰσχυρὸς ἐπικειμένη, εἰς ἀδίκους τε καὶ ἀθεμίτους πράξεις, καὶ πολλάκις μὲν ἀφορμὴν θλίψεώς τε καὶ φροντίδος πολλοῖς παρέχει, πολλάκις δὲ καὶ τὴν εὐφροσύνην ἀπὸ τῆς ψυχῆς περιαιρεῖται, καὶ οὕτω καθυποδουλοῖ τὸν ἄνθρωπον, ὥστε καὶ τὴν ζωὴν αὐτοῦ πρὸ ὥρας καταναλίσκει, καὶ πρὸς τὴν ἠθικὴν τελειότητα μέγα γίνεται κώλυμα. Διὸ καὶ τὸ ἑκουσίως ἐξ ἀμελείας, ἢ ἄλλης αἰτίας περιπίπτειν αὐτῇ, ἁμαρτία μεγάλη κρίνεται, καὶ τοσούτῳ μείζων, ὅσῳ καὶ ἀπερισκεψία, ἐξ ἧς ἡ πενία συνέβη, καὶ ὁ κίνδυνος, ἢ ἡ πραγματικὴ ζημία πρὸς τὴν ἠθικὴν τελειότητα, ἢ ἡ ἑτέροις, μηδὲν ἁμαρτήσασι, γενομένη ἐξ αὐτῆς βλάβη. Ἀλλὰ καὶ παρὰ γνώμην ἐνδέχεται πολλάκις τῇ πενίᾳ περιπεσεῖν. Τί ἆρα τὸ καθῆκον ἐν τῷ τοιούτῳ; Ὅσα περὶ τούτου τό τε λογικὸν καὶ ἡ θεία Γραφὴ διακελεύεται καὶ ὑπαγορεύει, ταῦτά εἰσι· ά, ὁπλίζεσθαι ἀεὶ τῇ γενναιότητι καὶ τῇ καρτερίᾳ πρὸς τοὺς ἐκ τῆς πενίας κινδύνους· β', ἔργον τι εὐπρεπὲς καὶ τίμιον ἐπιμελῶς ἐργάζεσθαι, ἵνα τὰ ἐπιτήδεια ἐξ αὐτοῦ πορίζηται· γ', περιστέλλειν δὲ τὰς ἀνάγκας καὶ τὰς

Digitized by Google

ἐπιθυμίας ἐν αὐταρκείᾳ, καὶ τῇ τοῦ Θεοῦ προνοίᾳ καὶ ἀγαθότητι πεποιθέναι· δ', ζητεῖν μᾶλλον τὸν ἐν οὐρανῷ, ἢ τὸν ἐπὶ γῆς πλοῦτον, ἐγκαρτεροῦντα τῇ πίστει, καὶ τῇ χρηστότητι, καὶ φιλοπονίᾳ· ε, Μηδέποτε διὰ χαμερποῦς κολακείας, ἢ ἄλλων αἰσχρῶν τεχνασμάτων, τὰς παρὰ τῶν ἄλλων δωρεὰς ζητεῖν, ἢ βίᾳ ἐκθλίβειν αὐτάς. Ὅλως δὲ καὶ τῇ πενίᾳ ὀργάνῳ ἀρετῆς χρῆσθαι, ἁ, ἵνα τὴν ταπείνωσιν, καὶ τὴν ὑπομονὴν, καὶ τὴν εἰς τὸν Θεὸν ἀφοσίωσιν καὶ τὴν χρηστότητα ἀσκῇ· ϛ', ἵνα ἀπὸ τῶν ἐκ τῆς τρυφῆς καὶ τοῦ κόρου καὶ τῆς πολυτελείας κινδύνων φυλάττηται. Ὁ γὰρ τῇ πενίᾳ σωφρόνως ἐγκαρτερῶν, θησαυρὸν ἐν οὐρανῷ ἀποτίθεται (α).

§. 79. *Περὶ τῆς εὐπρεπείας καὶ τῆς ἀγαθῆς δόξης.*

Τὸ μὲν θηρεύειν τὴν παρὰ τῶν ἀνθρώπων δόξαν, μάταιον καὶ ἀνωφελές· τῆς δὲ ἀγαθῆς συνειδήσεως καὶ τῆς παρὰ τῷ Θεῷ εὐαρεστήσεως ἐπιμελεῖσθαι προὐργιαίτατον νομιζέτω πᾶς τις. Χρὴ μέντοι καὶ πρὸς πάντας οὕτω πολιτεύεσθαι, ὥστε εὐλόγως καὶ παρὰ πάντων τιμᾶσθαι, καὶ τὴν τιμὴν ταύτην ἀποτέλεσμα εἶναι τῆς πρὸς αὐτοὺς ἀγαθῆς πολιτείας. Κανόνες δὲ τούτου ἀσφαλέστατοί εἰσιν οἵδε. Α'. Ἀπόνεμε πᾶσιν εὐμενῶς τὸ δίκαιον, καὶ τὸ κατὰ τὴν ἀδελφικὴν ἀγάπην ὀφειλόμενον. Β'. Ἔσο πρὸς πάντας φιλοφρονητικὸς, πρόθυμος, καὶ περιποιητικὸς ἄνευ κολακείας, ἢ θρασύτητος, εἰ μήτι τὰ κρείττονα τῶν καθηκόντων βλάπτοι. Γ'. Ἀπόνεμε ἑκάστῳ τὴν τῇ τάξει καὶ τῷ ἀξιώματι αὐτοῦ προσήκουσαν δόξαν καὶ τιμήν· φεῦγε δὲ ἐκ προθέσεως πᾶν, ὃ ἂν αὐτοῖς ὄνειδος, ἢ βλάβην, ἢ σκάνδαλον φέρῃ. Δ'. Διη-

(α) Μαρκ. ι. 21.

Digitized by Google

γοῦ εὐγνωμόνως τὸ παρὰ τῶν ἄλλων κατ᾽ ὀφειλὴν, ἢ ἐκ προαιρέσεως γενόμενόν σοι ἀγαθόν. Ε΄. Ἐν πάσῃ τῇ διαγωγῇ σου δηλούσθω φρόνησις, κοσμιότης, καὶ ἀδιαφορία πρὸς τὴν κενὴν δόξαν. Κεφάλαιον δὲ, ἐπιτέλει ἀεὶ καὶ πρὸς πάντας, χωρὶς διακρίσεως, τὰ μεγάλα ταῦτα τοῦ λογικοῦ καὶ χριστιανοῦ ἀνθρώπου καθήκοντα, ἤτοι ὃ συ᾽μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς. Καὶ τὸ τελειότερον τοῦ Σωτῆρος ἡμῶν Θεοῦ παράγγελμα. «Ὅπως θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.» Κατὰ ταῦτα γὰρ ζῶντες καὶ πολιτευόμενοι, οὐδέποτε τῆς παρὰ τῶν ἄλλων ἀνθρώπων τιμῆς τε καὶ ἀγάπης στερησόμεθα, ὅσον ἐστὶν ἡμῖν ἀναγκαία εἰς ἐπίδοσιν τὴν ἐν τῷ κόσμῳ. Ὁ δὲ παρὰ πάντων φιλεῖσθαι βουλόμενος, ἀδυνάτων ἐφίεται, καὶ οὐδέποτε τοῦ ἐφετοῦ τεύξεται, κἂν διὰ παντὸς ἀγωνίζηται· ὅτε τῷ μὴ θηρεύοντι μὲν τὴν τιμὴν, τὸ δὲ τίμιον ἀεὶ ἐργαζομένῳ, παρὰ πόδας ἕψεται ἡ τιμὴ, κἂν μὴ βούληται. Ἔστι δὲ τιμὴ ἡ παρὰ τῶν ἄλλων εὐμενὴς περί τε τοῦ ἤθους ἡμῶν καὶ τῶν χαρισμάτων καὶ τῆς ἀρετῆς κρίσις, ἥτις ἔργῳ μὲν δηλουμένη, αὐτὸ τοῦτο λέγεται τιμὴ, λόγῳ δὲ, ἔπαινος, δόξα δὲ ἀγαθὴ, ἐὰν ἐν τῇ διανοίᾳ ὑπάρχῃ. Τὸ δὲ περὶ ἡμῶν πολλοὺς οὕτω φρονεῖν ἀγαθὴ ὑπόληψις καλεῖται, καὶ ἀγαθὸν ἢ καλὸν ὄνομα κτᾶσθαι λεγόμεθα. Περὶ τούτου παραινεῖ ὁ Σειρὰχ λέγων· «Φρόντισον περὶ ὀνόματος, αὐτὸ γάρ σοι διαμένει, ἢ χίλιοι θησαυροὶ χρυσίου (α).» Ὁ δὲ Σολομῶν· «Αἱρετώτερον ὄνομα καλὸν ὑπὲρ πλοῦτον πολύν (β).» Καὶ ἀλλαχοῦ «Φήμη ἀγαθὴ πιαίνει ὀστᾶ». Οὐ μικρὸν δήπου, τί περὶ ἡμῶν οἱ ἄλλοι δοξάζουσιν· ἐξ αὐτοῦ γὰρ ἤρτηται ά, ἡ πρόοδος ἡμῶν εἰς τὴν κοινωνίαν· β΄, ἡ εἰς ἄλλους ἐπιῤῥοή· γ΄,

(α) Σειρὰχ μά. 12· (β) Παροιμ. κβ΄. 1.

Digitized by Google

ἡ ἐνεργητικότης ἡμῶν ἐν γένει. Ἀλλὰ τὸ περὶ τούτου καθῆκον ἀποφατικόν ἐστι μόνον, ἤγουν· ά, Μηδὲν πράττειν, ὅπερ ἄν πως ἐλαττώσειεν, ἢ καὶ ὅλως ἀποσβέσειε τὸ καλὸν ἡμῶν ὄνομα· β΄, Τηρεῖν αὐτὸ συνετῶς, καὶ, ἐπειδὰν ὑπ᾽ ἄλλου ἀδίκως προσβάλληται, νομίμως τε καὶ δικαίως ὑπὲρ αὐτοῦ ἀμύνεσθαι. Οὐ δεῖ δὲ κατὰ πᾶσαν ἄδικον προσβολὴν ὑπεραπολογεῖσθαι· οὐ γὰρ συνετὸν, οὐδὲ ἀγαθὸν, ἄρα οὔτε καθῆκον· κρεῖσσον δὲ πολλάκις ἀγνοεῖν, ἢ καὶ ὀλιγωρεῖν τῶν ἀδίκων προσβολῶν, αἵ περ τῇ σιγῇ, καὶ τῇ ἐπιμονῇ εἰς τὴν τοῦ ἤθους χρηστότητα, ἢ τῇ ὑποστροφῇ, ἐὰν αἱ προσβολαὶ μὴ ὥσι παντάπασιν ἄδικοι, ῥᾷον καὶ θᾶσσον ἀνασκευάζονται καὶ ἀποστομοῦνται. Ἡ δ᾽ ἐκ παρατάξεως ἄμυνα τοὐναντίον πολλάκις ἐπάγεται, ἐὰν μάλιστα μὴ μετὰ συνέσεως καὶ διακρίσεως γίγνηται. Ἔν τισι δὲ μόνον καὶ πρός τινας ἀναγκαία ἡ ἀπολογία, διὸ καὶ καθῆκον. Οἷον, ὅταν τις ἐπὶ τοιούτοις ἐγκλήμασι κατηγορῆται, ὧν οὐχ οἷόν τε, ἀλλ᾽ οὐδὲ θέμις ἀνέχεσθαι διὰ τὸ μεγάλην ἐπάγειν τὴν ζημίαν τῇ τε προόδῳ καὶ τῇ ἐνεργείᾳ αὐτοῦ. Ἐκείνοις δὲ μάλιστα ἀναγκαία ἡ ἀπολογία, οἷς ὁ βίος τε καὶ τὸ ἀξίωμα ἐκ τῆς περὶ αὐτῶν ἀγαθῆς δόξης ἤρτηται, καὶ ταύτης ἐκλιπούσης, αὐτίκα καὶ ἡ ἐνέργεια αὐτῶν παύσεται. Τῷ δὲ ἀπολογουμένῳ ἐπιμελητέον ά, ὅπως ἡ ἀλήθεια καὶ τὸ δίκαιον καὶ ἡ διάκρισις καὶ τὸ φιλόνομον ἐν τῇ ἀπολογίᾳ διαλάμπῃ, οὐδὲν δὲ οὐδαμοῦ πάθος ἄγριον· ἤτοι ἐπιμελητέον ἄμυναν ἑαυτοῦ εἶναι τὴν ἀπολογίαν, οὐχὶ δὲ προσβολὴν κατὰ τοῦ ἀντιπάλου· διὰ τοῦτο καὶ μετὰ φειδοῦς καὶ οἰκονομίας γίνεσθαι χρὴ τῆς ἀλλοτρίας τιμῆς· β΄. ἀπωστικὴν μόνον τοῦ ἀδίκως ἡμῖν προσαπτομένου· γ΄, προσήκουσαν τῇ ἡμετέρᾳ καταστάσει κατά γε τὴν χρῆσιν καὶ διαχείρησιν τῶν μέσων. Τῷ δὲ ἐναργῶς τὴν ἑαυτοῦ ἀθωότητα συνειδότι

Digitized by Google

οὐδεμία κρείττων ἀπολογία τῆς, ἣ περ ὁ Χριστὸς πολλάκις ἐχρῆτο. Ῥαπισθεὶς ἐπὶ κόρρης παρὰ τῷ Ἀρχιερεῖ ὑπὸ τοῦ δούλου μεθ' ὕβρεως, οὐδὲν ἄλλο ἀπελογήσατο, ἢ τὸ « Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ, εἰ δὲ καλῶς, τί με δέρεις; » (α). Θερμότερον γάρ τις τοῦ καλοῦ ὀνόματος ἀντιλαμβανόμενος, τὴν γύμνωσιν ὑπεμφαίνει, καὶ πρὸς τὴν σκιὰν οὕτως ἐναγωνίως διαμαχόμενος, ἀφ' ἑαυτοῦ ἀμαυροῦται. Ἥκιστα δὲ μονομαχίας δεῖται, ἵνα τὴν ἑαυτοῦ τιμὴν διατηρήσῃ, ἔξεστι δ' ἐνίοτε, εἰ ἀναγκαῖον δοκοῖ, εἰς δίκην τὸν συκοφάντην εἰσαγαγεῖν, καὶ νομίμως ἀναγκᾶσαι αὐτὸν ἀνελεῖν τὴν συκοφαντίαν, μᾶλλον δὲ, εἰμή τι προσηνέστερον φάρμακον παρῇ πρὸς καθαρισμὸν τῆς ἀθωότητος, ἐξέσται καὶ τὰς ἀληθεῖς παρανομίας τε καὶ ἀδικίας τοῦ συκοφάντου ἐλέγξαι, πρὸς ἀνασκευὴν καὶ καθαίρεσιν τῆς αὐτοῦ πίστεως, ὅταν περὶ μείζονος ἀτιμίας καὶ καταισχύνης ἡμῶν ἐνεργῆται (β).

§. 80. Τῇ δὲ γνησίᾳ τε καὶ λογικῇ φιλοτιμίᾳ ἀντίκειται ἡ φιλοδοξία βιαία τις ἀπαίτησις οὖσα τιμῆς καὶ ὑπὲρ πάντας διακρίσεως, καὶ σπουδὴ πρὸς αὐτάς. Ἀεὶ γὰρ ὑπερέχειν πάντων καὶ προτιμᾶσθαι βούλεται ὁ φιλόδοξος, καὶ περὶ τοῦτο σπουδάζει, καὶ ἀποτυγχάνων μισεῖ, καὶ πάντων καταφρονεῖ τῶν μὴ βουλομένων τιμᾷν αὐτὸν, καὶ διακρίνειν κατὰ τὸ ἐκείνῳ δοκοῦν, καθάπερ καὶ τῶν ἴσα αὐτῷ, ἢ καὶ μεῖζον αὐτοῦ τιμωμένων ἀξίως. Τὸ ἦθος τούτων ἄριστα περιέγραψεν ὁ Σωτὴρ ἡμῶν. « Φιλοῦσί τε τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, ῥαββί, ῥαββί! (γ). » τῆς δ' ἑαυτοῦ δυσμενείας αἴσθησιν ἀμφο-

(α) Ἰωάν. ιή. 23. (β) Μ. Σχενκλ. § 366. (γ) Ματθ. κγ', 6—7.

Digitized by Google

τέροις παρέχει τοῖς τε μὴ τιμῶσιν αὐτὸν, ὅσον βούλεται, καὶ τοῖς ἴσα αὐτῷ τιμωμένοις. Πολλὰ δ' ἐν γένει συνεπάγεται κακὰ ἡ φιλοδοξία, καὶ ταῦτα ἐπειδὰν καὶ ἐξουσία καὶ δύναμις προσῇ, καὶ εἰς πάθος σφοδρὸν μετατραπῇ, οἷον ἀ, ψεῦδος καὶ κολακείαν· β', σοκοφαντίαν καὶ σμικρυσμὸν καὶ καταπίεσιν τῶν ἄλλων· γ', δεξίωσιν σκαιὰν καὶ κατάχρησιν τῶν προσώπων αὐτῶν· δ', ἀλαζονείαν καὶ αἰσχρὰν ἑαυτῶν ὀλιγωρίαν ἐκ κολακείας, πρὸς τοὺς καιρούς. Ἕτοιμος δ' ἀεὶ ὁ φιλόδοξος καὶ θυσίαν πᾶσαν τῷ ἑαυτοῦ εἰδώλῳ ἀνενεγκεῖν, καὶ, καθ' ὅ,τι ἂν πράττῃ, οὐδέποτε εἰς τὸ δίκαιον, ἢ τὸ καλὸν ἀφορᾷ, ἀλλ' εἰς μόνον τὰ ἀρεστὰ τῷ, παρ' οὗ τιμᾶσθαι καὶ φιλεῖσθαι ἐφίεται, καὶ τὰ πάντα γίνεται, ἵνα τοὺς ἄλλους πρὸς τὸ ἴδιον τέλος κερδάνῃ· καὶ ἀποτυχὼν, αὐτίκα τὴν ὑποκρινομένην φιλίαν εἰς μανίαν καὶ ἐκδίκησιν μεταβάλλει, καὶ βλοσυρὸν ὑποβλέπει, καὶ συκοφαντίᾳ, καὶ καταδιώξει χρῆται, ἵνα τοὺς κατᾳφρονοῦντας, ὡς φησιν, ἀμύνηται. Κρινέσθω δὲ καὶ τούτου ἡ εὐθύνη κατὰ τοὺς κανόνας τοῦ ἠθικοῦ ὑπολογισμοῦ.

§ 81. *Καθήκοντα πρὸς τὸ πνεῦμα.*

Κυριώτατον δὲ τῶν τοῦ ἀνθρώπου καθηκόντων, τῆς ψυχῆς, ἤτοι τοῦ πνεύματος ἀδιαλείπτως ἐπιμελεῖσθαι. Τοῦτο καὶ ὁ λόγος καὶ ἡ θεία Γραφὴ ὁμοφώνως παραγγέλλουσιν· αὐτὸ γὰρ ὑπάρχει τὸ τῆς ἀνθρωπίνης φύσεως εὐγενέστερόν τε καὶ θειότερον, μᾶλλον δὲ, τὸ ἐν τῇ ἀνθρωπίνῃ φύσει ἄφθαρτόν τε καὶ ἀίδιον, ἀναπτύξεώς τε καὶ μορφώσεως δεκτικὸν, καὶ ζῶσα εἰκὼν τοῦ ἀοράτου καὶ αἰωνίου Θεοῦ, καὶ πρὸς τὴν αὐτοῦ ἐξομοίωσιν κεχαριτωμένον. Διὸ καὶ ἡ περὶ αὐτοῦ φροντὶς μεῖζόν τι πάσης ἄλλης φροντίδος περιποιεῖ τῷ φροντίζοντι,

Digitized by Google

καὶ αὕτη μάλιστα τῶν ἐφ' ἡμῖν ἐστιν, ἥκιστα ὑπὸ τῶν ἔξωθεν κωλυομένη, καὶ πᾶν τὸ ὑπὲρ αὐτοῦ γινόμενον πρὸς τὴν αἰωνιότητα γίνεται, εἴτε ἀγαθὸν, εἴτε κακόν. Ἐκ τούτου καὶ ὁ λόγος τοῦ Κυρίου· « Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; (α) Δεῖ δὲ τὴν τοῦ πνεύματος μόρφωσιν τελείαν εἶναι, καὶ εἰς τὸ ὅλον αὐτοῦ διήκειν. Διττὴ δέ τις ἐστι, ἡ μὲν, θεωρητικὴ, πρὸς τὸν νοῦν ἀναφερομένη, ἡ δὲ πρακτικὴ, εἰς τὴν θέλησιν, καὶ ἡγεῖσθαι μὲν ἀεὶ δεῖ τὴν θεωρητικὴν, μηδαμῶς δὲ τὴν πρακτικὴν ἀπολείπεσθαι, ἧς χωρὶς, κἀκείνη ἄχρηστός τε καὶ ἄσκοπος ἀποβαίνει.

§. 82. *Καθῆκον τῆς κατὰ θεωρίαν μορφώσεως τοῦ πνεύματος.*

Τὸ καθῆκον τοῦτο καὶ καταφατικὸν ἂν εἴη, καὶ ἀποφατικὸν, τὸ μὲν οὕτως ἐκφραζόμενον· « Φεῦγε πᾶν τὸ δυνάμενον διαφθεῖραι ἢ καὶ ἀμβλῦναι τὸν νοῦν, ἢ τὴν ὀρθὴν αὐτοῦ χρῆσιν κωλῦσαι »· τὸ δὲ οὕτως· « Χρῶ πᾶσι τοῖς ὑπὸ τοῦ λόγου καὶ τῆς πείρας, καὶ παρὰ τῆς ἁγίας Γραφῆς διδομένοις σοι εἰς τὴν τοῦ νοὸς μείζονα ἀνάπτυξιν καὶ μόρφωσιν, καὶ προαγωγὴν αὐτοῦ ἐπὶ τὴν ἐνδεχομένην τελειότητα ». Ὥσπερ γὰρ ἡ ὀργανικὴ φύσις, χωρὶς τῆς ἐκ τῶν ἡλιακῶν ἀκτίνων θερμότητος καὶ ζωῆς, ψυχρὰ ἂν εἴη ἅπασα καὶ νεκρά· οὕτω καὶ ὁ τοῦ ἀνθρώπου βίος, χωρὶς τῆς κατὰ θεωρίαν μορφώσεως τοῦ νοός· ὑπ' αὐτοῦ δεῖ πάντα φωτίζεσθαί τε καὶ ζωοποιεῖσθαι, ὅπου δ' ἂν ἀπῇ ἡ τοιαύτη ζωοποίησις, ἐκεῖ καὶ πᾶσα κίνησις ἀπόλλυται.

(α) Ματθ. ις'. 26.

Digitized by Google

καὶ ὅπου ἂν ὁ νοῦς ἐν ἀπάτῃ καὶ διαστροφῇ ᾖ, ἐκεῖ καὶ οὐδὲν ἄλλο, ἢ ἀταξία καὶ ἀφροσύνη· καθάπερ καὶ τοὐναντίον, ὅσῳ ἂν ἀληθεστέρας, καὶ γενικωτέρας καὶ τελειοτέρας κέκτηται τὰς ἐννοίας, τοσούτῳ καὶ τὸ ἦθος καὶ ὁ βίος ὅλος τοῦ ἀνθρώπου χρηστότερα καὶ κανονικώτερα· καὶ ἐν παντὶ ἔργῳ ὁ νοῦς ἐστιν ἡ ψυχὴ, ὁ νοῦς τῶν, ὧν οὐκ ἄνευ.

§. 83. *Περὶ τοῦ πῶς δεῖ μορφοῦσθαι τὸν νοῦν.*

Οὐ παντὸς τοῦ παρατυχόντος ἀντιλαμβάνεσθαι δεῖ πρὸς τὴν τοῦ νοὸς μόρφωσιν, ἀλλ' ἐξετάζειν ἀεὶ, τίς τῶν διαφόρων γνώσεων, καὶ πρὸς τί ὠφελεῖ· οὐ γὰρ ἁπλῶς, ἵνα τις πολυίστωρ γένηται, χρὴ μανθάνειν. Οἷα δὲ φύσει πεπερασμένος ὁ ἄνθρωπος, δύναται μὲν τὰ τοῦ νοὸς ὅρια ὁπωσοῦν πλατῦναι, οὐχὶ δὲ διὰ μιᾶς, ἀλλὰ κατ' ὀλίγον, καὶ διὰ τῆς βαθμηδὸν τῶν διανοητικῶν δυνάμεων ἀναπτύξεως. Ἐκ τούτου καὶ οἱ κανόνες· Α', Μάνθανε πρὸ πάντων τὸ, οὗ ἡ γνῶσις ἀναγκαιοτάτη σοι τυγχάνει, εἶτα δὲ τὸ ἁπλῶς ὠφέλιμον, ὡς ἧττον ἀναγκαῖον. Β', Μάνθανε δὲ καὶ τὸ συντελεστικὸν τῇ τοῦ ἀναγκαιοτάτου γινώσκεσθαι κτήσει. Ἵνα δὲ ὀρθῶς τὸ ἀναγκαῖον ἑκάστῳ διακρίνηται, θεωρητέον· ά, τὸ πρόσωπον καθ' ἑαυτὸ καὶ τὴν, ἧς ἔλαχε φύσεως· β', τὰς σχέσεις καὶ περιστάσεις αὐτοῦ· καὶ γ', τὴν τῆς γνώσεως ὑπόθεσιν καὶ τὴν αὐτῆς ἰδιότητα. Τῶν γὰρ μαθητῶν, τὰ μέν εἰσιν ἀναγκαιότατα ἐν γένει τοῖς πᾶσι καὶ ὠφέλιμα, τὰ δέ τισι μόνον προσήκοντα· ἐξεταστέον οὖν ταῦτα, ἵνα εὐστόχως ἡ αἵρεσις τοῦ ἀναγκαίου ἑκάστῳ γίγνηται. Τὸ μὲν γὰρ πνεῦμα κενὸν ὅλως γνώσεως εἰς τὸ στάδιον εἰσέρχεται, τὴν δύναμιν μόνην ἔχον τοῦ μανθάνειν, ἡ δὲ χρεία καὶ ἡ ὁρμὴ εἰς τὸ εἰδέναι νῦν μὲν τοῦτο,

Digitized by Google

νῦν δὲ ἐκεῖνο, οὐκ εἰς μακρὰν διεγείρεται, καὶ αἱ ἰδέαι οἱονεὶ ἐκ συγκυρίας ἐπεισερχόμεναι, κατὰ καιρὸν τελειοποιοῦνται διευκρινούμεναι. Ἀλλ' ἐν τούτοις καὶ ἀπάται πολλαί, καὶ προλήψεις, τῷ πρακτικῷ βίῳ τὰ μάλιστα βλάπτουσαι, παρεισέρχονται, εἰ μή τις προσεκτικῶς τε πάνυ καὶ ἐπιμελῶς ὁδηγεῖται. Πάντα δὲ ταῦτα τί ἄλλο τυγχάνουσιν ὄντα, ἢ νεῦμα τῆς φύσεως, μᾶλλον δὲ τοῦ δημιουργοῦ, φανερὸν, πρὸς ὃ ἕκαστος ἡμῶν πράττειν ὀφείλει περὶ τῆς τοῦ νοὸς ἀναπτύξεως; Τοῦτ' ἔστι καθῆκόν ἐστι γενικὸν τοῦ ἀνθρώπου ἐπιμεληθῆναι, ὅσον οἷόν τε, καὶ προσήκει ἑκάστῳ, πλατῦναι, καὶ τῇ γνώσει ἀνυψῶσαι τὸν νοῦν· οἰκονομεῖν δὲ ταῦτα οὕτως, ὥστε μὴ σὺν τῇ ἀληθεῖ γνώσει καὶ ἀπάτας παραδέχεσθαι ἡ προλήψεις. Τὸ νεῦμα τοῦτο τοῦ δημιουργοῦ ἐξ ἀρχῆς ὑπὸ πάντων κατενοήθη, καὶ ἐξαιρέτως ὑπό τινων, διὸ καὶ παρὰ πᾶσι τοῖς ἔθνεσι, καὶ ἰδίως τοῖς ἐπὶ τὸν πολιτισμὸν προβεβηκόσι τοσαῦτα καὶ τηλικαῦτα πρὸς τὴν πνευματικὴν μόρφωσιν ἐπινενόηται. Πάντων δὲ τούτων διαφέρει πολλῷ τῷ μέτρῳ τὸ παρὰ τοῦ φιλανθρώπου Θεοῦ ἀῤῥήτῳ σοφίᾳ καὶ ἀγαθότητι οἰκονομηθὲν ἡμῖν διὰ τῆς θετικῆς ἀποκαλύψεως· καὶ πάντα φανερῶς ἀφορῶσιν εἰς τὴν τῆς ὀρθῆς γνώσεως κτῆσίν τε καὶ παγίωσιν, κατά τε τὸ ἠθικὸν μάλιστα, καὶ τὸ θρησκευτικὸν, διὰ δὲ τῆς ὀρθῆς γνώσεως, εἰς τὸ καλῶς καὶ δικαίως πράττειν. Ὥσπερ οὖν ἐν τῷ ὑλικῷ τε καὶ ὀργανικῷ κόσμῳ, οὕτω καὶ ἐν τῷ ἠθικῷ, τὸ φῶς ἐστιν ἀναγκαῖον πρὸ παντὸς ἄλλου γενέσθαι, πρὶν ἂν κίνησις καὶ ζωὴ παραχθῇ. Πρῶτον γὰρ δεῖ γνῶναι τὸ πρακτέον, καὶ πεισθῆναι περὶ αὐτοῦ, ὡς οὕτω, καὶ οὐκ ἄλλως δεῖ πράττειν, πρὶν ἂν δυνηθῇ πρᾶξαι τὸ ὀφειλόμενον· τοιαύτη μὲν ἡ τῶν πραγμάτων φυσικὴ τάξις. Διὰ τοῦτο καὶ ὁ Σωτὴρ ἡμῶν ἐντεῦθεν ἤρξατο τοῦ ἔργου τῆς ἡμετέ-

Digitized by Google

ρας ἀπολυτρώσεως, διδάσκων ἀπὸ τῆς Γαλιλαίας μέχρι τῆς Ἱερουσαλὴμ αὐτὸς, καὶ τοῖς ἑαυτοῦ μαθηταῖς διδάσκειν ἐντειλάμενος, καὶ τῇ ἐντολῇ ταύτῃ τὸ ἀξιοσημείωτον τοῦτο προσθέμενος· « Ὁ πιστεύσας, καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται » (α). Ὁ οὖν ἑκουσίως ἐν τῷ σκότει καὶ τῇ σκιᾷ μένων, ἀνεῳγμένης αὐτῷ τῆς εἰς τὸ φῶς εἰσόδου, κατὰ τὸν τοῦ Κυρίου λόγον ἀποδοκιμασθήσεται. Τὸ δ' αὐτὸ καὶ ἐν τῷ Ἰωάννῃ λέγει· « Αὕτη ἐστὶν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος, ἢ τὸ φῶς (β). » Ἐκ πάντων οὖν τούτων τρανῶς δηλοῦται τὸ ἑκάστου καθῆκον τοῦ διηνεκῶς ἀγωνίζεσθαι προβαίνειν εἰς τὴν τοῦ νοὸς μόρφωσιν, καὶ μείζονα τελειότητα διὰ τῆς γνώσεως. Τὸ δὲ θαυμαστὸν, ὅτι οὔτε ἐν τῇ φύσει, οὔτε ἐν τῇ διδαχῇ τοῦ πνεύματος εὑρίσκεται ὅριον, εἰς ὃ δεῖ προβῆναι τὴν αὐτοῦ μόρφωσιν, καὶ ἐκ τούτου ὀρθῶς συνάγεται, ὅτι ἀεὶ δεῖ προβαίνειν, καὶ μηδέποτε καταπαῦσαι, μέχρις οὗ δυνατὸν ᾖ παραιτέρω προελθεῖν.

§. 84. *Ἐν τίσιν ὁ νοῦς μορφοῦται καὶ τελειοῦται;*

Ἐν τῇ τῆς ἀληθείας θεωρίᾳ τε καὶ γνώσει προάγεται ὁ νοῦς εἰς τὴν τελειότητα, καὶ πρὸς τοῦτο προώρισται· εἰς δὲ τὴν τῆς ἀληθείας ἐπίγνωσιν δεῖται μὲν καὶ ἄλλων πολλῶν, μάλιστα δὲ ἀ, φιλομαθείας καρτερικῆς τε καὶ ἀκαμάτου. Εὐρυτάτου γὰρ ὄντος τοῦ τῆς ἀληθείας κύκλου, οὐ ῥᾳδίως, οὐδ' ἐν ὀλίγῳ ἀφικνεῖταί τις εἰς τὸ τέρμα, πολλάκις δὲ καὶ ὑπὸ κωλυμάτων παντοίων, ἐν οἷς καὶ αἱ προλήψεις, ἡ πάροδος εἰς αὐτὴν ἀποκλείεται· διὸ καὶ ἀνάγκη καρτερικὴν εἶναι καὶ θερμὴν τὴν φιλο-

(α) Μαρκ. ις'. 16. (β) Ἰωαν. γ'. 19.

Digitized by Google

μάθειαν· β', ἀγάπης ἀδόλου καὶ ἀνυποκρίτου πρὸς τὴν ἀλήθειαν, μηδέποτε ὑπὸ τῶν κατ' ἐπιφάνειαν, ἢ ὑπὸ ῥαθυμίας, ἢ ἄλλου σαρκικοῦ συμφέροντος διαστρεφομένης, ἢ δὲ ὑπόνοιαν ζημίας, ἢ ἄλλης τινὸς δυσχερείας παρεκτρεπομένης· γ', προσοχῆς ἐκτενοῦς καὶ διακρίσεως τῶν ἐσωτερικὴν καὶ μόνιμον ἀξίαν ἐχόντων, ἀπὸ τῶν πρὸς καιρὸν μόνον καὶ πρὸς σχέσεις τινὰς προσκαίρους χρησίμων. Τὰ δὲ μάλιστα κατορθοῦντα τὴν τοῦ νοὸς μόρφωσίν εἰσι ταῦτα· ἀ, ἡ ἐξ ἀποκαλύψεως θεία διδασκαλία· β', τὸ λογικὸν· γ', τὰ συγγράμματα καὶ αἱ διὰ ζώσης φωνῆς τῶν σοφῶν καὶ ἐναρέτων ἀνδρῶν διδασκαλίαι· δ', τελευταῖον δὲ καὶ ἡ ἰδία ἑκάστου πεῖρα. Πάντα ταῦτα συντελοῦσι νῦν μὲν εἰς ἀνάπτυξιν, νῦν δὲ εἰς ἐπανόρθωσιν καὶ εἰς πλουτισμὸν τοῦ νοός· διὸ καὶ ἐκ πάντων ἐπιμελῶς, ὅσον ἂν ἐγχωρῇ, ὠφελητέον. Φωτιζέσθω δὲ μάλιστα ὁ νοῦς, ἐν οἷς καὶ δικαιοπραγεῖν δύναται· οἷον μανθανέτω, τί δίκαιον, τί ἄδικον, τί ἀγαθὸν, τί κακὸν ἐν γένει, καὶ τίς ἡ τούτων διαφορὰ, ἔτι δὲ τίς ἡ τῆς θελήσεως ἠθικὴ δύναμις καὶ ἐλευθερία, ποῖα τὰ τῆς ἠθικῆς ἀξιώματα· διδασκέσθω δὲ καὶ τὴν ἀθανασίαν τῆς ψυχῆς, καὶ τὸ κράτιστον τέλος, πρὸς ὃ δεῖ σπεύδειν, καὶ τὰ τοῦ Θεοῦ, ἵνα γινώσκῃ αὐτὸν ὡς δημιουργὸν πάντων καὶ προνοητὴν, καὶ νομοθέτην καὶ μισθαποδότην. Ἐχόμενα δὲ τούτων εἰσὶ καὶ τὰ μὴ συνημμένα μὲν τῇ ἠθικῇ ἀμέσως, ἐπενεργοῦντα δὲ ταύτῃ ἰσχυρῶς, νῦν μὲν πρὸς διατήρησιν, νῦν δὲ πρὸς εὐχέρειαν αὐτῆς, οἷον αἱ εἰδικώτεραι τῆς πίστεως ἀλήθειαι πρὸς ταῖς εἰρημέναις. Ὅλως δὲ, ὅσῳ μείζων ἡ ἱκανότης ὑπάρχει, καὶ ὁ καιρὸς ἑκάστῳ, καὶ τ' ἄλλα δὲ συγχωρῶσι πλουτίζειν τὸν νοῦν τῇ τοιαύτῃ γνώσει, τοσούτῳ καὶ τὸ καθῆκον ἀεὶ μεῖζόν τε καὶ σπουδαιότερον, καὶ τῷ μὴ φροντίζοντι κτήσασθαι τὴν γνῶσιν ταύτην ἡ εὐθύνη βαρυτέρα καὶ ἡ ἁμαρτία.

Digitized by Google

Τὰ δὲ διακωλύοντα τὴν τοῦ νοὸς μόρφωσιν ἐκ τῶν ἐφ' ἡμῖν, εἰσι μάλιστα πρὸς τῇ ἀμελείᾳ καὶ νωθρότητι τὸ ἀπερίσκεπτον, τὸ ἐν τῇ περὶ τῶν πραγμάτων κρίσει ἐπισπερχὲς, ὁ τοῦ νοὸς περισπασμὸς, ἡ ἀστάθεια, τὸ φιλόκαινον, ἡ τυφλὴ εἰς τὰ ἀρχαῖα προσκόλλησις, ἡ τῶν ἐπιθυμιῶν καὶ τῶν παθήσεων ταραχὴ, ἡ μόνων τῶν ὠφελούντων τῷ σώματι αἵρεσις, ἡ μετὰ ψυχρῶν καὶ ἀδιαφόρων ἀνθρώπων συναναστροφή.

§. 85. *Περὶ τῆς πρακτικῆς μορφώσεως τοῦ πνεύματος.*

Ἡ πρὸς τὴν θεωρίαν μόρφωσις τοῦ νοὸς τέλος ἔχει τὴν πρᾶξιν, καὶ πρὸς ταύτην ἀναγκαία ὑπάρχει. Διὰ τοῦτο δηλαδὴ πολλὰ γινώσκειν ἡμῖν χρεία, ὅτι καὶ πολλὰ πράττειν ἀνάγκη· ἐπεὶ δὲ τὸ ἐν ἡμῖν πρακτικόν ἐστιν ἡ θέλησις, τυφλὴ ἂν εἴη ὅλως χωρὶς τοῦ νοὸς, ὃς, κατηρτισμένος τῇ γνώσει, φῶς ἐστι τῆς ζωῆς. Ἀμφότερα γὰρ, νοῦς καὶ θέλησις, ἀλλήλων δέονται, καὶ εἰς ἄλληλα ἀναφέρονται, ὥπερ οἱ ἀντίθετοι τοῦ μαγνήτου πόλοι. Οὐκ ἀεὶ δὲ, ὡς ἔδει, τῷ τοῦ νοὸς φωτὶ ἡ θέλησις ἕπεται, ἀλλὰ συμβαίνει, ὅπερ ἡ Μήδεια ποιεῖται ὑπὸ τοῦ Εὐριπίδου λέγουσα· «Καὶ ὁρῶ μὲν, οἷα δρᾷν μέλλω κακὰ, θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων»· ἢ τὸ τοῦ Ὀβιδίου «Video meliora proboque, deteriora sequor.» Ἡ γὰρ θέλησις, ὥσπερ ἐκ τοῦ νοὸς, οὕτω καὶ ἐκ τῶν ὀρέξεών τε καὶ τῶν παθήσεων τῆς σαρκὸς ἤρτηται· ὠφελιμώτατον ἄρα καὶ τὴν τούτων ἰσχὺν καταμαθεῖν.

§. 86. *Περὶ τῆς ἰσχύος τῶν τῆς σαρκὸς ὀρέξεών τε καὶ παθήσεων ἐπὶ τῆς θελήσεως.*

Τῶν περὶ ἡμᾶς ὄντων τὰ μὲν παρίσταται τῇ ψυχῇ

Digitized by Google

διὰ τῶν αἰσθήσεων, τὰ δὲ διὰ τῆς φαντασίας· καὶ αὖθις τῶν παρισταμένων, τὰ μὲν εἰς τὸ πνεῦμα ἀναφέρονται, καὶ αὐτὸ ὠφελοῦσι, τα δὲ εἰς τὸ σῶμα, ἡδονὴν αὐτῷ, ἢ ἄλλην τινὰ ὠφέλειαν παρέχοντα. Ἐν ἑκάστῃ δὲ περιπτώσει ἐρεθιζόμεναι αἱ ὀρέξεις, ἐπενεργοῦσι τῇ διαθέσει, κλίσιν τινὰ πρὸς τὰ παριστάμενα ἐμποιοῦσαι, ἢ ἀποστροφὴν ἀπ' αὐτῶν. Καὶ αὕτη μὲν ἡ κλίσις ἢ ἀποστροφὴ καλοῦνται κοινῶς πρῶται ὁρμαὶ, αἰσθήμασιν ἡνωμέναι, ἡδέσι μὲν ἡ κλίσις, ἀλγεινοῖς δὲ ἡ ἀποστροφή. Καὶ μέχρι μὲν τούτου αὐτομάτως ἐγγίνονται τῇ ψυχῇ κατ' ἀνάγκην ὑπ' ἀλλήλων. Μετὰ δὲ τοῦτο ἄρχεται ἡ τοῦ ἀνθρώπου ἐλευθέρα ἐνέργεια· ἢ γὰρ λογίζεται τὸ πνεῦμα προσέχον τῇ ἐγγενομένῃ κλίσει, ἢ ἀποστροφῇ, καὶ τῷ, περὶ ὃ αὖται, καὶ κρίνει ἐπιμελῶς, εἰ κατὰ τοὺς γνωστοὺς αὐτῷ κανόνας ἔξεστι δοκιμάζειν καὶ στέργειν ὁμοῦ, ἢ χρὴ ἀποδοκιμάζειν, καὶ ἀποδιοπομπεῖσθαι τὸ κατὰ συγκυρίαν τοῦτο ἐγγενόμενον· ἢ οὐδόλως περὶ αὐτῶν λογίζεται οὐδ' ἐρευνᾷ, ἀλλ' ἀφίησι τὴν κλίσιν, ἢ ἀποστροφὴν, ἐπὶ τὰ πρόσω ἀκωλύτως χωρεῖν, καὶ οὕτως ἀθετεῖ τὸ παρὰ τοῦ Θεοῦ τεταγμένον αὐτῷ καθῆκον· ἡ δὲ κλίσις ἢ ἡ ἀποστροφὴ προβαίνουσαι, φέρουσι τὸν ἄνθρωπον διὰ τῆς ἡδονῆς εἰς τὴν τοῦ ἀθεμίτου καὶ τὴν παρὰ τὸ καθῆκον πρᾶξιν. Εὐλόγως ἄρα, ἐὰν ἡ πρᾶξις ἀθέμιτος ᾖ, καὶ δι' αὐτὸ ἀποδοκιμάζεται ὑπὸ τῆς συνειδήσεως, ἀποδίδοται εἰς τὸ πνεῦμα, τὸ τοῦ καθήκοντος ἀμελῆσαν, ἡ αἰτία· ἡ δὲ ἁμαρτία τοσούτῳ μείζων κρίνεται, ὅσῳ καὶ τὸ, περὶ ὃ ἐπράχθη, σπουδαιότερον. Κἂν δὲ μὴ κακῶς ἀποβῇ, οὐκ ἀνεύθυνον μένει τὸ ἀνθρώπινον πνεῦμα, ὅτι οὐ προσέσχεν, οὐδ' ἔκρινεν, ὡς ἔδει. Ὅταν γὰρ ἀλόγως ταῖς ὀρέξεσι τῆς σαρκὸς ἑπώμεθα, οὐκ ἔστιν ἀγαθὸν ἐκ τούτου προσδοκᾶν· εἰ δὲ καὶ συνέβη, κατὰ συγκυρίαν

Digitized by Google

συνέβη, ἐνεδέχετο μέν τοι καὶ ἄλλως γενέσθαι· οὐ γὰρ πρὸς τὸ ἀγαθὸν αἱ ὁρμαί, ἀλλὰ μόνον πρὸς τὸ ἡδύ, τοῦτο δὲ οὐκ ἀεὶ καὶ ἀγαθὸν τυγχάνει. Διὰ τοῦτο καὶ Κάϊν τῷ τοῦ Ἀδὰμ ἐρρέθη τό· «Πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ». Ἐκ τούτου καὶ αἱ πολλαὶ καὶ σύντονοι παραινέσεις τῆς ἁγίας Γραφῆς εἰς τὸ ἀδιαλείπτως προσέχειν καὶ νήφειν καὶ ἀρνεῖσθαι ἑαυτόν· πρὸς τοῦτο καὶ ἡ δύναμις τῷ πνεύματι τοῦ διανοεῖσθαι καὶ κρίνειν, καὶ ἡ τοῦ ἠθικοῦ νόμου διδασκαλία, ἵνα πάσας κρίνῃ τὰς ὁρμὰς καὶ δοκιμάζῃ, ἃ δεῖ συγχωρεῖν αὐταῖς. Τὸ γὰρ ποιὸν τῶν ποθητῶν ἢ μισητῶν, καὶ ἡ πρὸς τὸ πνεῦμα ἢ τὸ σῶμα σχέσις αὐτῶν, παρατιθέμενα πρὸς τὴν τοῦ ἠθικοῦ νόμου ὑφήγησιν, παρέχουσι κρίσιν ἀσφαλῆ, εἰ δεῖ συγχωρεῖν τῇ κλίσει τὸ ποθούμενον, ἢ οὔ, καὶ εἰ ἀπολύτως δεῖ ἀρνεῖσθαι, ἢ ὑπό τινας ὅρους· Ἐν τούτῳ γὰρ μάλιστα τὸ μεγαλεῖον καὶ ἡ ἰσχὺς τοῦ πνεύματος δείκνυται, ἐν τῷ κρατεῖν οὕτω τῶν σωματικῶν ὀρέξεων, ὥστε μηδὲν αὐταῖς ἐναντίον τῇ αὐτοῦ ἀξίᾳ καὶ τῇ κλήσει, καὶ τῇ πρὸς τὸν Θεὸν καὶ πρὸς τὸ ὁμόφυλον σχέσει χαρίζεσθαι. Οὐκ ἔστιν ἐνταῦθα περὶ ἀπαθείας, ἢ τελείας ἀποσβέσεως τῶν ὁρμῶν καὶ παθήσεων τῆς σαρκὸς, ἀλλὰ περὶ τῆς ἐν λόγῳ μετριάσεως καὶ περιστολῆς καὶ διευθύνσεως αὐτῶν πρὸς τὸ τοῦ ἀνθρώπου ἔσχατον τέλος. Εἰ δὲ δυσχερὲς τοῦτο καὶ βαρὺ καὶ ἀκατόρθωτόν τισι δοκεῖ, καὶ ταῦτα χριστιανοῖς, ἀκουσάτωσαν τοῦ ἐθνικοῦ φιλοσόφου λέγοντος· «Οὐδέν ἐστιν οὕτω δυσχερές τε καὶ ἀνέφικτον, ὅπερ οὐ νικᾷ ὁ ἀνθρώπινος νοῦς, καὶ εὐπρόσιτον ἡ μελέτη ἀπεργάζεται· οὐδὲν δὲ πάθος οὕτως ἐστὶ χαλεπόν τε καὶ ἀκάθεκτον, ὥστε τῇ ἀσκήσει μὴ δαμάζεσθαι· οὐκ ἔστιν, ὃ ἂν εἴποις ἀνίατον· ἰάσιμα

Digitized by Google

γὰρ νοσοῦμεν κακὰ, καὶ αὐτὴ δὲ ἡ φύσις ἡμῖν πρὸς τὸ ἀγαθὸν γεγενημένοις, βοηθεῖ, ἐὰν διορθοῦσθαι βουλώμεθα.» * (α). Τέλος δὲ τῆς κατά τε τὸ θεωρητικὸν καὶ τὸ πρακτικὸν ἀναπτύξεως καὶ μορφώσεως τοῦ πνεύματός ἐστιν ἡ πρὸς τὸν Θεὸν, ὅσον ἐνδέχεται, τελεία αὐτοῦ ἐξομοίωσις· τῷ μὲν γὰρ, κατὰ τὴν γνῶσιν τῆς ἀληθείας, τῷ δὲ, κατὰ τὸν ἐνάρετον βίον, ἐξομοιοῦται αὐτῷ· διὸ καὶ πᾶν τὸ πρὸς τὸ πνεῦμα γινόμενον, πρὸς τὸν ὑψηλὸν αὐτοῦ προορισμὸν ἀφορᾷ, πάντα δὲ τ' ἄλλα πλαγίως τε μόνον καὶ ἐμμέσως εἰς αὐτὸ ἀναφέρεται. Αὐτὸ δὴ τοῦτο οἱονεὶ κέντρον εἶναι δεῖ τοῖς ἀνθρώποις, εἰς τὸ ἀκαμάτως τε καὶ ἀδιαλείπτως τῆς εἰς τὸ δυνατὸν τελειοτέρας ἀεὶ ἀναπτύξεώς τε καὶ μορφώσεως τοῦ πνεύματος ἐπιμελεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ Γ',

Ἐν ᾧ τὰ πρὸς τὸν πλησίον καθήκοντα ἐκτίθενται.

§. 86. Καθάπερ πρὸς τὸν Θεὸν, οὕτω καὶ πρὸς πάντας ἀνθρώπους οἰκειότατα ἔχομεν· τὴν δὲ οἰκειότητα ταύτην ἱερὰν καὶ ἀδιάλυτον ἀεὶ δεῖ διαμένειν. Ὁ μὲν γὰρ, πατὴρ ἡμῶν ἐστιν, ἡμεῖς δὲ τέκνα αὐτοῦ, καὶ ἀδελφοὶ ἀλλήλων. Διὰ τοῦτο ἐντέλλεται καὶ ὁ Σωτὴρ ἡμῶν «Πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς (β).» Ἐκ δὲ τούτου καὶ ἡ θεία ἐντολή· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου,

* Nihil est tam difficile et arduum, quod non humana mens vincat et in familiaritatem perducat meditatio. Nullique sunt tam feri et sui juris affectus, ut non disciplina domentur. Non est, quod dicas: Exscindi non posse. Sanabilibus aegrotamus malis, ipsaque nos in rectum genitos natura, si emendari velimus, juvat.

(α) Senec. Lib. de ira. (β) Ματθ. κγ', 9.

Digitized by Google

ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν»· καλεῖται δὲ ὁμοία τῇ πρώτῃ, ὅτι καὶ τῇ ἐννοίᾳ καὶ τῇ σπουδαιότητι κατὰ τὴν ἐκπλήρωσιν ὁμοία ἀληθῶς ἐστιν ἐκείνη. Διὸ αὖθις καὶ ὁ τοῦ Θεοῦ Ἀπόστολος ἀποφαίνεται, ὅτι, «Ἐάν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν, ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν; καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ (α).» Ὡς γὰρ κοινὸς πατὴρ, οὐ μόνον, πῶς πρὸς αὐτὸν ἔχομεν, ὁρᾷ, ἀλλὰ καὶ πρὸς ἀλλήλους πῶς, καὶ ἀδύνατον ἀδιαφορεῖν, ὅπως ἂν πρὸς ἀλλήλους διάγοιμεν. Οὕτω λέγει τοῖς Ἰσραηλίταις παρ' αὐτοῦ ὁ προφήτης· «Ὁ ἁπτόμενος ὑμῶν, ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ (β).» Οὕτω καὶ αὐτὸς ὁ Ἰησοῦς φησιν· «Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων (ἀγαθὸν ἢ κακὸν) ἐμοὶ ἐποιήσατε» (γ). Ἐκ δὲ τῆς πρὸς ἀλλήλους ἀγάπης διακρίνει πάλιν ὁ Ἰωάννης τὰ τέκνα τοῦ Θεοῦ ἀπὸ τῶν τέκνων τοῦ διαβόλου. «Ἐν τούτῳ, φησὶ, φανερά ἐστι τὰ τέκνα τοῦ Θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου. Πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ» (δ). Δικαίαν ἄρα καὶ ἀθῴαν ἐν πᾶσι διαγωγὴν, καὶ ταύτην ἐν ἀγάπῃ διάγειν ὀφείλομεν πρὸς πᾶν τὸ ὁμόφυλον κατὰ τὴν πρὸς τὸν Θεὸν, ὡς κοινὸν πατέρα ἡμῶν, καὶ πρὸς τοὺς ἀνθρώπους, ὡς ἀδελφοὺς ἡμῶν, οἰκειότητα. Ποικίλον δὲ καὶ

(α) Ἰωαν. Α'. Ἐπιστ. δ'. 20. (β) Ζαχαρ. Β'. 8. (γ) Ματθ. κέ. 40. (δ) Ἰωαν. Α'. Ἐπιστ. γ'. 10.

Digitized by Google

οὐχ ἁπλοῦν ἡ διαγωγὴ αὕτη, ἥτις, κατὰ τὸ τῆς σχολῆς ἰδίωμα, καθῆκον καλεῖται. Πολλὰ ἄρα καὶ ποικίλα τὰ πρὸς τὸν πλησίον καθήκοντα, ὡς ἐφεξῆς δηλωθήσεται. Ψυχὴ δὲ καὶ πνεῦμα τῆς ἐκπληρώσεως τῶν πρὸς τὸν πλησίον καθηκόντων ἐστὶ σέβας βαθὺ, καὶ ἀγάπη θερμὴ καὶ εἰλικρινὴς πρὸς τὴν ἀνθρωπότητα ἐν γένει. Ὅτι δὲ τοῦτο τῶν ἐφ' ἡμῖν ἐστιν, οὐδεὶς ἂν ἐρίσειε· τὸ δὲ, πῶς ἄν τις ταῦτα κτήσαιτο, τοῦτο ἤδη ἐξεταστέον. Ἐμοὶ τοίνυν δοκεῖ, οὐδαμῶς ἄλλως οἷόν τ' ἂν εἴη σέβεσθαί τε καὶ ἀγαπᾶν τοὺς ἀνθρώπους, ἢ τὴν γένεσιν αὐτῶν, καὶ τὴν κλῆσιν καὶ τὴν ἀξίαν καταμαθόντα. Τῷ γὰρ ὀρθῶς περὶ τούτων γινώσκοντι, καὶ διὰ μνήμης ἄγοντι, ἀνάγκη αὐτῷ καὶ σέβας προσγενέσθαι καὶ ἀγάπην πρὸς τοὺς ἀνθρώπους. Παρέχει δὲ τὴν ἀκριβῆ περὶ τούτων γνῶσιν ὁ θεῖος λόγος, ὃς διαῤῥήδην κηρύττει, Α', ὅτι ὁ ἄνθρωπός ἐστιν ἀριστούργημα τῆς θείας παντοδυναμίας τε καὶ σοφίας καὶ ἀγαθότητος· Β', ὅτι τοιούτοις κεκόσμηται παρὰ τοῦ Θεοῦ καὶ πατρὸς χαρίσμασιν, οἷς ἄν ζῶν τε καὶ τέλειον αὐτοῦ ἀφομοίωμα γένοιτο· Γ', ὅτι εἰς τοῦτο κυρίως ἐκλήθη τε καὶ προωρίσθη, ἵνα τῇ διηνεκεῖ ἐπιμελείᾳ καὶ τῇ ὀρθῇ χρήσει τῶν αὐτοῦ χαρισμάτων ὄντως πρὸς τὸν Θεὸν ἐξομοιωθῇ· Δ', ὅτι διὰ τοῦτο καὶ ὑπὸ τὴν τοῦ Θεοῦ πατρικὴν πρόνοιαν καὶ ἀγάπην καὶ τὸ ἔλεος διατελεῖ. Ταῦτα περὶ τοῦ ἀνθρώπου ἡ θεία διδάσκει ἀποκάλυψις, καὶ οὕτω θεωρούμενος σεβαστὸς, φαίνεται καὶ ἀγαπητὸς καὶ προσοχῆς ἄξιος ἐν πᾶσιν, οἷς διανοούμεθα καὶ πράττομεν· καὶ εἰ μὴ ἐκ τούτων θεωρούμενος τοιοῦτος ἐδόκει, οὐδεμίαν ἡμᾶς τοῦ ὑψηλοῦ τε καὶ θείου αἴσθησιν ἔχειν ἔδει, ἤτοι μὴ εἶναι ὅλως ἀνθρώπους. Ἐκ τούτων ἄρα καὶ μόνων τὸ πρὸς τοὺς ἀνθρώπους ὀφειλόμενον σέβας καὶ ἡ ἀγάπη γεννᾶται. Ἀλλ' οὐ φαίνονται ταῦτα νῦν ἐν τῷ ἀνθρώπῳ· εἴποι τις ἂν· μόλις γὰρ καὶ ἐν τοῖς

Digitized by Google

δοκοῦσιν εἶναι εὐγενεστάτοις, μικρὰ καὶ ἀσθενῆ τῶν εἰρημένων ἴχνη ὁρῶμεν, τοὐναντίον δὲ μεγάλην τὴν ἀμορφίαν καὶ ἀσχημοσύνην δείκνυσι, καὶ τὰ ἐν αὐτῷ πάντα τοὐναντίον τῇ θείᾳ ἀποκαλύψει κηρύττουσι. Πῶς οὖν ἄν τις τὸν τοιοῦτον σεβασθείη τε καὶ ἀγαπήσειεν; Μεγάλη ὄντως καὶ παράδοξος ἡ διαφορὰ τοῦ ἀνθρώπου, οἷος ἡμῖν καθ' ἑκάστην παρίσταται, καὶ οἷον ἡ θεία Γραφὴ αὐτὸν δείκνυσιν, ἀλλ' οὐδὲν τοῦτο κωλύει τοῦ σέβεσθαι καὶ ἀγαπᾶν αὐτόν. Ἡ γὰρ μεγάλη αὕτη διαφορὰ ἐκ τούτου μάλιστα γίνεται, ὅτι, οἷος ἡμῖν καθ' ἑκάστην παρίσταται, ἐν τῷ γίνεσθαί ἐστιν, ἤτοι δυνάμει ἐστὶν, οἷον ἡ Γραφὴ παρίστησι, καὶ οἷος ἦν ἀληθῶς πρὸ τῆς παραπτώσεως. Δεῖ ἄρα καὶ ἐν τῷ σπέρματι καὶ ἐν τῇ δυνάμει τιμᾶσθαι τὸν μέλλοντα καὶ δυνατὸν ἐξ αὐτοῦ γενέσθαι καρπὸν εὐγενῆ.

§. 87. *Ἀκριβεστέρα ἔκθεσις τοῦ σεβασμοῦ καὶ τῆς ἀγάπης.*

Ὅπου ἂν τὸ σέβας καὶ ἡ ἀγάπη πρὸς τὸν ἄνθρωπον λείπῃ, ἐκεῖ ἀναγκαίως καὶ ἡ ἐκτέλεσις τοῦ πρὸς αὐτὸν καθήκοντος ἐλλείψει, καὶ εἴτις γίνεται, καπηλική τε καὶ ἰδιοτελὴς ἂν εἴη· ἡ δὲ τοιαύτη πάνυ ὀλίγου ἀξία ἂν εἴη καὶ ἀλυσιτελὴς τοῖς ἀνθρώποις. Καὶ τὸ μὲν σέβας πρὸς τὴν τῶν ἀποφατικῶν καθηκόντων ἐκπλήρωσιν ἀναγκαῖον, ἡ δ' ἀγάπη πρὸς τὴν τῶν θετικῶν, ἀμφότερα δ' ὁμοῦ τὴν ἀγαθὴν ἀποτελοῦσι γνώμην καὶ προαίρεσιν, ἣν ἔχειν δεῖ ἀεὶ πρὸς πάντα καὶ ἕκαστον τῶν ἀνθρώπων, καὶ καλεῖται ἰδίως καὶ κατ' ἐξαίρεσιν ἀγάπη ἐν τῇ θείᾳ Γραφῇ. Περὶ τῆς τοιαύτης ἀγάπης φησὶν ὁ μακάριος Παῦλος, ὅτι ταύτην εἶναι δεῖ τὴν ψυχὴν καὶ τὴν ζωογόνον ἀρχὴν πάσης τῆς πρὸς τὸν πλησίον διαγω-

Digitized by Google

γῆς ἡμῶν, καὶ εἰς ταύτην προτρέπει τοὺς πάντας λέγων· « Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευματικά· ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον· καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν εἰμί. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. » Εἶτα καὶ τὴν φανέρωσιν ταύτης περιγράφει, λέγων· « Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ, πάντα στέγει, πάντα πιστεύει, πάντα ὑπομένει κ. τ. λ. (α). » Αὕτη δὲ ἡ ἀγάπη, ὅρῳ περιγραφομένη, οὐδέν ἐστιν, ἀλλ' ἡ γνώμη ἀγαθὴ καὶ προθυμία τοῦ ἐπιτελεῖν ἀκριβῶς πρὸς τὸ ὁμόφυλον πάντα, ὅσα κατὰ τὰς σχέσεις ἡμῶν πρὸς αὐτὸ ὀφείλομεν, καθήκοντα· καλεῖται δὲ καὶ ἄλλως, ὁτὲ μὲν φιλανθρωπία, ὅτι πρὸς τοὺς ἀνθρώπους ἀεί, ὁτὲ δὲ ἀγάπη τοῦ πλησίον, καὶ φιλαδελφία, ὅτι συγγενεῖς πάντες καὶ ἀδελφοὶ ἀλλήλων εἰσί, διὰ τὸ ταυτὸν τῆς γενέσεως, τῆς ἀξίας, καὶ τῆς κλήσεως. Διὸ καὶ ὁ Κύριος ἡμῶν λέγει· « Πάντες ὑμεῖς ἀδελφοί ἐστε » (β).

§. 88. *Περὶ τῶν κυριωτέρων τῆς ἀγάπης ἰδιωμάτων.*

Εἰ μέλλει ἀξία τῆς παρὰ Θεοῦ καὶ ἀνθρώπων εὐδοκίας ἔσεσθαι ἡ ἡμετέρα ἀγάπη, ἀναγκαῖον τὰ ἑπόμενα προσ-

(α) Α'. Κορ. ιγ'. 1—7. (β) Ματθ. κγ'. 8. 9.

Digitized by Google

εἶναι αὐτῇ, ἤτοι ἁ, καθολικὴν εἶναι· β', εἰλικρινῆ· γ', δικαίαν καὶ εὔτακτον· δ', γενναίαν καὶ δραστήριον· ε, καρτερικήν· ς', καθαρὰν, ἤτοι ἐκ τοῦ κρείττονος λόγου τῆς ἀνθρωπότητος προερχομένην. Καὶ καθολικὴ μὲν ὑπάρχει, ἐὰν πάντας ἀνθρώπους, μηδ' αὐτοὺς τοὺς ἐχθροὺς ἐξαιροῦσα, περιλαμβάνῃ. Εἰλικρινὴς δὲ, ἐὰν μηδὲν ψεῦδος, ἢ ἀπάτην, ἢ προσποίησιν στέργῃ, ἀλλ' ἀγαθὴ ὄντως ὑπὲρ τῶν ἀνθρώπων ᾖ γνώμη, καὶ ἀληθὴς προθυμία τοῦ ἐπιτελεῖν πάντα τὰ πρὸς αὐτοὺς καθήκοντα· Δικαία δὲ καὶ εὔτακτος, ἐὰν μὴ πρὸς χάριν, ἢ σωματικῆς ἡδονῆς ἕνεκα, ἀλλὰ κατὰ τὴν ἀξίαν καὶ τὴν χρείαν τῶν προσώπων, πρὸς ἃ καθήκει τι πρᾶξαι, ἐπιμελῆται τοῦ μηδὲν μὲν ἀγαθὸν, ὃ δεῖ γενέσθαι, παραλιπεῖν, μηδενὶ δὲ κακῷ συνεργῆσαι, ἀλλὰ κατὰ τὸ τοῦ καθήκοντος σπουδαῖον πρὸς τὴν τελείαν καὶ ἀκριβῆ αὐτοῦ ἐκτέλεσιν ἀγωνίζεσθαι. Δραστήριος δὲ, ἐὰν μὴ μόνον εὐχαῖς ἀρκῆται, ἀλλὰ καὶ ἐνεργῇ τι δεόντως· « Ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου, λέγει ἡ Γραφὴ, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ; Τεκνία μου! μὴ ἀγαπῶμεν λόγῳ, μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ » (α). Ὁ δὲ Ἡσαΐας· « Διάθρυπτέ, φησι, πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνὸν περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. » (β) Δεῖ δὲ καὶ εἰς ἀγῶνας καὶ θυσίας ἑτοίμως ἔχειν, ἔνθα ἄν τις ἀνάγκη παρῇ, ἀλλὰ καὶ φρονήσεως δεῖται, ἵνα μήτις εἰς ἀναξίους διασκορπίζῃ, ὅπερ τοῖς ἀληθῶς χρείαν ἔχουσι μεταδιδόναι χρή. Καὶ σταθερὰν δὲ δεῖ εἶναι τὴν ἀγάπην, ἤτοι μὴ καθ' ἑκάστην

(α) Ἰωαν. Α'. Ἐπιστ. γ'. 17. (β) Ἡσ. νή. 7.

Digitized by Google

ἀλλοιοῦσθαι καὶ μεταβάλλεσθαι οὕτως, ὥστε νῦν μὲν ψυχρὰν, νῦν δὲ θερμὴν φαίνεσθαι, καὶ νῦν μὲν ζήλου μεστὴν, νῦν δὲ χωρὶς κινήσεως καὶ ζωῆς, οὔτε πρὸς καιρὸν μόνον, ἀλλ᾽ εἰς ἦθος ἑστηκὸς καταστῆναι. Ἵνα δὲ τοιαύτη γένηται, ἀνάγκη καὶ καθαρὰν εἶναι, ὅπερ ἐστὶν ἐπὶ τὴν κρείττονα ἰδέαν τῆς ἀνθρωπότητος στηρίζεσθαι, καὶ μὴ ἐπὶ τὴν ἰδιοτέλειαν, ἢ τὴν σαρκικὴν φιλαυτίαν. Ἡ γὰρ χαρίτων ἰδιοτελὴς ἀνταλλαγὴ πόρρω ἔτι ἐστὶ τῆς ἀγαθῆς διαθέσεως, ἣν ἔχειν πρὸς ἀλλήλους ὀφείλομεν, ᾗ δὴ καὶ εἰς τὴν ἐκτέλεσιν ἐπεκτείνεται τῶν καθηκόντων, ἐν οἷς καὶ θυσία ἀπαιτεῖται μεγάλη, καὶ οὐδεμία φαίνεται ἀνταποδόσεως ἐλπίς. Ἔσται δὲ τοιαύτη, ἐὰν, οἷς ἔφθημεν εἰπόντες, ἐπερείδηται.

§. 89. *Περὶ τῆς ἀξίας αὐτῆς.*

Ἡ τῆς ἀγάπης ἀξία καταφαίνεται μὲν καὶ ἐξ ὧν ἀνωτέρω ἐμνήσθημεν τοῦ μακαρίου Παύλου, δείκνυται δὲ τρανώτερον καὶ ἐκ τῆς συναφείας αὐτῆς μετὰ τοῦ ὑψίστου τέλους ἡμῶν, καὶ τῆς πρὸς τὸν Θεὸν ἀγάπης. Χωρὶς γὰρ ταύτης ἀδύνατον, ὡς ἡ θεία Γραφὴ διδάσκει, τοῦ τέλους ἡμῶν ἐπιτυχεῖν, ὅπερ ἐστὶν ἡ πρὸς τὸν Θεὸν, τὴν αὐτοαγάπην, ἐξομοίωσις ἡμῶν. « Ἡμεῖς οἴδαμέν, φησι, ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν, μένει ἐν τῷ θανάτῳ (α). » Ζωὴ δὲ καὶ θάνατος ἐνταῦθα οὐ κατὰ κοινὴν λαμβάνεται σημασίαν. Ἔτι δέ φησιν ὁ αὐτός « Ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν Θεόν· ὅτι ὁ Θεὸς ἀγάπη ἐστὶ, καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ Θεοῦ γεγέννηται, καὶ γινώσκει τὸν Θεόν. Ἐὰν

(α) Ἰωαν. Α'. Ἐπιστ. γ'. 14.

Digitized by Google

τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν Θεὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστί». Ἐκ τούτου μάλιστα φαίνεται καὶ ἡ συνάφεια ταύτης μετὰ τῆς πρὸς τὸν Θεὸν ἀγάπης· ἀδύνατον γὰρ τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας ὑφεστάναι, ἀλλὰ δεῖ τὸν ἀγαπῶντα τὸν Θεὸν, καὶ τὸν πλησίον ἀγαπᾷν. Αὐτὴν δὲ ταύτην δείκνυσι καὶ ὁ λόγος τοῦ Κυρίου· « Ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου, αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή· δευτέρα δὲ, ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.» Ὥσπερ οὖν χωρὶς τῆς πρὸς τὸν Θεὸν ἀγάπης, ἀδύνατον τοῦ κρατίστου τέλους ἡμῶν ἐπιτυχεῖν, οὕτω καὶ χωρὶς τῆς πρὸς τὸν πλησίον· δι' ἀμφοτέρων γὰρ τῷ Θεῷ ἐξομοιούμεθα. Τοῦτ' αὐτὸ βεβαιοῖ καὶ ἕτερος τοῦ Κυρίου λόγος· « Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε· ἐφ' ὅσον δὲ οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε (α).» Ἐκ τούτων οὖν οὐ μόνον ἡ συνάφεια τῆς πρὸς τὸν πλησίον ἀγάπης μετὰ τῆς πρὸς τὸν Θεὸν δηλοῦται, ἀλλὰ καὶ ἡ ἀξία αὐτῆς· διὰ τοῦτο καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔλεγε, ταύτην εἶναι τὸ ἐξαίρετον τῶν ἑαυτοῦ μαθητῶν γνώρισμα· « Ἐν τούτῳ, φησὶ, γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις (β).» Τύπος δὲ τῆς τοιαύτης τελείας ἀγάπης πρόκειται ἡμῖν εἰς μίμησιν διττὸς, ἁ, ἡ ἄφατος πατρικὴ τοῦ Θεοῦ ἀγάπη πρὸς τοὺς ἀνθρώπους· β', ἡ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πρὸς ἡμᾶς. Ἐν αὐταῖς γὰρ πάντα τὰ προαποδοθέντα ὑπάρχει γνωρίσματα, διὸ καὶ εἰς αὐτὴν ἀεὶ ἀφορᾷν, καὶ αὐτῇ προσεγγίζειν πειρᾶσθαι χρὴ, εἰ καὶ ἀνέφικτος ἡμῖν κυρίως

(α) Ματθ. κέ. 35—46. (β) Ἰωαν. ιγ'. 35.

Digitized by Google

τυγχάνει. Ἡ μὲν γὰρ πρώτη δηλοῦται, ὅτι «ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους» (α)· ὅτι «χορηγεῖ τοῖς πᾶσι πλουσίως τὰ δέοντα, καὶ ἐπὶ ταῖς εὐεργεσίαις αὐτοῦ οὐκ ὀνειδίζει (β)·» ὅτι «θέλει πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν» (γ)· ὅτι «τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν (δ).» Τοῖς τοίνυν εἰς αὐτὸν ἀφορῶσιν οὐ μόνον τύπος, ἀλλὰ καὶ ἐλατήριον κράτιστον ἂν εἴη πρὸς τὴν διαγωγὴν, ἣν διάγειν ὀφείλομεν πρὸς τὸν πλησίον. Διὰ τοῦτο ἔλεγεν ὁ Κύριος ἡμῶν· «Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, ἵνα γένητε υἱοὶ ὑψίστου.» Τοιαύτη δὲ καὶ ἡ τοῦ Χριστοῦ πρὸς ἡμᾶς ἀγάπη, ἐν ᾧ ἰδίως ἐκλάμπει ἡ τοῦ Θεοῦ καὶ πατρός. Αὐτοῦ γὰρ ἔτι μᾶλλον τὸ παράδειγμα τῇ ἡμετέρᾳ ἀσθενείᾳ ἁρμόττει, ὃς υἱὸς ὢν τοῦ πατρὸς μονογενὴς καὶ ἀγαπητὸς, ἐκένωσεν ἑαυτὸν, εὐδοκήσας κατελθεῖν πρὸς ἡμᾶς, ἵνα, ἐκπεσόντας τῇ ἁμαρτίᾳ, διαλλάξῃ τῷ Θεῷ καὶ πατρὶ, καὶ ἀνυψώσῃ πάλιν εἰς τὴν ἀξίαν τῶν τέκνων τοῦ Θεοῦ, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ πάντων, ἵνα πάντας ἡμᾶς κερδήσῃ ἑαυτῷ τε καὶ τῷ πατρί. Οἷα δὲ ὑπὲρ ἡμῶν ὑπέστη, τί δεῖ καὶ λέγειν; ἀλλὰ τοῖς πᾶσι διὰ τέλους μετὰ μακροθυμίας ἐνεκαρτέρησεν, ὥσπερ ἡ τῆς παναγίας αὐτοῦ ζωῆς ἱστορία τρανῶς κηρύττει. Παρὰ ταῦτα δὲ καὶ ἕτερον τύπον τῆς ἀγάπης παρέδωκεν ἡμῖν ὁ Χριστὸς διὰ τῆς ἐντολῆς «ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.» καί τοι μὴ οὕτως ἀσφαλῆ, ὡς τὸν πρότερον, διὰ τὸ μὴ προσεῖναι ἀεὶ τὰ ἀποδοθέντα ἰδιώματα αὐτῷ· διὸ καὶ ἐν τῇ χρήσει αὐτοῦ προσοχῆς οὐ μικρᾶς δεῖται.

(α) Ματθ. ε. 44. (β) Ἰακ. α. 5. (γ) Α'. Τιμ. β'. 4. (δ) Ῥωμ. η. 32.

Digitized by Google

§. 90. *Περὶ τῶν τῆς ἀγάπης καρπῶν.*

Ἡ ἀγάπη, ὡς ἀγαθὴ ὑπὲρ τοῦ πλησίον γνώμη μετὰ προθυμίας τοῦ ἐπιτελεῖν τὰ πρὸς αὐτὸν καθήκοντα, καρποφορεῖ καὶ πράξεις ἀγαθὰς τῷ πλησίον. Εἰς ἔργον γὰρ ἡ γνώμη μεταβάλλεται, ἔνθα ἂν δέῃ, ἐὰν μὴ κενὴ προσποίησις ᾖ. Πρῶτον μὲν οὖν τὸ κοινὸν ἀγαθὸν τοῦ πλησίον ἀπαιτεῖ, μᾶλλον δὲ καὶ ἔρεισμα αὐτοῦ ἐστιν· εἶτα δὲ καὶ μέγαν θησαυρὸν ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως κατατίθησιν, ὅτε ὁ Χριστὸς ἀναδέξεται αὐτὸς εἰς ἑαυτὸν πᾶν τὸ παρ' ἡμῶν καὶ τῷ ἐλαχίστῳ τῶν πλησίον πεπραγμένον. « Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε » (α)· τρίτον δὲ, καὶ ἀνάπαυσιν παρέχει, τὴν γῆν εἰς οὐρανὸν μεταβάλλουσαν, κἂν δὲ μὴ κατὰ τὴν προσδοκίαν ἡ τοῦ καθήκοντος ἐκτέλεσις ἐνίοτε ἀποβαίνῃ, ἀλλ' ἥγε παραμυθία μένει, ὅτι ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν· τέταρτον δὲ καὶ τελευταῖον ἀνυψοῖ τὸν ἄνθρωπον εἰς τὴν πρὸς Θεὸν ἀφομοίωσιν, εἰκόνα ζῶσαν αὐτὸν αὐτοῦ ἀποφαίνουσα! Δυνάμει μὲν γὰρ ὑπάρχει εἰκὼν τοῦ Θεοῦ, ὡς τὰ πρὸς τοῦτο κεκτημένος ἀναγκαῖα χαρίσματα, ἔργῳ δὲ τοιοῦτος γίνεται διὰ τῆς ἀγάπης. Οἷος ὁ καρπὸς τῆς ἀγάπης! Ἐὰν δὲ πρὸς ταῦτα παραβάλωμεν καὶ τὰ ἐκ τῆς ἐναντίας γνώμης γινόμενα κακὰ, ἐναργέστερον τότε κατανοήσομεν τὴν ἀνάγκην τοῦ διηνεκῶς ὑποθάλπειν τὸ τῆς ἀγάπης ἱερὸν πῦρ, καὶ διηνεκῶς ὑπ' αὐτοῦ θερμαίνεσθαι. Ἀλλ' οὐκ ἔστιν ἀεὶ, καθάπερ ἔδει, οὐδὲ παρὰ πᾶσιν ἡ αὐτὴ, διά τε τὴν ἑκάστου ἰδιοτροπίαν, καὶ τὰ ἴδια συμφέροντα, καὶ τὴν κατὰ τὸ μᾶλ-

(α) Ματθ. κέ. 40.

Digitized by Google

λον ἢ ἧττον σπουδαίαν ἐπὶ τῶν εἰς τὴν ἀγάπην προτρεπόντων ἡμᾶς λόγων διάσκεψιν. Ὥσπερ γὰρ πάντα ταῦτα ἐν ἡμῖν διαφέρει, οὕτω καὶ ἡ πρὸς τὸν πλησίον ἀγάπη διαφέρει, διὸ δεῖ ἕκαστον τὰ κωλύματα αἴρειν παντὶ σθένει, ὅπως εἰς μείζονα καὶ τελειοτέραν τὴν ἀγάπην προαγάγῃ.

§. 91. *Περὶ τῶν τῇ ἀγάπῃ ἀντικειμένων.*

Τῇ πρὸς τὸν πλησίον ὀφειλομένῃ ἀγάπῃ ἀντίκειται ἁ, ἡ ἀδιαφορία· β', ἡ δυσμένεια· γ', τὸ μῖσος καὶ ἡ ἔχθρα. Καὶ ἡ μὲν ἀδιαφορία μέση τις τῆς ἀγάπης καὶ τῆς δυσμενείας τυγχάνει, ὡς ἔλλειψις τῆς ὀφειλομένης ἀγάπης. Οὔτε γὰρ ἐπὶ τῇ εὐτυχίᾳ τοῦ πλησίον χαίρει, οὔτε τῇ δυστυχίᾳ λυπεῖται, ἀλλ' οὐδὲ ἐφήδεται ὁ ἀδιάφορος, ἀλλὰ ψυχρός τίς ἐστι, καὶ ὅλως ἄφροντις περὶ τῶν συμβαινόντων τῷ πλησίον, πάντα φιλαδελφίας σπινθῆρα ἀπεσβεσμένον ἔχων. Ὁ δὲ τῇ μὲν εὐτυχίᾳ τοῦ πλησίον λυπούμενος, τοῖς δὲ δεινοῖς αὐτοῦ ἐπιχαίρων καὶ ἀρεσκόμενος, οὗτος δυσμενὴς λέγεται, καὶ ἡ κακία αὐτοῦ δυσμένεια, μείζων καὶ χείρων τῆς ἀδιαφορίας οὖσα, ὡς γνώμη φαύλη κατὰ τοῦ πλησίον, ἀπ' εὐθείας τῇ φιλαδελφίᾳ ἀντικειμένη. Τὸ δὲ μῖσος διαφέρει τῆς δυσμενείας, ὅτι ἡ μὲν ἐμφωλεύει καὶ ἐγκρύπτεται τῇ ψυχῇ, τὸ δὲ ἐν παντὶ καιρῷ ἐκρήγνυται εἰς ὀνειδισμοὺς, καὶ ἀδικίας, καὶ ἐκφαύλισιν τοῦ μισουμένου. Ὅτι δὲ καὶ ἡ ἀδιαφορία ἀσυμβίβαστον τῷ τῆς ἀγάπης καθήκοντι, διδάσκουσι τότε λογικὸν καὶ ἡ θεία Γραφὴ ὁμοφώνως. Τὸ μὲν γὰρ τὴν γένεσιν καὶ τὴν ἀξίαν καὶ τὴν κλῆσιν τοῦ ἀνθρώπου γινῶσκον, οὐδέποτε ἀδιαφορίας ἄξιον κρίνει αὐτὸν, πρὸς ὃν ἡ ἄπειρος τοῦ Θεοῦ ἀγαθότης καὶ σοφία οὕτως εὐμενῶς τε καὶ διακεκριμένως φέ-

Digitized by Google

ρεται· ἡ δὲ Γραφὴ διακελεύεται· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· ὃ δὴ θετικόν τί ἐστι, καὶ οὐκ ἀδιαφορίαν δηλοῖ, ὡς ἐξ ἀρχῆς παρὰ πάντων καὶ ἐνοήθη καὶ ἡρμηνεύθη. Θαυμαστὸν δὲ καὶ τὸ ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου ἐν τῇ ἀποκαλύψει περὶ τῆς ἀδιαφορίας καὶ τῆς κατ' αὐτὴν κακίας εἰρημένον. « Οἶδά σού, φησι, τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς εἶ, οὔτε ζεστός· ὄφελον ψυχρὸς εἴης, ἢ ζεστός· οὕτως ὅτι χλιαρὸς εἶ, καὶ οὔτε ψυχρὸς, οὔτε ζεστὸς, μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός μου » (α). Ἡ δὲ δυσμένεια καὶ τὸ μῖσος καὶ ἡ ὀργὴ ἀντίθετα ὅλως εἰσὶ, μᾶλλον δὲ, ἀνατρεπτικὰ τῆς φιλαδελφίας, ὡς γνώμη φαύλη κατὰ τοῦ πλησίον, καὶ προθυμία τοῦ ἀθετεῖν παντοίως τὰ πρὸς αὐτὸν καθήκοντα. Ὥσπερ οὖν ἡ ἐντολὴ τῆς φιλαδελφίας μεγάλη καὶ σύντονος, καὶ τὸ καθῆκον μέγα καὶ σπουδαιότατον, οὕτω καὶ τὸ μηδενὶ τῶν πολεμίων αὐτῇ συγχωρεῖν ἐγγίνεσθαι. Διὰ τοῦτο καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν κελευόμεθα (β), καὶ φανερῶς ἀναγγέλλεται ἡμῖν, ὅτι « ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν, μένει ἐν τῷ θανάτῳ· καὶ πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστὶ, καὶ οἴδατε, ὅτι πᾶς ἀνθρωποκτόνος, οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν » (γ). Ἀξιομνημόνευτοι δὲ διὰ παντὸς καὶ οἱ τοῦ μακαρίου Παύλου περὶ τούτου λόγοι· « Μὴ γίνεσθέ, φησι, φρόνιμοι παρ' ἑαυτοῖς, μηδενὶ κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες, προνοούμενοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων, εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες (χωρὶς ὀλάβης ἠθικῆς, ἐννοεῖται) Μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοὶ, ἀλλὰ δότε τόπον τῇ ὀργῇ (ἕως ἂν ἐφ' ἡσυχίας περὶ τῶν καθ'

(α) Ἀποκαλ. γ'. 15—16. (β) Ματ. ε'. 44. (γ) Ἰωαν. Α'. Ἐπιστο. γ'. 14—15.

Digitized by Google

ὑμᾶς σκέψησθε)· γέγραπται γὰρ, ἐμὴ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. Ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτὸν, ἐὰν διψᾷ, πότιζε αὐτόν. Τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν » (α). Πλὴν δὲ τῶν εἰρημένων ὑπάρχουσι καὶ ἄλλα, οὐχ ἧττον τῇ φιλαδελφίᾳ ἀντικείμενα, οἷον ἀ, ἡ πρὸς τὴν τρυφὴν καὶ τὴν ἡδυπάθειαν ἄτακτος ῥοπή· β', ἡ τοῦ πλούτου καὶ τῆς ἄλλης περιουσίας ἀκόρεστος ἐπιθυμία· γ', ἡ πρός τινας ἐξαίρετος τυφλὴ εὔνοια· δ', ἡ μεγάλη πρὸς τοὺς ἄλλους αὐστηρότης· ε, ἡ ἄγνοια καὶ ἡ ὀλιγωρία τῆς τάξεως, καθ' ἣν δεῖ ἐπιτελεῖν τὰ τῆς φιλαδελφίας καθήκοντα. Πάντα γὰρ ταῦτα κωλύει πολλοὺς ἐπιμελεῖσθαι τῶν τῆς ἀγάπης καθηκόντων, ἢ καὶ αἴτια γίνεται τοῦ ἀντιπράττειν αὐτοῖς. Μαρτυροῦσι ταῦτα πολλὰ τῆς Γραφῆς χωρία, καὶ τὰ ἐν τῷ βίῳ καθ' ἑκάστην συμβαίνοντα. Διὰ τοῦτο καὶ εὐθύνη μεγάλη ἐπ' αὐτοῖς κεῖται, κατὰ τὸ ἐξ αὐτῶν κωλυόμενον τῆς ἀνθρωπότητος ἀγαθὸν, ἢ τὸ προσγινόμενον κακὸν, καὶ τὴν αἰτίαν, δι' ἣν οὕτως ἔχει πρὸς τὸν πλησίον, καὶ τὸ μῆκος τοῦ χρόνου, καὶ τὸν βαθμὸν, εἰς ὃν τὸ μῖσος προέβη.

§. 92. *Ἐνστάσεις τῶν τῆς ἀδελφικῆς ἀγάπης ὀλιγωρούντων.*

Οὐ πρὸς ἐμοῦ, φασι, περὶ ἄλλων φροντίζειν, μηδενὸς περὶ ἐμοῦ φροντίζοντος. Οἱ γὰρ πάντες τὸ ἑαυτῶν ζητοῦσι, κἂν φαίνωνται φιλοφρόνως πρὸς τοὺς ἄλλους ἔχοντες. Ἕκαστος δὲ προσέχει ἑαυτῷ, καὶ προνοεῖ περὶ ἑαυτοῦ, ὅση δύναμις, καὶ ὀλίγοι εἰσὶν, οἱ ἀλλοτρίας

(α) Ῥωμ. ιβ'. 16—21.

Digitized by Google

βοηθείας δεόμενοι. Πολλοὶ δὲ καὶ τῇ τῶν ἄλλων καλοκαγαθίᾳ ὑπὲρ τὸ δέον θαρρήσαντες, ἐν τῇ καρδίᾳ διεφθάρησαν, ἢ ἐπαῖται ἐγένοντο. Οὐδένα δ' ἐγὼ τοῦ πλούτου φθονῶ, ἐχέτω τὸ ἑαυτοῦ ἕκαστος, ἀλλὰ καὶ διδόναι, ἢ βοηθεῖν ἑκάστῳ, καθὰ βούλεται, τίς ἂν ἐξαρκέσειεν; Οἱ πλεῖστοι τῶν ἀνθρώπων ἀνάξιοι ἐλέους τυγχάνουσι διὰ τὴν πρὸς τοὺς εὐεργέτας αὐτῶν ἀγνωμοσύνην, διὰ τὴν κατάχρησιν τῆς τοῦ εὐεργέτου ἀγαθότητος, διὰ τὸν σκανδαλώδη βίον, ἐκ τοῦ ἐλέους ἀεὶ τρέφεσθαι βουλομένων.

Απ. Πολλὰ μὲν τούτων ἐνίοτε ὀρθῶς λέγονται, ἀλλ' οὐδέποτε ἰσχύουσι δικαιῶσαι τὴν πλεονεξίαν καὶ τὸ ἀφιλάδελφον τοῦ τρόπου, οὐδ' ἀπαλλάξαι ἡμᾶς τοῦ τῆς φιλαδελφίας καθήκοντος. Τοῦτο δὲ μόνον δηλοῦσιν, ὅτι μετὰ φρονήσεώς τε καὶ προνοίας δεῖ τὴν εὐεργεσίαν γίνεσθαι, ἵνα μὴ εἰς ἀναξίους καταναλίσκηται· οὐ γὰρ δεῖ τῇ ὀκνηρίᾳ καὶ ἐξαχρειώσει τῶν ἀνθρώπων συνεργεῖν, οὐδὲ τὴν ἀσωτείαν εὐεργετεῖν. Εἶτα δὲ καὶ τὸ τῆς ἀδελφικῆς ἀγάπης οὐ μόνον ἐν τῷ μεταδιδόναι ὑφίσταται, ὡς ἐν ταῖς εἰρημέναις ἐνστάσεσι δοκεῖ, ἀλλὰ καὶ ἐν τῇ προαιρέσει καὶ τῇ προθυμίᾳ τοῦ ἐπιτελεῖν πάντα καὶ πρὸς πάντας τὰ τῆς εὐποιΐας καὶ τῆς δικαιοσύνης καθήκοντα, ἀλλὰ καὶ εἰς ἔργον δεῖ ἐν καιρῷ τὴν προαίρεσιν ταύτην καὶ τὴν προθυμίαν ἥκειν.

§. 93. *Περὶ τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης.*

Πολλὰ μὲν τὸ ἄρθρον τοῦτο τῆς ἠθικῆς ἀντιλέγεται, ἀλλὰ καὶ οὐδενὸς ἄλλου χεῖρον πολλάκις κατενοήθη. Φασὶ δὲ, ὡς τὸ ἀγαπᾷν τοὺς ἐχθροὺς παρὰ φύσιν ἐστί· καὶ ἠλίκον κακὸν οὐκ ἂν ἐγίνετο τοῖς ἀνθρώποις, εἰ τοῦτο πανταχοῦ ἐκράτει; Ἆρ' οὐχὶ δι' αὐτοῦ ἡ ὕβρις καὶ ἡ κακουργία ἐβοηθεῖτο, καὶ τὸ θράσος ηὐ-

Digitized by Google

ξανε τῶν κακούργων, εἰ καὶ βίαια πράττοντες ἠγαπῶντο; Πάντα ταῦτα κεναί εἰσιν ὑπόνοιαι, καὶ οὐδὲν πλέον, ὡς ψευδεῖ γνώμῃ περὶ τῆς διανοίας τῆς ἐντολῆς στηριζόμεναι. Ὑπολαμβάνουσι γὰρ οὐκ ὀρθῶς, ὅτι ἡ ἐντολὴ πᾶσαν ἀφίησι τὴν ἀδικίαν, καὶ ἀφιέναι ὑποχρεοῖ ἡμᾶς πᾶσαν τὴν παρὰ τοῦ βουλομένου ἀδικεῖν γινομένην πρὸς ἡμᾶς ζημίαν, καὶ ὅλως ἐπιλελῆσθαι αὐτῆς· ἡ δὲ ἐντολὴ οὐ τοῦτο βούλεται, οὐδ' ἀπαγορεύει ἀγανακτεῖν ἐπὶ τῇ παρὰ τῶν ἐχθρῶν ὕβρει καὶ ἀδικίᾳ τῇ πρὸς ἡμᾶς, ἢ δεικνύναι παῤῥησίᾳ τὴν ἐπ' αὐτῇ ἀγανάκτησιν καὶ λύπην, οὐδὲ τὸ ζητεῖν· ἐν ἀνάγκῃ, ἢ ἐν καιρῷ, τὴν προσήκουσαν ἱκανοποίησιν· ἀλλὰ τοῦτο βούλεται, τὸ ἐν μετριότητι πάντα ταῦτα γίνεσθαι, καὶ μὴ ἐχθρικὴν γνώμην τῇ ἐκείνων φαύλῃ προαιρέσει ἀντιτάσσειν, ἀλλὰ διὰ τῆς νομίμου ἀρχῆς, καὶ μετ' ἀληθείας καὶ ἐπιεικείας τὸ ἱκανὸν αἰτεῖν, καὶ ὅπου ἡ ζημία μεγάλη ὑπάρχει, καὶ ἡ ἱκανοποίησις μέσον ἀσφαλὲς τοῦ τὰς βιαιοπραγίας τοῦ λοιποῦ κωλῦσαι δοκεῖ. Πολλάκις δὲ καὶ διὰ μόνης τῆς χριστιανικῆς μεγαλοψυχίας αἱ ἐχθροπραξίαι ἀναιροῦνται, ἐπειδάν τις μηδὲ προσέχειν τοῖς γενομένοις δοκῇ. Οὕτω δὲ ἡ ἐντολὴ τοῦ ἀγαπᾷν τοὺς ἐχθροὺς οὐκ ἄν ποτε τῇ κακουργίᾳ ἢ τῇ βιαιοπραγίᾳ βοηθήσειεν, ἀλλὰ τοὐναντίον συντηρητικὴ μᾶλλον ἂν γένοιτο τῆς εἰρήνης καὶ ὁμονοίας, καὶ ἐπανορθωτικὴ, ὅπου ἂν πρὸς καιρὸν διακοπῇ. Μαρτυρεῖται δὲ καὶ ὑπὸ τῆς ἱστορίας, ὅτι ἐκεῖ μάλιστα σπανιωτάτη ἡ βιαιοπραγία συνέβαινεν, ὅπου ἡ ἐντολὴ ἀκριβέστατα ἐτηρεῖτο· τοὐναντίον δὲ ὑπερηύξανεν, ὅπου μετ' ἐπιμονῆς ἡ ἐκδίκησις ἐζητεῖτο. Καθάπερ γὰρ ἡ τῶν λίθων πρὸς ἀλλήλους τριβὴ οὐκ ἐλαττοῖ, ἀλλὰ μᾶλλον αὔξει τὴν θερμότητα, οὕτω καὶ ἡ τῶν ἀνθρώπων σύγκρουσις αὐξάνει τε καὶ κρατύνει τὰ πάθη.

Digitized by Google

§. 94. *Περὶ τοῦ τί ἰδίως ἀπαιτεῖ τὸ καθῆκον τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης.*

Τοῦ καθήκοντος τούτου τὸ μέν ἐστιν ἀποφατικόν, τὸ δὲ καταφατικόν· κἀκεῖνο μὲν οὕτω πως λέγεται· Μηδαμῶς πρὸς μηδένα ἐχθρικῶς ἔχειν στέργε· τοῦτο δὲ οὕτως· Ἐπιμελοῦ διὰ τοῦ δικαίου τρόπου, καὶ τῆς ἐν τάξει διαλλαγῆς, ἐὰν καὶ αὕτη πρὸς ἡσυχίαν τῶν διαιρεθεισῶν διαθέσεων ἀναγκαία τυγχάνῃ, τὸν ἐν ἔχθρᾳ γενόμενον ἀδελφόν σου ἀνακτήσασθαι, ὑπ' οὐδεμιᾶς ζημίας ἢ ὕβρεως ἐκτρεπόμενος τῆς ἀγαθῆς γνώμης. Ὅτι δὲ ἀπαραίτητον τὸ καθῆκον τοῦτο ὑπάρχει, ἐδήλωσεν ὁ Σωτὴρ ἡμῶν εἰπών· «Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου» (α). Οὐκ ἄρα ἀρκεῖ μόνον πρὸς τὴν τοῦ καθήκοντος ἐκπλήρωσιν τὸ μὴ βίᾳ ἀμύνασθαι τὸν ἀδικήσαντα, ἀλλὰ καὶ διαλλάττεσθαι χρὴ πρὸς αὐτόν· Ἄριστον δὲ πρὸς διαλλαγὴν τὸ διὰ τῆς πρὸς ἀλλήλους χρηστῆς καὶ νομίμου διαγωγῆς δεικνύναι, μὴ μόνον μηδὲν διανοεῖσθαι κακόν, ἀλλὰ καὶ προθύμως ἔχειν ἀγαθοποιεῖν, καὶ ἔργῳ τὴν τοιαύτην γνώμην δηλοῦν ἐν καιρῷ τῷ ἐχθρῷ. Ἀπαιτεῖται δὲ μάλιστα ἡ διαλλαγὴ ἀ, ὅπου ἡ ἀγανάκτησις ἐπὶ μέγα προέβη· β', ὅπου καὶ ζημία μεγάλη ἐκ ταύτης ἐγένετο, καὶ περιέργειαν καὶ θαυμασμὸν πολὺν ἀνεκίνησεν. Αἴτια δὲ, δι' ἃ δεῖ καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν, τὰ αὐτά εἰσιν, ἃ καὶ τῆς καθόλου ἀγάπης πρὸς τὸν

(α) Ματθ. ε. 23.

Digitized by Google

πλησίον προειρήκαμεν· ἄνθρωπος γὰρ καὶ πλησίον καὶ ὁ ἐχθρὸς, καὶ τέκνον τοῦ Θεοῦ, καὶ πρὸς τὸ αὐτὸ τέλος κτισθείς. Πῶς οὖν μισεῖν δυναίμεθα, καὶ μὴ ἀγαπᾷν τὸν ὑπὸ τοῦ πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς ἀγαπώμενον; Οὕτω γὰρ καὶ ἡμεῖς αὐτοὶ τοῦ σκοποῦ ἀποπλανώμεθα, καὶ τῷ πλησίον ἀφορμὴν ἀποπλανηθῆναι παρέχομεν. Ἀλλ' οἵαν εὐθύνην πρὸς τὸν Θεὸν διὰ τοῦτο ἀναδεχόμεθα! Ἀλλ' ἐπανίσταταί, φασιν, ἡ φύσις κατὰ τοῦ καθήκοντος τούτου. Ποία φύσις, ἡ σαρκικὴ, ἢ ἡ πνευματική; Πάντως δήπου ἡ σαρκικὴ καὶ διεφθαρμένη· ἀλλ' ὑπακούειν αὐτῇ προσήκει, οὐχὶ δὲ ἄρχειν ἐν τῷ ἀνθρώπῳ, ἄλλως δὲ οὐκ ἐμμένομεν τῇ ἡμετέρᾳ ἀξίᾳ· διὸ καὶ καταστέλλειν αὐτὴν τὸ πνεῦμα τὸ ἡγεμονικὸν χρή. Κανὼν δὲ πρῶτος τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης ἔστω ἡμῖν αὐτὸς ὁ Θεὸς καὶ πατὴρ, ὃς καὶ θεὸς τῆς εἰρήνης, καὶ θεὸς τῆς ἀγάπης καλεῖται πολλάκις ἐν τῇ ἁγίᾳ Γραφῇ, διὸ καὶ ἡμᾶς βούλεται ἐν ἀγάπῃ ἀνυποκρίτῳ ἀλλήλους ἀγαθοποιεῖν, καθάπερ αὐτὸς οὐ κωλύεται ὑπὸ τῆς παρ' ἡμῶν ἀγνωμοσύνης ἀνατέλλειν τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηρούς τε καὶ ἀγαθοὺς, καὶ βρέχειν ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ πάντας ἀγαθοποιεῖν, οὐδενὶ τὰς εὐεργεσίας ὀνειδίζων. Οὕτω δεῖ καὶ ἡμᾶς ὁμοιοῦσθαι αὐτῷ, προθύμως εἰς τὸ ἀγαθοποιεῖν ἔχοντας, καὶ μὴ εἰς εὐχαριστίας καὶ ἀμοιβὰς τὰς παρὰ τῶν ἀνθρώπων ἀφορᾷν, ἵνα ἔργῳ καὶ ἀληθείᾳ υἱοὶ αὐτοῦ γενώμεθα. Δεύτερος δὲ, αὐτὸς ὁ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς, ὃς λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως » (α)· ἠγαθοποίει δὲ καὶ τοὺς ἑαυτοῦ διώκτας, καὶ ἐπὶ τοῦ σταυροῦ ἐκπνέων, ὑπὲρ τῶν ἑαυτοῦ σταυρωτῶν ἐδέετο. Εἶτα καὶ ἐδιδα-

(α) Α'. Πετρ. 6'. 23.

Digitized by Google

σχεν οὕτω λέγων· « Ἐὰν ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; Οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσιν; » Οὐ τοίνυν ἄλλως χρὴ ἐν τοῖς ὀπαδοῖς αὐτοῦ συμβαίνειν, οὐδὲ μιμεῖσθαι τοὺς τὴν φιλίαν ἐμπορευομένους καὶ καπηλεύοντας. Ἐκεῖνοι γὰρ, ὅπου ἂν κέρδος ὁρῶσιν, ἐκεῖ μόνον φιλοῦσιν· ἀφίστανται δὲ παραχρῆμα, ὅθεν οὐδὲν ὄφελος ὑποδείκνυται. Τὸν δὲ τοῦ Χριστοῦ μαθητὴν οὐ τὸ κέρδος, ἀλλὰ τὸ καθῆκον χρὴ ὁδηγεῖν, καὶ τὸ πρακτέον ἐν πᾶσιν ὑφηγεῖσθαι.

§. 95. *Περὶ τοῦ τί ἡ ῥρόνησις περὶ τῆς ἔχθρας καὶ τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης ὑπαγορεύει.*

Οὐδέποτε δεῖ χωρίζεσθαι ἀπὸ τῆς ἠθικῆς τὴν φρόνησιν. Αὐτὸς γὰρ ὁ Ἰησοῦς Χριστὸς ἐντέλλεται τὸ, « Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραὶ » (α). διὸ καὶ τοῖς ἑπομένοις προσεκτέον ἀεὶ, ὡς ὑπὸ τῆς φρονήσεως ὑπαγορευομένοις. Α', Μὴ ῥᾳδίως πιστεύειν περί τινος, ὅτι ἐχθρὸς, χωρὶς φανερῶν ἀποδείξεων τῆς αὐτοῦ ἔχθρας. Β', Πεισθέντα δὲ περὶ τῆς ἔχθρας, διότι ἐκ προδήλου κακῆς γνώμης ζημίαν, ἢ ὕβριν ἐπήνεγκεν, ἀποστρέφειν μὲν τὸ βλέμμα ἀπὸ τῆς ζημίας καὶ τῆς ὕβρεως, σκοπεῖν δὲ μάλιστα τοὺς λόγους, οἷς ἡ ὀργὴ καὶ τὸ μῖσος δαμάζονται. Γ', Ἀναλογίζεσθαι τὴν ἐν γένει ἀσθένειαν τοῦ ἀνθρωπίνου νοὸς, καὶ εἰς ταύτην ἀναφέρειν τὸ γενόμενον, καὶ εἰς τὴν τοῦ πάθους ἀνάζεστιν, καὶ θρηνεῖν συμπαθῶς τὴν τῶν ἀνθρώπων ἀθλιότητα, δι' ἣν οἱ πλεῖστοι, δοῦλοι τῶν ἀλόγων ἐπιθυμιῶν γίνονται. Δ', Ἀνθίστασθαι παραχρῆμα τῇ ὀργῇ, καὶ κωλύειν τὴν ἐν λόγῳ, ἢ πράξει, ἢ σχή-

(α) Ματθ. ί. 16.

Digitized by Google

ματι φανέρωτιν αὐτῆς, καὶ μᾶλλον ζημίαν καὶ θλίψιν αἱρεῖσθαι, εἰ οὕτως ἀπαλλαγῆναι τῆς ἔχθρας, ἢ φυλάξασθαι αὐτὴν οἷόν τε. Ε'. Εἰ δ' ἀνάγκη τὴν ἔχθραν ὑποστῆναι, μὴ δυνηθέντα διαφυγεῖν αὐτὴν, καί τοι παντὶ θεμιτῷ τρόπῳ χρησάμενον, μὴ πάνυ πτοεῖσθαι, καὶ μάλιστα, εἰ ὑπὸ πονηρῶν ἀνθρώπων διὰ χρηστότητα, ἢ ὡς κωλύων αὐτοὺς ἀφ' ὧν διανοοῦνται κακῶν, μισοῖτο. Οὐ γὰρ θέμις ὑπὲρ τῆς εἰρήνης ἐργάσασθαι τὸ κακὸν, ἢ γοῦν συνεργῆσαι τῇ πράξει αὐτοῦ. « Μακάριοί, φησιν, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ » (α). Κεφάλαιον δὲ, ἔχθραν μὲν μὴ ζητεῖν, μηδ' ἀφορμὴν εἰς ἔχθραν διδόναι τὸ καθ' ἑαυτὸν, εἰ δ' ἄλλοι ὁπωσδήποτε ἐχθροὶ γίνονται, ὑπομένειν μετὰ χριστιανικῆς φρονήσεως, μηδέποτε τῆς ἀγαθῆς γνώμης ὑπὲρ τῆς ἀνθρωπότητος ἐκτρεπόμενον. « Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν » (β).

Σημ. Ὅπερ ἐν τῇ φύσει αἱ θύελλαι, τοῦτό εἰσιν ἐν τῇ κοινωνίᾳ αἱ ἔχθραι, συντριβῆς μέσα ἰσχυρά. Τῷ δὲ πιστῷ καὶ φρονίμῳ ἀνδρὶ καὶ εὐκαιρία πολλάκις εἰς γύμνασιν γίνεται παντοίας ἀρετῆς, οἷον ὑπομονῆς, πραότητος, μεγαλοψυχίας, ἀδελφικῆς ἀγάπης, ἀφοσιώσεως εἰς τὸν Θεὸν κ. τ. λ., τῷ δ' ἀστηρίκτῳ πολλῶν ἁμαρτημάτων ἀφορμὴ γίνεται, καὶ πρὸς τὸν Θεὸν, καὶ πρὸς τοὺς ἀνθρώπους, καὶ πρὸς τὴν τοῦ ὅλου ἤθους τελείαν διαστροφήν· ἀλλὰ τὸ μὲν ἀγαθὸν τὸ ἐκ τῆς ἔχθρας κατὰ συγκυρίαν μόνον συμβαίνει, τὸ δὲ κακὸν, φύσει παρέπεται αὐτῇ, καὶ εἰς αὐτὸ πέφυκε τείνειν· διὸ καὶ ὄντως κακὸν τοῖς ἀνθρώποις διὰ παντὸς ἡ ἔχθρα.

Ἐκ δὲ τῶν περὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης μέ-

(α) Ματ. ε. 11 (β) Ματθ. ε. 44.

Digitized by Google

χρι τοῦδε εἰρημένων συνάγεται, ὅτι αὕτη ἐστὶ κρεῖττόν τι καὶ τιμιώτερον, ἢ ἡ ἁπλῶς σαρκικὴ κλίσις καὶ συμπάθεια, ἣν τινες ἐνίοτε πρὸς ἀλλήλους αἰσθάνονται, ἢ ἡ ἰδιοτελὴς καὶ καπηλικὴ χαρίτων ἀνταλλαγὴ, ἢ ἡ κατ' ἐπιφάνειαν δεικνυομένη πρὸς ἀλλήλους φιλοφροσύνη δι' εὐπρέπειαν.

§. 96. *Περὶ τῶν κυριωτέρων καθηκόντων πρὸς τὸν πλησίον.*

Τῶν πρὸς τὸν πλησίον ἡμῶν καθηκόντων τὰ μὲν εἰς τὸ πνεῦμα ἀναφέρονται, τὰ δὲ εἰς τὸ σῶμα. Ἐπεὶ οὖν τὸ πνεῦμα κυρίως ἐστὶν ἡ ζῶσα εἰκὼν τοῦ αἰωνίου καὶ ἀοράτου Θεοῦ, ἱκανὸν ἐξομοιωθῆναι αὐτῷ, καὶ εἰς τοῦτο κέκληται καὶ προώρισται, καὶ ἐν τούτῳ ἡ ἀληθὴς αὐτοῦ μακαριότης ὑπάρχει, τὸ βοηθεῖν αὐτῷ εἰς δύναμιν, καὶ μὴ κωλύειν τὴν εἰς αὐτὸ ἐπίδοσιν καὶ προκοπήν· τοῦτο πρῶτον καὶ κυριώτατον τυγχάνει τῶν πρὸς τὸν πλησίον ἡμῶν καθηκόντων. Ἔστι δ' αὐτοῦ τὸ μὲν καταφατικὸν ἐκφραζόμενον οὕτως· Συνέργει, ὅσον οἷόν τε, τῷ πλησίον εἰς τὸ προβαίνειν ἀεὶ καὶ προσεγγίζειν εἰς τὸ κράτιστον αὐτοῦ τέλος, πρὸς ὃ ἐπλάσθη καὶ προωρίσθη ὑπὸ τῆς τοῦ Θεοῦ ἀγαθότητος. Τὸ δὲ ἀποφατικὸν οὕτως· Φυλάττου, μήτι ἐν τῷ πλησίον διαφθείρῃς, μηδένα μηδαμῶς κώλυε, μήτε δόλῳ, μήτε βίᾳ, τῆς πρὸς τὸ κράτιστον αὐτοῦ τέλος σπουδῆς. Καὶ τοῦ μὲν καταφατικοῦ ἡ ἐκπλήρωσις ἐκ πολλῶν καὶ ποικίλων ἤρτηται, οἷον, τοῦ χρόνου, τοῦ προσώπου, τῆς χρείας αὐτοῦ, καὶ τῶν ἰδίων χαρισμάτων· ἐὰν γάρ τις τῆς παρ' ἡμῶν βοηθείας καὶ ἀντιλήψεως δέηται, ἡμεῖς δὲ βοηθεῖν αὐτῷ οὐκ ἀδύνατοι ὦμεν, καθῆκον τότε πάσῃ δυνάμει βοηθεῖν, καὶ μηδὲν πρὸς τοῦτο παραλείπειν· τοῦ δὲ ἀποφατικοῦ ἀπο-

Digitized by Google

λύτως καὶ παρὰ παντὸς ἀπαιτεῖται ἡ ἐκπλήρωσις. Οὔτε γὰρ χρόνος, οὔτε τόπος ἐστὶν, ἐν ᾧ συγχωρεῖται διαφθεῖραί τινα, ἢ κωλῦσαι αὐτὸν ἀπὸ τῆς πρὸς τὸ κράτιστον αὐτοῦ τέλος σπουδῆς· μέγα γὰρ ἂν εἴη ἁμάρτημα εἰς τὴν ἀξίαν καὶ εἰς τὴν κλῆσιν τοῦ ἀνθρώπου, μᾶλλον δὲ, καὶ εἰς τὸν ποιητὴν αὐτοῦ τὸν Θεόν. Δῆλον δὲ ἐξ ὧν ὁ Προφήτης παρὰ τοῦ Θεοῦ λέγει· « Ὁ ἁπτόμενος ὑμῶν, ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ, λέγει κύριος παντοκράτωρ » (α)· καὶ ἐξ ὧν ὁ Χριστός· « ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε » (β).

§. 97. *Περὶ τῆς ἀξίας καὶ τῆς ὠφελείας τούτου τοῦ καθήκοντος.*

Οὐδὲν οὔτε σπουδαιότερον οὔτε ὀνησιμώτερον τοῖς ἀνθρώποις, ἢ τὸ ἐκ τῆς ἐκπληρώσεως τοῦ εἰρημένου καθήκοντος γινόμενον. Οὐ γὰρ μόνον τὸ κωλύειν τινὰ ἀπὸ τῆς πρὸς τὸ κράτιστον αὐτοῦ τέλος σπουδῆς ὑπ' αὐτοῦ ἀπαγορεύεται, ἀλλ' ἅμα καὶ τὸ βοηθεῖν καὶ ἀρήγειν πάσῃ δυνάμει εἰς τὴν ἐπιτυχίαν αὐτοῦ παραγγέλλεται. Οἷον δὲ καὶ ἡλίκον ἀγαθὸν ἐκ τούτου, εἰ παρὰ πάντων, ὡς ἔδει, ἐτηρεῖτο, τῇ ἀνθρωπότητι συνέβαινε, καὶ ὅσων κακῶν ἂν εἴη ἀπηλλαγμένη, οὐχ οἷόν τε ἐξειπεῖν. Γεννᾶται δ' ἀμέσως ἐκ τῆς ἀδελφικῆς ἀγάπης, μᾶλλον δὲ τοῦτο πρῶτον παρ' ἡμῶν ἀπαιτεῖ ἡ ἀδελφικὴ ἀγάπη. Εἰ γὰρ μὴ ἀπήτει, οὐκ ἂν ἦν ἄδολος καὶ γνησία· διὸ καὶ οἱ αὐτοὶ λόγοι εἰσὶ περὶ τοῦ καθήκοντος τούτου, οὓς καὶ περὶ τῆς ἀγάπης πρότερον εἴπομεν. Τὸ δὲ πρὸς τὴν τήρησιν αὐτοῦ ἐνισχύον ἡμᾶς, τὸ μέγα ἐστὶ παρά-

(α) Ζαχαρ. β'. 8. (β) Ματθ. κί. 40.

Digitized by Google

δειγμα τοῦ Θεοῦ καὶ τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ υἱοῦ τοῦ Θεοῦ. Τὸ γὰρ προσφιλέστατον ἐνασχόλημα τοῦ ὑψίστου Θεοῦ, εἰ θέμις οὕτω λέγειν, ἐστὶ τὸ πάντας ἀνθρώπους διατρέφειν, καὶ βοηθεῖν αὐτοῖς, ὅπως ἀεὶ μᾶλλον εἰς αὐτὸν προσεγγίζωσι κατά τε τὴν ἠθικὴν τελειότητα, καὶ τὴν ἐσωτερικὴν γαλήνην καὶ μακαριότητα. Πρὸς τοῦτο τείνουσι πάντα, ὅσα ἀπὸ καταβολῆς κόσμου μέχρι καὶ νῦν πανσόφως καὶ παναγάθως ὑπὲρ ἡμῶν ᾠκονόμησε, καὶ ὅσα ἡμῖν ἀποκαλυφθῆναι ηὐδόκησε περὶ τῆς αὐτοῦ ὑπάρξεως καὶ τῆς μεγαλωσύνης, καὶ περὶ τῆς πρὸς αὐτὸν ἡμῶν σχέσεως. Χωρὶς γὰρ τῆς παρ' αὐτοῦ διδασκαλίας, τί ἄν περὶ αὐτῶν ἐγινώσκομεν; ἅπερ ὀρθῶς γινωσκόμενα, μέγα συντελεῖ εἰς τὸ προσεγγίζειν ἡμᾶς ἀεὶ εἰς τὸ κράτιστον ἡμῶν τέλος, καὶ μαρτύριά εἰσι τῆς ὑπὲρ ἡμῶν ὑψίστης βουλῆς τοῦ Θεοῦ. Πρὸς τοῦτο δὲ καὶ ὁ μονογενὴς αὐτοῦ υἱὸς καὶ σωτὴρ τοῦ κόσμου, ἀῤῥήτῳ συγκαταβάσει, κατῆλθε πρὸς ἡμᾶς, ἵνα πρὸς τὸ ἀρχαῖον ὕψος, ἀφ' οὗ διὰ τῆς ἁμαρτίας ἐξεπέσομεν, πάλιν ἐπαναγάγῃ, καὶ τοῦτο πρὸ παντὸς ἄλλου ἐν τῇ ἐπὶ γῆς αὐτοῦ παρουσίᾳ ἔθετο, καὶ εἰς τοῦτο πᾶσαν αὐτοῦ τὴν ἁγιωτάτην ζωὴν ἔθηκε, καὶ τοῖς ἑαυτοῦ μαθηταῖς τοῦτο ἐνετείλατο, ἀποστείλας αὐτοὺς εἰς τὸν κόσμον ἅπαντα κηρύξαι τὸ εὐαγγέλιον. Ταῦτα οὖν τὰ παραδείγματα μεγάλα εἰσὶ, καὶ ἰσχυρῶς προτρέπουσιν ἡμᾶς, ἵνα χεῖρα ἀλλήλοις ὀρέγοντες, ἐνισχύωμεν τὸν πλησίον εἰς τὴν ἐπίδοσιν καὶ προκοπὴν αὐτοῦ εἰς τὸ ὕψιστον ἡμῶν τέλος. Οὕτω γινόμεθα συνεργοὶ τοῦ Θεοῦ καὶ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν, καὶ διὰ τῆς ἀγαθοεργίας ἐξομοιούμεθα μᾶλλον, καὶ προσεγγίζομεν πρὸς αὐτόν. Ἐκ τούτων οὖν ἡ ἀξία καὶ ἡ πρὸς τοὺς ἀνθρώπους ὠφέλεια τοῦ καθήκοντος τούτου δηλοῦται.

Digitized by Google

§. 98. *Πῶς ἂν τὸ καθῆκον τοῦτο, καὶ ἐν ποίᾳ τάξει ἐπιτελοῖτο.*

Τὸ μὲν καταφατικὸν τοῦ καθήκοντος τούτου ἐκτελεῖται ά, διὰ τῆς ἀδελφικῆς παραινέτεως· β΄, διὰ τῆς ἀδελφικῆς προτροπῆς μὲν εἰς τὸ ἀγαθὸν, ἀποτροπῆς δὲ ἀπὸ τοῦ κακοῦ· γ΄, διὰ τῆς ἀδελφικῆς διορθώσεως καὶ τῆς ἐκ τῶν καλῶν παραδειγμάτων οἰκοδομῆς. Διὰ τούτων πάντων συντελεῖν ἕκαστος δύναται τῷ πλησίον πρὸς τὴν τοῦ ὑψίστου τέλους ἐπιτυχίαν, ἀλλ' ἐν τούτοις περιέχονται καὶ πάντα, ὅσα πρὸς ἀλλήλους ποιεῖν δυνάμεθα εἰς βοήθειαν πρὸς τὴν εἰρημένην ἐπιτυχίαν, διὸ καὶ ὡς τοσαῦτα δευτερεύοντα καθήκοντα λογιστέον. Τὸ δὲ ἀποφατικὸν αὐτοῦ ἐκτελεῖται διὰ τῆς προσοχῆς ά, ἵνα μηδὲν ἐξ ἀμελείας παραλίπωμεν πρὸς τὴν τοῦ θετικοῦ καθήκοντος ἐκπλήρωσιν, ὅπου ἂν ᾖ καιρός· β΄, οὐχ ἧττον δὲ, ἵνα μήτις ἐναντίον τοῦ παρὰ τοῦ θετικοῦ καθήκοντος ἀπαιτουμένου πράξωμεν. Ἡ δὲ τάξις, ἣν ἐν τῇ ἐκτελέσει τοῦ καθήκοντος δεῖ τηρεῖν, δύο τινὰ μάλιστα ἀπαιτεῖ· ά, ἐκλογὴν τῶν προσώπων, ὑπὲρ ὧν τὸ καθῆκον ἐπιτελεῖται· β΄, ἐκλογὴν τοῦ τρόπου, καθ' ὃν δεῖ ἐκτελεσθῆναι, ὅπως τῇ χρείᾳ τῶν, ἐφ' οἷς ἐκτελεῖται, προσήκῃ· τὸ μὲν, ὅτι ὅσῳ οἰκειότερον ἡμῖν τὸ πρόσωπον, καὶ ὁ κίνδυνος μείζων ἐπίκειται αὐτῷ ἀποπλανηθῆναι, ἐὰν μὴ αὐτῷ βοηθήσωμεν, καὶ πλείονος δεῖται τῆς παρὰ τῶν ἄλλων βοηθείας, ἵνα τὸν κίνδυνον διαφύγῃ, καὶ ἧττων ἐλπὶς ἀλλαχόθεν βοηθείας τυχεῖν ἀσφαλοῦς, τοσούτῳ μεῖζον ἡμῖν τὸ καθῆκον ἀντιλαβέσθαι αὐτοῦ καὶ τὸ ἀναγκαῖον παρασχεῖν· τὸ δὲ, ὅτι, εἰ μὲν διδασκαλίας μόνον ἐναργεστέρας δεῖται, ταύτης μεταδιδόναι αὐ-

Digitized by Google

τῷ χρή· εἰ δὲ καὶ προτροπῆς εἰς τὸ ἀγαθὸν, ἢ ἀποτροπῆς ἀπὸ τοῦ κακοῦ, προτρεπτέον, ἢ ἀποτρεπτέον αὐτόν· εἰ δὲ νουθεσίας καὶ διορθώσεως, ταῦτα ποιητέον· εἰ δὲ χρείαν ἔχει τοῦ ἡμετέρου παραδείγματος, ἵνα πεισθῇ, λύχνος, ἵν' οὕτως εἴπω, ὀφείλομεν αὐτῷ γενέσθαι. Οὕτω κατὰ τὴν ἑκάστου χρείαν ὑπηρετητέον. Ἡ γὰρ ἀγάπη κατὰ τὸν θεῖον Παῦλον, μακροθυμεῖ, χρηστεύεται κ. τ. λ. Ὅλως δὲ τῷ κατορθοῦν ἐν τοῖς ἀνθρώποις βουλομένῳ, μετὰ φρονήσεως δεῖ προσιέναι αὐτοῖς, φειδόμενον τῶν τε δικαιωμάτων καὶ τῆς ἀξίας καὶ τοῦ αὐτεξουσίου αὐτῶν· τῇ γὰρ βίᾳ καὶ τῇ ἀνάγκῃ οὐδὲν βάσιμόν γε καὶ διαρκὲς κατορθοῦται· διὸ καὶ προσεκτέον, μὴ ἐπαχθεῖς καὶ ὀχληροὶ γινώμεθα τοῖς, ὑπὲρ ὧν τὸ καθῆκον ἐκτελεῖται, ἀλλὰ μετὰ κοσμιότητος καὶ ἀλύπως ἕλκειν αὐτοὺς εἰς τὴν γνῶσιν καὶ τὴν ἠθικὴν τελειότητα ἀγωνιζώμεθα. Δέονται δὲ μάλιστα παραινέσεως καὶ διδαχῆς οἱ ἐν ἀγνοίᾳ τελείᾳ ὄντες, ἢ κακῶς φρονοῦντες περὶ τοῦ Θεοῦ, περὶ τῆς ἀθανασίας τῆς ψυχῆς, περὶ τοῦ ὑψίστου τέλους τοῦ ἀνθρώπου, κ. τ. λ. ταῦτα γὰρ ἀπαραίτητα πρὸς τὴν πρᾶξιν τοῦ ἀγαθοῦ· διότι ἡ γνῶσίς ἐστι τὸ τοῦ ἀνθρωπίνου νοὸς φῶς, οὐ μόνον τὸ πρακτέον αὐτῷ δεικνύουσα, ἀλλὰ καὶ ἔσωθεν συνωθοῦσα καὶ συνελαύνουσα πρὸς αὐτὸ, καὶ ὅσῳ ἐναργεστέρα καὶ περιληπτικωτέρα καὶ ἀσφαλεστέρα ἐστὶ, τοσούτῳ καὶ ἰσχυροτέρα ζωοποιὸς ἀρχὴ γίνεται τοῦ στηρίξαι αὐτὸν εἰς τὸν ἐνάρετον βίον. Ὁ εἰδὼς οὖν τὴν τοιαύτην ἄγνοιαν, καὶ δυνατὸς διδάσκειν, μεταδιδόναι ὀφείλει τοῖς ἀγνοοῦσι τὴν προσήκουσαν τῇ αὐτῶν χρείᾳ καὶ διαθέσει καὶ ἱκανότητι παραίνεσιν καὶ διδασκαλίαν. Εἰ γὰρ μὴ οὕτω πράττοι, καταφρονητὴς τοῦ ἀνθρώπου φαίνεται, καὶ κακοήθως ἀδιαφορεῖ περὶ τοῦ ἀγαθοῦ, ὃ γένοιτ' ἂν, εἰ ὁ πλησίον τῆς ἐπισκοτούσης ἀγνοίας

Digitized by Google

ἀπαλλαγείη, καὶ περὶ τοῦ κακοῦ, ὃ διὰ τὴν αὐτοῦ ἄγνοιαν πράττεται. Διὰ τοῦτο καὶ ὁ τοῦ κόσμου λυτρωτὴς ἀπὸ τοῦ κηρύγματος τῆς οὐρανίου διδασκαλίας ἤρξατο τοῦ ἔργου τῆς ἡμετέρας σωτηρίας, καὶ ἐν τῇ συστάσῃ ὑπ' αὐτοῦ ἐκκλησίᾳ μόνιμον ὡρίσατο τὴν τῆς διδασκαλίας διακονίαν, καὶ ὁ τοῦ καθήκοντος τούτου ἐπιμελῶς ἀντεχόμενος, μεγίστην ἑαυτῷ περιποιεῖται παρὰ Θεῷ καὶ ἀνθρώποις τὴν ἀντιμισθίαν. « Οἱ συνιέντες, φησὶν ἡ θεία Γραφὴ, ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος, καὶ οἱ διδάσκοντες ἄλλους ἐν δικαιοσύνῃ » (α). Ὁ δὲ Σειρὰχ οὕτω· « Ὁ ἐκφαίνων ὡς φῶς παιδείαν γνώσεως κληρονομήσει ζωὴν αἰώνιον » (β). Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος παραγγέλλει συντόνως· « Ὁ λόγος τοῦ Χριστοῦ, φησιν, ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ, διδάσκοντες καὶ νουθετοῦντες ἑαυτούς » (γ). Αἴτιος γὰρ καὶ τοῦ ἐκ τῆς παραινέσεως ἀγαθοῦ, καὶ τῆς ἀναιρέσεως τοῦ κακοῦ, ὃ διὰ τῆς παραινέσεως κωλύεται, γενόμενος ὁ τοὺς ἐν ἀγνοίᾳ καὶ πλάνῃ διδάσκων, μεγίστην κτᾶται τὴν ἀξιομισθίαν παρὰ Θεῷ καὶ ἀνθρώποις.

§. 99. *Περὶ τῆς εἰς τὸ ἀγαθὸν προτροπῆς καὶ τῆς ἀπὸ τῶν φαύλων ἀποτροπῆς.*

Ὥσπερ οἱ ἐν ἀγνοίᾳ καὶ πλάνῃ ὄντες παραινέσεως καὶ διδασκαλίας δέονται, οὕτω καὶ, οἷς ἡ προαίρεσις εἰς τὴν τοῦ ἀγαθοῦ πρᾶξιν ἐλλείπει, ἀναγκαία ἡ προτροπή. Πολλάκις γὰρ ἀδράνεια ἔμφυτος, ὡς εἰπεῖν, πρὸς τὰ ἐπίπονα ἔργα, καὶ ἡ ἄγαν φιληδονία, καὶ ἡ πλεονεξία καὶ συνήθεια τὰς κλίσεις ἡμῶν κολακεύουσα, κω-

(α) Δαν. ιβ'. 3. (β) Σειρ. κδ'. 27. (γ) Κολ. γ'. 16.

Digitized by Google

λύουσι τὴν τῶν ἡμετέρων καθηκόντων ἐκπλήρωσιν, ἢ καὶ πρὸς τὰ ἐναντία τοῦ καθήκοντος κατασπῶσιν, ὥστε ἀναγκαίως καὶ τῆς εἰς τὸ ἀγαθὸν προτροπῆς, καὶ τῆς ἀπὸ τῶν φαύλων ἀποτροπῆς δεόμεθα, ἵνα ἐν τῷ ἀγαθῷ ὦμεν, ἢ μένωμεν. Διὰ γὰρ τούτων, ἀποδεικνυομένης τῆς τοῦ καθήκοντος ἀξίας καὶ τοῦ εὐλόγου, καὶ τοῦ μεγέθους τῆς ἐξ αὐτοῦ ὠφελείας, ἔτι δὲ τοῦ τῆς ἀθετήσεως αὐτοῦ αἰσχροῦ καὶ ἐπιβλαβοῦς, καὶ τοῦ μεγέθους τῆς ἁμαρτίας, διεγείρεται τὸ τῆς τιμῆς αἴσθημα καὶ ἐνθουσιασμός τις, ὃς πείθει τὸν προτρεπόμενον ἐπιμεληθῆναι μὲν τοῦ καθήκοντος, τῆς δ' ἀθετήσεως αὐτοῦ ἀποστῆναι. Χρὴ δὲ καὶ ταύτας νῦν μὲν ἡπιώτερόν τε καὶ εὐλαβέστερον γίνεσθαι, νῦν δὲ σφοδρότερον καὶ σπουδαιότερον, καὶ νῦν μὲν κατ' ἰδίαν, νῦν δὲ παρρησίᾳ, κατὰ τὴν διάθεσιν καὶ τὴν ἰδιότητα τῶν προτρεπομένων καὶ τὰς ἄλλας περιστάσεις. Διὰ τοῦτο τοίνυν καθῆκόν ἐστι τοῦ ἀγαπῶντος τὸν πλησίον, τὸν μὲν δειλὸν καὶ ἀπρόθυμον εἰς τὴν τῶν καθηκόντων ἐκτέλεσιν προτρέπειν, τὸν δ' ἐπιῤῥεπῆ εἰς τὴν ἀθέτησιν αὐτῶν, ἀποτρέπειν. «Τὰς παρειμένας χεῖρας, φησὶν ἡ Γραφὴ, καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε» (α)· «ὁ γὰρ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.» (β)

§. 100. *Ὅτι καὶ τῷ παραδείγματι οἰκοδομεῖν ὀφείλομεν τὸν πλησίον.*

Ἡ μὲν παραίνεσις καὶ ἡ προτροπὴ, καὶ ἡ ἀποτροπὴ διὰ λόγων γίνεται, τὰ δὲ παραδείγματα ἔργοις τὸ αὐτὸ

(α) Ἑβρ. ιβ'. 12. Ἡσαΐ. λε. 3. (β) Ἰακ. ε. 19.

Digitized by Google

κατορθοῦσιν· οἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων μᾶλλον ὑπὸ τοῦ παραδείγματος ἕλκονται, ἢ ὑπὸ τοῦ λόγου ὁδηγοῦνται· ἐπεὶ καὶ ὁ νοῦς καὶ ἡ θέλησις αὐτῶν οὕτως ἐκ τοῦ ἀλλοτρίου κύρους ἥρτηνται, ὥστε μήτε λογίσασθαι, μήτε πρᾶξαί τι ὀρθὸν πιστεύουσιν, ἢν μὴ καὶ εἰς ἄλλους, οὓς φρονιμωτέρους ἡγοῦνται, ἀποβλέψωσι. Συμβαίνει δὲ τοῦτο, οὐ μόνον τοῖς ἀνηλίκοις τε καὶ ἀπείροις, ἀλλὰ καὶ τοῖς ἐπὶ μέγα μορφώτεώς τε καὶ ἀναπτύξεως προκεχωρηκέναι δοκοῦσιν. Ἐκ τούτου καὶ τὰ λαμπρὰ τῆς ἀρετῆς παραδείγματα τοὺς μὲν εἰς τὸν ἔνδοξον τῆς ἀρετῆς ἀγῶνα στηρίζουσι, τοὺς δὲ νωθροτέρους εἰς τὴν τοῦ βίου βελτίωσιν πλήττουσί τε καὶ διεγείρουσι, τοὺς δὲ ἀσθενεῖς καὶ κλονουμένους ἐνισχύοντα, ἑδραιοτέρους ποιοῦσι, τοὺς δὲ φαύλους καὶ πονηροὺς καταισχύνουσιν. Ἔτι δὲ καὶ εἰς ἅμιλλαν διεγείρουσιν, ἐπαισθητοτέραν ποιοῦντα τὴν τῆς ἀρετῆς ἀξίαν καὶ ὑπεροχὴν, καὶ τῆς νωθρότητος πᾶσαν πρόφασιν ἀφαιροῦσιν· οἱ μὲν γὰρ ἀπροκατάληπτοι καὶ ἀδιάφθοροι τὴν ψυχὴν, ῥᾳδίως ὑπὸ τῶν ὁρωμένων τῆς ἀρετῆς παραδειγμάτων ἕλκονται, οἱ δὲ φαῦλοι, κἂν μὴ δύνωνται ἐρυθριᾶν, ἀλλ' οὖν γε τῇ δοκούσῃ εὐπρεπείᾳ τε καὶ κοσμιότητι ἐμμένειν πειρῶνται, ἵνα μὴ κατὰ κράτος ὑπὸ τῶν ἀγαθῶν ἀποδοκιμασθῶσι, καὶ οὐκ ἀναισχύντως εἰς τὸ κοινὸν ἐμφανιζόμενοι, τὸ τῆς φθορᾶς μίασμα μεταδιδοῦσιν. Ἀλλ' ἴσως εἴποι τις, ὅτι τὸ κατὰ μίμησιν γινόμενον οὐκ ἔστιν ἀρετή· ἀλλ' οὐ χαλεπὸν τὸ ἐκ μιμήσεως κατ' ἀρχὰς πραττόμενον, καὶ ἐξ ἀγάπης ὕστερον γίγνεσθαι, προστεθείσης καὶ τῆς τοῦ ἀγαθοῦ ὀρθοτέρας γνώσεως καὶ τῆς πρὸς αὐτὸ ἀγάπης. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἐνετείλατο λέγων· « Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα

Digitized by Google

ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς» (α). Καὶ ὁ μακάριος Παῦλος πρὸς τοὺς Κορινθίους γράφει· «Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ (β)·» καὶ ἐν τῇ πρὸς Ῥωμαίους· «Ἕκαστος ὑμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν (γ).» Οὐ χρὴ δὲ ἡγεῖσθαι, ὡς δεῖ τι ἀσύνηθες, ἢ ἔκτακτον, ἢ μὴ καθῆκον πράττειν πρὸς παράδειγμα μόνον. Οὐ τοῦτο λέγεται, ἀλλ' ὅτι οὕτως ἀεὶ πιστῶς καὶ ἀκριβῶς τὰ ἴδια καθήκοντα ἐπιτελεῖν δεῖ, ὥστε καὶ πάντας τοὺς περὶ ἡμᾶς ἐγείρεσθαι καὶ προτρέπεσθαι εἰς μίμησιν. Καὶ τοῦτο μὲν καθολικόν ἐστι πᾶσι καθῆκον, ἐξαιρέτως δὲ, τοῖς ἐν ὑπεροχῇ τινι διατελοῦσιν, οἷοί εἰσι, ἀ, οἱ ἄρχοντες τῆς πολιτείας· β', οἱ τῆς τοῦ Θεοῦ ἐκκλησίας προϊστάμενοι· γ', οἱ ἱερεῖς καὶ διδάσκαλοι· δ', οἱ γονεῖς καὶ οἱ οἰκοδεσπόται· ε, οἱ πλούτῳ ἢ δόξῃ διαφέροντες. Φιλεῖ γὰρ, ὥς φασι, τὸ ὑπήκοον ἐξομοιοῦσθαι τοῖς ἄρχουσιν. Ὅταν δὲ μάλιστα τοιαῦται κακίαι ὑπερισχύωσιν, ὑφ' ὧν καταστροφὴ τελεία ἐπαπειλεῖται τῇ ἀρετῇ, καὶ ἐξαιρέτως τῇ δικαιοσύνῃ, τῇ φιλανθρωπίᾳ, τῇ σωφροσύνῃ, τῇ εὐσεβείᾳ, ἢ ὅταν τὰ τῆς θρησκείας παῤῥησίᾳ χλευάζωνται καὶ καταφρονῶνται, τότε τοῖς πᾶσίν ἐστι καθῆκον γενναίως ἀνθίστασθαι, καὶ εἰ μή τις διὰ λόγου δύναιτο, τῷ γε ἔργῳ καὶ τοῖς παραδείγμασιν, οἷς κατὰ τῆς κακίας ἰσχυρῶς ἀντιπράττει. Μέγα γὰρ πάντως ἀγαθὸν ἐγίνετο ἂν τοῖς ἀνθρώποις, εἰ παρὰ πάντων ἐπιμελῶς τὸ καθῆκον τοῦτο ἐτελεῖτο, καὶ πολλὰ κακὰ ἂν ἐκωλύοντο. Καὶ τοῦτο μὲν τὸ τοῦ καθήκοντος θετικὸν, καὶ τῷ οὕτω πράττοντι μέγας ἀπόκειται μισθός. Οὗτος γὰρ ἀληθῶς προσεγγίζει δι' αὐτῶν εἰς τὴν πρὸς τὸν Θεὸν ἐξομοίωσιν, καὶ συνεργὸς γίνεται τοῦ Θεοῦ εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν.

(α) Ματθ. ε. 16. (β) Α'. Κορ. δ'. 16. (γ) Ῥωμ. ιε. 2.

Digitized by Google

§. 101. *Περὶ τοῦ ἀποφατικοῦ τοῦ εἰρημένου καθήκοντος.*

Διττῶς ἂν, κατά γε τὸ ἀποφατικὸν, ἐπιτελοῖτο τὸ γενικὸν τῆς πρὸς τὸν πλησίον ἀγάπης καθῆκον, πρῶτον μὲν, ἐάν τις μηδὲν παρορᾷ, ὧν θετικῶς αἰτεῖ παρ᾽ ἡμῶν· εἶτα δὲ, ἐὰν μηδὲν ἐναντίον ἐκείνοις πράττῃ. Τοιαῦτα δ᾽ ἂν εἶεν διδασκαλία στρεβλὴ καὶ παραίνεσις φαύλη, παραγωγὴ διὰ κακῶν παραδειγμάτων, συνδρομὴ εἰς ἔργα ἐναντία τοῦ καθήκοντος. κ. τ. λ. Ἡ γὰρ ἐκ τούτων γινομένη τῷ πλησίον φθορὰ, μεγάλη ἐστὶ καὶ βαρυτέραν ἐφέλκεται τὴν εὐθύνην, ἢ ἡ ὀλιγωρία τῶν, ἃ ὤφειλέ τις πράττειν τῷ πλησίον· διὰ ταύτης μὲν γὰρ ὁ πλησίον ἀγαθοῦ τινος στερεῖται, ὅπερ δίκαιος ἦν προσδοκᾶν καὶ τυγχάνειν παρ᾽ ἡμῶν· δι᾽ ἐκείνης δὲ τὸ μὲν ὑπάρχον ὄντως ἀγαθὸν ἀφαιρεῖται, προσλαμβάνει δὲ τὸ κακὸν, ὃ οὐκ εἶχε. Καὶ διδασκαλία μὲν στρεβλὴ λέγεται ἡ τῶν στρεβλῶν ἰδεῶν καὶ φαύλων αἰσθημάτων διὰ λόγου μετάδοσις, ἵνα ταῦτα καὶ εἰς ἄλλους ἐπικρατήσαντα, τὴν αὐτὴν γνώμην καὶ ἐπιθυμίαν περί τινος πράγματος αὐτοῖς ἐμπνεύσωσιν· οἷον ἐπειδάν τις ἰδέας ἐναντίον τῆς ὀρθῆς πίστεως καὶ τῆς ἠθικῆς μεταδιδῷ, ἵνα τὸ περὶ αὐτῶν φρόνημα διαστρέψῃ. Ἡλίκη δὲ ζημία ἐκ ταύτης ἐπιγίνεται τῷ πλησίον, οὐκ ἄν τις εἴποι. Ἡ γὰρ διαστροφὴ τοῦ φρονήματος οὐκ ἐν ἑνὶ διαμένει, ἀλλ᾽ ἐξ αὐτοῦ ῥᾳδίως καὶ εἰς ἄλλους πολλοὺς μεταδιδόμενον, εἰς πολλὰς μυριάδας ἀνθρώπων ἐμβάλλει τὸ μίασμα. Διὰ τοῦτο ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐξεφώνησε τό· « Οὐαὶ κατὰ τοῦ ἀνθρώπου, δι᾽ οὗ τὸ σκάνδαλον ἔρχεται! Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ

Digitized by Google

πελάγει τῆς θαλάσσης (α). » Ἐκ τούτου καὶ τὸ καθῆκον προσέχειν ἑαυτῷ, προνοεῖν, καὶ μηδὲν ἐν τῷ πλησίον διαστρέφειν. Ἔστι δὲ ἡμῖν μέγα καὶ ἐπαισθητὸν παράδειγμα τοῦ ἐκ τῆς στρεβλῆς διδασκαλίας κακοῦ, τὸ κατὰ τοὺς πρωτοπλάστους γενόμενον (β). Οὕτω δὲ καὶ τὸ κακὸν παράδειγμα, ἐπειδὰν μηκέτι λόγοις, ἀλλὰ δὴ καὶ ἔργοις τὰ φρονήματα καὶ τὰ αἰσθήματα φανερούμενα τοῖς ἄλλοις μεταδιδῶνται· ἰσχυρότερα γὰρ τὰ ἔργα τῶν λόγων εἰς τὸ διαφθεῖραι. Καθῆκον ἄρα τὸ φεύγειν ἐν τῇ καθ' ἡμέραν διαγωγῇ πᾶν τὸ δυνάμενον ἀποπλανῆσαι, ἢ διαφθεῖραι τοὺς ἄλλους, καὶ τὸ μὲν ὑπὲρ τοῦ ἀγαθοῦ φρόνημα αὐτῶν διαστρέψαι, τὴν δὲ πρὸς τὸ κακὸν ροπὴν καὶ ἐπιθυμίαν διεγεῖραι. Τῷ δὲ ὁπωσδήποτέ τισι διὰ τοῦ κακοῦ παραδείγματος διαφθορᾶς ἀφορμὴν παρασχόντι, καθήκει οὐ μόνον μηκέτι τοῦτο πρᾶξαι, ἀλλὰ καὶ τὰ ἐξ αὐτῆς κακὰ εἰς δύναμιν ἀπαλεῖψαι. Τῷ γὰρ δυναμένῳ ποιεῖν ἀμφότερα, καὶ ἐξ ἐθελοκακίας, καὶ ἀδιαφορίας πρὸς τὸν πλησίον μὴ ποιοῦντι, ἁμαρτία μεγάλη, καὶ εὐθύνη βαρεῖα ἐπίκειται. Ἐξαλείφονται δὲ, ἐὰν αὐτὸς μὲν ἀπέχων τοῦ λοιποῦ τῆς κακῆς πράξεως, τρανὰ καὶ ἀναμφίλεκτα παρέχῃ τεκμήρια τῆς ἑαυτοῦ μετανοίας καὶ διορθώσεως, εἶτα δὲ καὶ τοὺς ἐκ τοῦ παραδείγματος αὐτοῦ ἀποπλανηθέντας παραινῇ σπουδαίως ἀπὸ τῆς πλάνης ἐπιστρέψαι. Καὶ ταῦτα δὲ τοσούτῳ ἀναγκαιότερα κρίνονται, ὅσῳ σπουδαιότερον τὸ, περὶ ὃ ἡ ἀποπλάνησις ἐγένετο, καὶ ἥκιστα τοὺς ἀποπλανηθέντας οἴκοθεν ἐπιστραφῆναι ἐλπίζεται, ἀλλὰ τοὐναντίον δοκοῦσι καὶ αὐτοὶ ἐν τῇ πλάνῃ διαμένειν, καὶ ἄλλους παραγαγεῖν.

(α) Ματθ. ιή. 6—7. (β) Γεν γ'. 1—7.

Digitized by Google

§. 102. *Περὶ τοῦ σκανδάλου.*

Σκάνδαλον λέγεται κυρίως πᾶς λόγος φαῦλος καὶ πᾶσα πρᾶξις τοιαύτη, ἅτινα παρέχουσιν ἀφορμὴν τῷ πλησίον, ἢ ἐρεθισμὸν εἰς ἁμαρτίαν, ἣν οὐκ ἂν χωρὶς αὐτῶν πράξειε. Πολλάκις γὰρ ἐκ τῆς ἐν τῷ λέγειν ἢ πράττειν διαγωγῆς ἡμῶν ῥαδίως εἰς τὸ κακὸν ἀποπλανῶνται τινες, ἤτοι ῥαδίως ἐν αὐτοῖς ἡ πρὸς τὸ κακὸν ἐπιθυμία καὶ ἡ ὁρμὴ διεγείρεται, καὶ εἰς τὸ ἔργον χωρεῖ, διὰ τὴν τοῦ νοὸς ἀσθένειαν, καὶ τὸ πρὸς τὸ κακὸν εὐόλισθον καὶ ἐπιῤῥεπές. Ἐκ τούτου οὖν δῆλον, πόσης δεόμεθα προσοχῆς καὶ ἐν τοῖς λόγοις καὶ ἐν ταῖς πράξεσιν ἡμῶν, ἵνα μή τις ἐξ αὐτῶν σκανδαλισθῇ. Εἰ γὰρ καὶ ἐκ μόνης ἀπροσεξίας τοῦτο γένοιτο, οὐκ ἂν χωρὶς εὐθύνης φανείημεν. Περὶ τούτου φησὶν ὁ μακάριος Παῦλος· « Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ. Σὺ πίστιν ἔχεις; κατὰ σεαυτὸν ἔχε ἐνώπιον τοῦ Θεοῦ (α). » Διὰ τοῦτο καὶ ἐν αὐτοῖς τοῖς ἄλλως θεμιτοῖς προνοίας τε ἀεὶ καὶ προσοχῆς δεόμεθα, ἵνα μή τις παρ' ἡμῶν σκανδαλίζηται, καὶ μάλιστα, ὅταν παρεῖναί τινας εἰκάζωμεν ἱκανοὺς εὑρίσκειν τι ἀμφίδοξον ἐν τοῖς λόγοις ἢ ἐν ταῖς πράξεσιν ἡμῶν. Τοῦτο καὶ ἡ τοῦ Κυρίου ἡμῶν ἐντολὴ παραγγέλλει, λέγουσα· « Ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ (β). » Ἀλλ οἷα δουλεία ! εἴποι τις ἄν, εἰ διὰ παντὸς τοῦ βίου ἐν πᾶσι καὶ λόγοις καὶ πράξεσι προσέχειν με δεῖ τοῖς τῶν μωρῶν ἀνθρώπων λήροις, καὶ τῇ

(α) Ῥωμ. ιδ', 20. (β) Ματθ. ιή. 10

Digitized by Google

ἔχθρᾳ ἢ τῇ κολακείᾳ. Ὁ ταῦτα λέγων, πολύ μοι δοκεῖ ἔτι τῆς πρὸς τὸν πλησίον ὀφειλομένης ἀγάπης ἀπολείπεσθαι. Ἐπειδὴ γὰρ πολλοί καί εἰσι, καὶ ἔτι ἔσονται, ἱκανῶς ἀσθενεῖς τόν τε νοῦν καὶ τὴν καρδίαν, ὥστε ἀεὶ πρὸς τὴν τοῦ ἑαυτῶν βίου οἰκονομίαν εἰς ἄλλους ἀφορῶσι, μηδὲν ἴδιον, ἢ ἀνεξάρτητον φρονοῦντες, ἀλλ' εἰσὶν ἀγαθοὶ ἢ κακοί, κατὰ τὸ ὑπόδειγμα τῶν, πρὸς οὓς ἀφορῶσι, καθῆκόν ἐστι παντὸς ἀνθρώπου, ἐφ' ὅσον τοιοῦτος εἶναι βούλεται, προσέχειν ἀεὶ τῇ ἑαυτοῦ διαγωγῇ, φειδόμενον τῆς τοῦ πλησίον ἀσθενείας, καὶ διὰ τῶν ἀγαθῶν παραδειγμάτων στηρίζειν αὐτὸν εἰς τὸ ἀγαθὸν, καὶ μὴ διὰ τῶν κακῶν ἀπωθεῖν αὐτὸν περαιτέρω εἰς τὴν κακίαν.

§. 103. *Περὶ τοῦ καθήκοντος τῆς εἰλικρινείας καὶ ἀληθότητος.*

Καὶ τὸ εἰλικρινεῖς εἶναι καὶ ἀληθεύειν ἀεὶ πρὸς τὸν πλησίον, καθῆκον ὁμολογεῖται, τῇ γνησίᾳ ἀδελφικῇ ἀγάπῃ ἐπερειδόμενον, καὶ ἐκ τῶν αὐτῶν αὐτῆς λόγων συνιστάμενον. Πάντων γὰρ ὄντων, ὡς κἀγὼ, τέκνων Θεοῦ, καὶ πρὸς τὸ αὐτὸ τέλος κεκλημένων, εἰλικρινῶς με δεῖ φρονεῖν τἀγαθὰ περὶ αὐτῶν, καὶ ἀνυποκρίτως, καὶ χωρὶς ψεύδους διαλέγεσθαι πρὸς αὐτοὺς, καὶ ἀναστρέφεσθαι μετ' αὐτῶν, ἐπειδὰν ἀναγκαῖον αὐτοῖς ᾖ γινώσκειν τὴν περί τινος γνώμην μου καὶ τὴν πληροφορίαν καὶ τὴν κρίσιν. Ἔστι δὲ εἰλικρίνεια ἡ ἁπλῆ καὶ ἀπροσποίητος τῆς ἡμετέρας πληροφορίας τῷ πλησίον μετάδοσις, ἔνθα ἂν ᾖ χρήσιμον αὐτῷ εἰδέναι ταύτην. Ἡ δὲ μετάδοσις ἢ λόγῳ γένοιτ' ἄν, ἢ πράξει, διὸ καὶ διττήν τινα παρεδέξαντο ἀνέκαθεν εἰλικρίνειαν καὶ ἀληθότητα, τὴν μὲν, ἐν τοῖς λόγοις, τὴν δὲ, ἐν ταῖς πράξεσιν, καὶ τῇ μὲν τὸ ψεῦδος, τῇ δὲ ἡ ὑπόκρισις ἀντίκειται. Ψεῦ-

Digitized by Google

δος μὲν γὰρ ὁ πεπλασμένος λόγος, οὗ αἱ λέξεις παντάπασι διάφορον ἠχοῦσι τῆς περὶ τοῦ πράγματος ἀληθοῦς πληροφορίας, ἐφ' ᾧ τῷ πλησίον ψευδῆ δόξαν περὶ αὐτοῦ ἐγγένηται, ἢ καὶ στηριχθῇ ἐν αὐτῷ. Ὑπόκρισις δὲ πρᾶξις φαινομένη, τῇ τοῦ πράττοντος ἀληθεῖ γνώμῃ διάφορος, τέλος ἔχουσα καὶ αὕτη τὸ αὐτὸ πρὸς τὸν πλησίον. Ὅλως δὲ, ψεῦδος καὶ ὑπόκρισις τεχνάσματα δόλιά εἰσιν, ἵνα τὸν νοῦν κατὰ τῆς ἀληθείας προκαταλάβωσι καὶ διαστρέψωσιν, ὅπως μὴ ῥᾳδίως εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν ἀφίκηται.

Διακρίνονται δὲ τρία τὰ εἴδη τοῦ ψεύδους καὶ τῆς ὑποκρίσεως, οἷον τὰ σκώμματα, αἱ κολακεῖαι, αἱ αἰσχρολογίαι· πάντα δὲ ταῦτα, ὡς παράγοντα τὸν πλησίον ἀπὸ τῆς ἀληθείας, ὡς δόλια τεχνάσματα, αἰσχρά τέ εἰσι καὶ κακὰ, τὸ μὲν ἄδολον καὶ εἰλικρινὲς καὶ πεπαῤῥησιασμένον ἀφαιροῦντα, ἐν ᾧ δεῖ πανταχοῦ τὴν ἀδελφικὴν ἀγάπην δηλοῦσθαι, τὴν δ' ἀπάτην καὶ ἀπιστίαν, τὴν τῇ ἀληθεῖ φιλαδελφίᾳ ἀσυμβίβαστον, παρεισάγοντα εἰς τὸν βίον, καὶ τὸ ἦθος οὕτω διαφθείροντα, καὶ τὴν ἀμοιβαίαν πίστιν ἀναιροῦντα, καὶ φθορὰν καὶ ζημίαν πανταχοῦ καὶ τοῖς ψευδομένοις, καὶ τοῖς, πρὸς οὓς τὸ ψεῦδος, ἐμποιοῦντα. Ἀεὶ γὰρ ὄντως κατάχρηστός ἐστι κατὰ τοῦ πλησίον, καὶ χλευασμὸς τοῦ νοὸς, ὃν ἀπατῆσαι ζητοῦσι, καὶ χλευασμὸς τῆς θελήσεως, ἣν πρὸς τὰ φαῦλα κατασπᾶσαι βούλονται. Ὅτι δὲ πολέμια ταῦτα τῇ πρὸς τὴν ἠθικὴν τελειότητα σπουδῇ, ὅῆλον ἐξ ὧν καὶ ὁ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς καὶ οἱ μαθηταὶ αὐτοῦ ἀπεφήναντο. Ὁ μὲν γὰρ τοῖς ἑαυτοῦ ἐνετείλατο λέγων· « Ἔστω δὲ ὁ λόγος ὑμῶν ναὶ, ναὶ, οὐ, οὐ, τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστίν (α). » Τρανώτατα δὲ τὴν κατὰ τοῦ ψεύδους

(α) Ματθ. ε. 37.

Digitized by Google

καὶ τῆς ὑποκρίσεως γνώμην αὐτοῦ ἐφανέρωσε τῇ αὐστηρότητι τοῦ ἐλέγχου, ὃν ἤλεγξε τοὺς πρὸς αὐτὸν ψευδομένους τε καὶ ὑποκρινομένους. « Ὑμεῖς, ἔφη, ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν· ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ· ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ, καὶ ὁ πατὴρ αὐτοῦ » (α). Τοὐναντίον δὲ περὶ τοῦ Χριστοῦ λέγει ὁ μακάριος Πέτρος, ὅτι « ὑπέλιπεν ἡμῖν ὑπογραμμὸν, ἵνα ἐπακολουθήσωμεν τοῖς ἴχνεσιν αὐτοῦ, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ» (β). Ἀλλὰ καὶ αὐτοὶ οἱ ἐχθροὶ αὐτοῦ, καὶ οἱ μισοῦντες αὐτὸν, ἐμαρτύρουν αὐτῷ, ὅτι εἰλικρινῶς καὶ ἀνυποκρίτως τὴν ἀλήθειαν φιλεῖ· « Διδάσκαλε, ἔλεγον αὐτῷ οἱ παρὰ τῶν Φαρισαίων ἀπεσταλμένοι, οἴδαμεν, ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενὸς, οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπου » (γ). Ὁ δὲ μακάριος Παῦλος παραγγέλλει ἐν γένει οὕτως· « Ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι μέλη ἀλλήλων ἐσμέν » (δ). Συνιστᾶσι δὲ ἡμῖν καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ καὶ λόγῳ καὶ παραδείγμασιν ἐν παντὶ τὴν ἁπλότητα, καὶ εἰλικρίνειαν, καὶ τὴν ἐν τοῖς λόγοις καὶ ἐν τῷ βίῳ ἀλήθειαν καὶ πίστιν. * Οὐ γὰρ μισητὸς μόνον, ἀλλὰ καὶ ἄδικος τῷ πλησίον ὁ ψευδόμενος καὶ ὑποκρινόμενος.

§. 104. Καὶ τἆλλα δὲ τοῦ ψεύδους εἴδη, οἷον ἡ κολακεία, ἡ ἀποσιώπησις τῆς ἀληθείας, αἱ προφάσεις, οὐχ

(α) Ἰων. η'. 44. (β) Α'. Ἐπιστ. ϛ'. 21. (γ) Ματθ. κϐ'. 16. (δ) Ἐφ. δ'. 25.

* Ἰδὲ καὶ Κικρ. βιβλ. α'. de off. c. 7. Fundamentum est autem justitiae fides. i. e. dictorum conventorumque constantia et veritas.

Digitized by Google

ἧττόν εἰσι βλαβερὰ καὶ θεοστυγῆ. Καὶ κολακεία μέν ἐστιν ἀπατηλὴ ἐπίδειξις, καθ' ἣν κατὰ προσποίησιν φιλοφροσύνης λαλεῖ τις καὶ πράττει πρὸς ἀρέσκειαν ἄλλων τινῶν, ἵνα χάριν καὶ τιμὴν ἑαυτῷ παρ' αὐτοῖς καταθῆται, ἢ τὴν εὔνοιαν αὐτῶν κτήσηται, ἢ ἄλλο τι κερδάνῃ. Ἔστι δὲ τοσούτῳ μᾶλλον μισητή τε καὶ φθοροποιὸς, ὅσῳ ἐκ τῆς δοκούσης φιλοφροσύνης, μετὰ καταφρονήσεως τῆς ἀληθείας καὶ τοῦ καθήκοντος, ἐπαινεῖ παρὰ τοῖς ἄλλοις τὰ οὐδενὸς ἐπαίνου ἄξια, ἵνα ἀρεστὸς γένηται, καὶ κερδάνῃ τι ἐξ αὐτοῦ. Τὸ γὰρ ἐκ τῆς κολακείας κακὸν, καὶ μάλιστα τοῖς ἐν ἰσχύϊ καὶ ἐν ἀξιώματι οὖσι μέγα καὶ ἀπερίγραπτον. Ἡ δ' ἀπιστία πρὸς τὴν ἀλήθειαν, καὶ ἡ τῆς ἀληθείας ἀποσιώπησις, ὅταν τις κατὰ γνώμην φεύγῃ τὴν τῆς καθαρᾶς ἀληθείας φανέρωσιν, ἵνα τοὺς ἀκούοντας ἀποπλανήσῃ τῆς ἀληθείας, ἀντίθετός ἐστι τῇ ὀφειλομένῃ παῤῥησίᾳ. Καὶ εἰ μὲν οὕτω γίνεται, ἵνα μήτι ἔργον ἀγαθὸν κωλυθῇ, ἢ ἵνα μήτι παρὰ τὸ καθῆκον πραχθῇ, εὔλογος τότε ἡ τοιαύτη ἀποσιώπησις· εἰ δὲ πρὸς τέλος κακὸν, κακὴ καὶ ἀθέμιτος· καὶ ἡ ἐπ' αὐτῇ εὐθύνη τοσούτῳ μείζων, ὅσῳ καὶ τὸ ἐκ ταύτης κακὸν, καὶ μετὰ κακίας ἀτεχνῶς γίνεται. Ὁμολογεῖται δὲ, ὅτι ἡ εἰλικρινὴς τῆς ἀληθείας φανέρωσις καὶ μετάδοσις τότε μόνον τυγχάνει καθῆκον ἴδιον ἑκάστου, ἁ, ὅταν πρὸς τὴν πρᾶξιν ἀγαθοῦ τινος· ϐ', πρὸς ματαίωσιν ἢ διαφυγὴν κακῆς τινος πράξεως ἀναγκαία κρίνηται. Ἐὰν δὲ μηδὲν κακὸν, μηδὲν παρὰ τὸ καθῆκον ἐκ τῆς σιγῆς πράττηται, ἀλλὰ καὶ ἀγαθόν τι μᾶλλον γίγνηται, καὶ κατὰ τὸ καθῆκον, οὐ μόνον ἔξεστι τότε, ἀλλὰ καὶ καθῆκον σιγᾷν, ἄλλως τε, κἂν διὰ τῆς εἰλικρινοῦς διακοινώσεως τῆς ἀληθείας, πολλὰ καὶ δεινὰ ἐφ' ἑαυτὸν ἐφέλκηταί τις. Ἀλλὰ καὶ ἡ ἀποσιώπησις ἐν ἀθωότητι καὶ χωρὶς ψεύδους γινέσθω. Δοκοῦσι δὲ καὶ

Digitized by Google

παραδείγματα ἐκ τοῦ Χριστοῦ παρέχεσθαι ἂν πρὸς ἐπικύρωσιν τούτου· οἷον, ὅτι ὑπὸ τῶν μαθητῶν ἐρωτώμενος, εἰ ἐν τῷ χρόνῳ ἐκείνῳ ἀπακαθιστάνοι τὴν βασιλείαν τῷ Ἰσραὴλ, ἀπεκρίνατο αὐτοῖς· « Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ » (α)· καὶ τὸ « Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι » (β). Παραπλησίως δ' ἔχει καὶ τὸ τῶν προφάσεων, ἢ τὸ κατ' ἀνάγκην ψεῦδος. Ἀλλ' ἐν τούτῳ διχογνωμοῦσί τινες. Τοῖς μὲν γὰρ δοκεῖ κακὸν ἀεὶ τὸ προφασίζεσθαι, ὡς ἀπάτη τῇ ἀδελφικῇ ἀγάπῃ ἐναντία· τοῖς δὲ, ἐὰν μὴ ἐν αὐτῷ κατάχρησίς τις γίγνηται, οὐ μόνον οὐ κακὸν, ἀλλὰ δὴ καὶ χρήσιμον εἶναι, ἐὰν πρὸς ἀπώθησιν μεγάλης τινὸς ζημίας, ἢ πρὸς ματαίωσιν ἀδίκου τινὸς καὶ ἀπανθρώπου ἐπιχειρήματος λέγηται. Τότε γὰρ παύεται τοῦ εἶναι ψεῦδος, καὶ εἰς γνησίαν ἀδελφικὴν ἀγάπην μεταβάλλεται· εὑρίσκεται δὲ καὶ ἡ κοινὴ γνώμη ὑπὲρ τῆς δόξης ταύτης. Ποῦ γὰρ γῆς ἐν τοῖς τοιούτοις καιροῖς οὐκ εἰς τοῦτο κατέφυγον; Ἐντεῦθεν οὖν καὶ ἀξίωμα τῷ πρακτικῷ βίῳ χρήσιμον πορίζεται. Τὸ πρὸς τὰ εἰρημένα τέλη κατ' ἀνάγκην λέγειν τὸ μὴ ἀληθὲς, οὐκ ἔστιν ἀθέμιτον, οὐδὲ τῇ ἠθικῇ ἀγαθότητι ἐναντίον. Εἰ δὲ πρὸς ἴδια τέλη, οὐ θεμιτὸν, κἂν προσφορώτατον δόξειεν, ὅπως τῆς βίας καὶ τῆς παρούσης ἀμηχανίας ἀπαλλαγείη. Ἔστι γὰρ ἀεὶ καὶ μένει ψεῦδος ἀληθῶς, καὶ ἀπάτη πρὸς τὸν πλησίον. Οὐκ ἄλογος δὲ παντάπασι καὶ ἡ πρώτη δόξα φαίνεται· εἰ μὲν γάρ τις ὡς θεμιτὸν ἔν τισι τὸ ψεύσασθαι ἀποδέξαιτο· οὐκ ἂν ἔτι ὕστερον ἰσχυρῶς κωλυθείη, καὶ οὕτω πανταχόθεν ἀνοίγεται θύρα εἰς τὸ ψεῦδος καὶ τὴν ἀπάτην, καὶ οὐδεὶς ἂν εἴη τοῦ λοιποῦ

(α) Πραξ. ά. 67. (β) Ἰωαν. ις'. 12.

Digitized by Google

ἀσφαλής. Πλὴν ἀλλὰ καὶ ἐν τῇ ἑτέρᾳ δόξῃ προϋλήφθη ἡ τοιαύτη ὑπόνοια· ἀεὶ γάρ ἐστι καὶ μένει ἐναντίον τῆς συνειδήσεως, ἐάν τις, παρὰ τὰς εἰρημένας περιστάσεις, εἰς τὸ ψεύδεσθαι καὶ προφασίζεσθαι καταφεύγῃ.

§. 105. *Καθήκοντα πρὸς τὴν ζωὴν καὶ τὴν σωματικὴν ὠφέλειαν τοῦ πλησίον.*

Πρώτιστον τῶν πρὸς τὴν σωματικὴν ὠφέλειαν τοῦ πλησίον καθηκόντων ἐστὶ τό· « Μηδενὸς μηδέποτε μήτε ἀπ' εὐθείας, μήτε ἐκ πλαγίου, μήτε ἰδίᾳ, μήτε ἀλλοτρίᾳ χειρὶ, μήτε βίᾳ, μήτε δόλῳ, τὴν ζωὴν καταλύειν.» Φησὶ γὰρ ἡ θεία φωνή· « Ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται, ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον » (α). Ἀλλὰ καὶ ὁ λόγος, ὃς γινώσκει τὸν ἄνθρωπον τέκνον Θεοῦ καὶ ἀριστούργημα τῆς αὐτοῦ παντοδυναμίας τε καὶ σοφίας καὶ ἀγαθότητος, κτισθέντα κατ' εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ, ταύτῃ συναινεῖ. Καλεῖται δὲ ἡ αὐθαιρέτως γινομένη κατάλυσις τῆς τοῦ ἀνθρώπου ζωῆς, φόνος ἑκούσιος, ἀπὸ τοῦ ἀκουσίου καὶ κατὰ συγκυρίαν γινομένου διακρινόμενος. Καὶ ἀκούσιος μὲν, ὁ ἐξ ἀγνοίας, ἢ ἐξ ἀπροσεξίας πραττόμενος· κατὰ συγκυρίαν δὲ, ὁ ἐκ τύχης καὶ παρὰ γνώμην τοῦ φονεύσαντος. Ἡ μεγίστη οὖν εὐθύνη ἐπίκειται τῷ αὐθαιρέτῳ καὶ ἐξ ἔχθρας ἢ μίσους πραττομένῳ, ὃν καὶ ἑκούσιον φόνον καλοῦσιν. Ἔστι γὰρ τῆς ἀνθρωπίνης ἀξίας καὶ τῆς ἀδελφικῆς ἀγάπης ἐσχάτη ἐξουθένησις, καὶ μέγιστον κατὰ τῆς δικαιοσύνης πλημμέλημα, καὶ ἔσχατος τοῦ ἀνθρώπου ἐξευτελισμός. Γίνεται δὲ ζημία ἀδιόρθωτος πρῶτον μὲν

(α) Γεν. Θ'. 6.

Digitized by Google

αὐτῷ τῷ φονευθέντι· εἶτα δὲ, τοῖς αὐτοῦ οἰκείοις, καὶ τελευταῖον τῇ κοινωνίᾳ πάσῃ· τῷ μὲν, ὅτι οὐ μόνον πάντων τῶν ἑαυτοῦ ἀγαθῶν καὶ τῶν δικαιωμάτων ἀδίκως ἀποστερεῖται, ἀλλὰ καὶ ἐκ τοῦ δρόμου τῆς ζωῆς βίᾳ ἐκβάλλεται· τοῖς δὲ οἰκείοις αὐτοῦ, ὅτι πολλάκις συμβαίνει τὸ μέγιστον αὐτῶν ὑποστήριγμα, ἐφ' ᾧ πεποιθότες ἦσαν, ἐν τῷ πεσόντι ἀπολέσαι, ἢ γοῦν εἰς πένθος καὶ οἰμωγὴν ἐμπίπτουσι. Τοῖς δὲ λοιποῖς ἀνθρώποις, ὅτι ἐν αὐτῷ τῷ πεσόντι ὅτι μάλιστα ἐκφαυλίζονται καὶ κακοῦνται, καὶ ἐν κινδύνῳ δ' εἰσὶ τοῦ αὐτοῦ κακουργήματος, ἕως ἂν ὁ κακοῦργος φανερωθεὶς, ἐν τοιούτῳ τεθῇ, ὅθεν οὐκ ἂν ἔτι κατεργάσεσθαι ἄλλο τοιοῦτο δυνηθείη. Καὶ τοιοῦτον ὁ ἑκούσιος φόνος, τὸ μέγιστον τῶν ἐν ἀνθρώποις κακουργημάτων· καταδιώκει δὲ συνήθως τὸν ῥέκτην τοῖς τοῦ συνειδότος σκληροτάτοις ἐλέγχοις, ἕως ἂν ἐν τῷ βίῳ περιῇ. Ὅσῳ δὲ σπουδαιότερός τε καὶ διασημότερος πρὸς τὸ ὅλον τῆς ἀνθρωπότητος ὁ φονευθεὶς, καὶ οἰκειότερον πρὸς τὸν κακοῦργον εἶχε, καὶ οὐδεμίαν πρὸς τὸν φόνον ἀφορμὴν παρέσχεν, ἔτι δὲ καὶ ὅσῳ τὸ τέλος, πρὸς ὃ ὁ φόνος, εὐτελέστερόν τε καὶ αἰσχρότερον, καὶ ἡ τοῦ φόνου ἐκτέλεσις ἀπηνεστέρα τε καὶ ὀδυνηροτέρα, καὶ ταῦτα οὐκ ἐν ἀναζέσει πάθους ἐκτυφλοῦντος, ἀλλὰ μετὰ ψυχρότητος καὶ λογισμοῦ ἐπράχθη· τοσούτῳ μείζων καὶ ἡ ἀδικία καὶ ἀσπλαγχνία, καὶ ἡ εὐθύνη τοῦ κακούργου. Ἐκ τούτου καὶ διηρέθη παρὰ τῶν ἀρχαίων ὁ φόνος εἰς ἁπλοῦν, καὶ εἰς πεποιωμένον, οἷον πατροκτονίαν, παιδοκτονίαν, ἀδελφοκτονίαν κ. τ. λ.

Παραφέρει δὲ πολλάκις εἰς τὴν πρᾶξιν τοῦ κακουργήματος καὶ τὸ ἐλάχιστον τῶν πραγμάτων, οἷον πᾶν πάθος ἀχαλίνωτον καὶ ἀφύλακτον, σφοδρῶς ἐκρηγνύμενον, μάλιστα δὲ ἡ δοξομανία, ἡ πλεονεξία, ὁ φθόνος,

Digitized by Google

ἡ ὀργὴ, ἡ κτηνώδης φιληδονία, ἡ ἀσωτία καὶ ἡ πολυτέλεια, καὶ ἡ ἐν ταῖς ἀνάγκαις ἀπόνοια καὶ ἄλλα τοιαῦτα. Παραδοθεὶς γὰρ ἅπαξ τοῖς τοιούτοις, ἅπαν ἀπόλλυσι τὸ ἐφ' ἑαυτοῦ κράτος, καὶ δοῦλος αὐτῶν καθίσταται.

Ἀνέκαθεν δὲ καὶ ἐλογίσθη ὁ ἑκούσιος φόνος, καὶ ἐκολάσθη ὡς τὸ μέγιστον τῶν ἐν ἀνθρώποις κακουργημάτων· καὶ ὡς τοιοῦτον μαρτυρεῖται ἁ, ἐκ πολλῶν τῆς ἁγίας Γραφῆς χωρίων· β', ἐκ τῶν αὐστηρῶν κολάσεων, αἳ παρὰ πᾶσι τοῖς ἔθνεσι τῷ ἀνθρωποκτόνῳ ἐπεβάλλοντο, καὶ ἔτι καὶ νῦν ἐπιβάλλονται. « Οἴδατέ, φησιν, ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν ἑαυτῷ μένουσαν (α)· « καὶ πάλιν « Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς (β). » Ἐν δὲ τῷ ψαλμῳδῷ διαῤῥήδην κηρύττεται τὸ « Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος (γ). » Καὶ τῶν νόμων δὲ, οἱ μὲν πολιτικοὶ θάνατον τῷ ἑκουσίως ἀποκτείναντι ἀπειλοῦσιν· οἱ δὲ ἐκκλησιαστικοὶ, ἀφορισμὸν ἀπὸ τῆς ἐκκλησίας.

§. 106. *Περὶ τῆς ἀμύνης ὑπὲρ τῆς πατρίδος.*

Ὅτι μὲν οὐκ ἀπόλυτον τὸ καθῆκον « Μηδενὸς ἀνθρώπου τὴν ζωὴν καταλύειν », ἀλλὰ σχετικὸν, καὶ ἔξεστιν ἡμῖν, ὑπὲρ ἡμῶν αὐτῶν ἀμυνομένοις, τὸν πολέμιον ἀνελεῖν, εἴρηται ἤδη. Ἐπεὶ δὲ καὶ ἔθνη ὅλα οὐχ οὕτως ἀσφαλῆ ἀπ' ἀλλήλων εἰσὶν, ὥσπερ οὐδὲ τὰ πρόσωπα, ἀλλ' ἕκαστον ὁρμᾷ εἰς τὸ κακῶσαι καὶ ὑποδουλῶσαι τὸ ἕτε-

(α) Ἰωαν. Α'. ἐπιστ. γ'. 15. (β) Α'. Κορ. γ'. 16—17. (γ) Ψαλ. έ. 7.

Digitized by Google

ρον, ποικίλαις μηχαναῖς τε καὶ ὅπλοις χρώμενον πρὸς τοῦτο, ἕως ἂν κατὰ κράτος νικήσῃ, καὶ ὑπὸ τὸν ζυγὸν τῆς δουλείας αὐτὸ καταναγκάσῃ, διὰ τοῦτο καὶ τὸ κινδύνῳ τοιούτῳ περιπίπτον ἀναγκαίως ἀνθίσταται, καὶ διαφυγεῖν πειρᾶται τὸν κίνδυνον, καὶ οὕτω συνίσταται ὁ καλούμενος πόλεμος, ᾧ παρέπεται ἡ αἱματεκχυσία, ὁ βίαιος φόνος, καὶ μυρίαι ἄλλαι βιαιοπραγίαι, καὶ ἀδικίαι, καὶ καταχρήσεις. Τοῦ δὲ πολέμου τὸ μέν ἐστιν ἐπιθετικὸν, τὸ δὲ ἀμυντικὸν, οὕτως ἔχοντα πρὸς ἄλληλα, ὡς ἡ αἰτία πρὸς τὸ ἀποτέλεσμα. Συμβαίνει δὲ πολλάκις καὶ ἔθνη πολλὰ ἐν ταὐτῷ διεγερθῆναι κατ' ἀλλήλων, ἵνα ἢ ἀμύνωνται κατὰ τῶν ἀδίκων χειρῶν ἀρξαμένων, ἢ καὶ ἵνα σὺν βίᾳ ἄλλων κατακυριεύσωσιν, καὶ οὕτω γένοιτ' ἂν ἅμα καὶ ἐπιθετικὸς καὶ ἀμυντικὸς ὁ πόλεμος ἀμφοτέρωθεν· ἀναιρετικὸς δὲ, ὅταν τὸ ἕτερον μέρος τῶν πολεμούντων, ἢ καὶ ἀμφότερα οὕτως ἔχουσιν ἐν τῷ πολεμεῖν, ὥστε ἀναστατῶσαι καὶ ἐξαλεῖψαι ἀλλήλους, οἷος ἦν ὁ τῶν Ἰσραηλιτῶν πρὸς τοὺς Χαναναίους πόλεμος. Τοσούτῳ δὲ ἀνιαρώτεροί τε καὶ καταστρεπτικώτεροι ἀποβαίνουσιν οἱ πόλεμοι, ὅσῳ τὰ πολεμοῦντα πολυπληθέστερα τυγχάνουσιν ὄντα, μείζων δὲ ἡ πρὸς ἀλλήλους ζηλοτυπία καὶ ἔχθρα, καὶ ὅσῳ μᾶλλον δόλῳ καὶ τεχνάσμασι χρῶνται κατ' ἀλλήλων πρὸς κάκωσιν καὶ ἀφανισμόν.

§. 107. *Τίνα τὰ εὐλογοφανῆ αἴτια τοῦ πολέμου.*

Ὅ,τι περὶ τῆς ἀμύνης ἐν τῇ κατά τινος ἐπιθέσει ἐρρέθη, ὅτι μόνον ἐν τῇ ἐσχάτῃ ἀνάγκῃ ἐπιχειρητέον κατὰ τῆς ζωῆς τοῦ ἐπιτιθεμένου, κἀκεῖ δ' ἔτι μετὰ μετριότητος καὶ ἐπιεικείας, τοῦτ' αὐτὸ καὶ τῷ πολέμῳ ἁρμόσειεν· ὅτι δηλαδὴ οὐδενὶ τῶν ἐθνῶν ἔξεστιν εἰς πόλεμον κατ'

Digitized by Google

ἄλλου ἔθνους διεγείρεσθαι, ἐὰν μὴ ὑπὸ τῆς ἐσχάτης ἀνάγκης βιάζηται. Τοιαύτη δ' ἐστὶν, ἐὰν πᾶσα μὲν πεῖρα πρὸς εἰρηνικὴν διάλυσιν τῆς ἐπικρατούσης διαφορᾶς ἀτελεσφόρητος γένηται, οὐκ ἔτι δὲ αἵρεσις ἄλλη ὑπολείπηται, ἢ τοῖς ὅπλοις ἀγωνισάμενον νικῆσαι καὶ σωθῆναι, ἢ ἡττηθὲν ὑποκύψαι. Τότε γὰρ ἔξεστι πάντι ἔθνει, τῇ ἰδίᾳ δυνάμει χρησάμενον, κατὰ τῆς βίας τῶν ἄλλων ἀμύνασθαι, καὶ βίᾳ αὐτὴν ἀπώσασθαι. Καὶ ὁ μὲν πρὸς ἄμυναν πόλεμος, ἵνα νόμιμος ᾖ καὶ δίκαιος, οὐδενὸς ἑτέρου δεῖται, ἢ τῆς ἐκ τοῦ ἑτέρου φανερᾶς ἀπειλῆς καταπιέσεώς τε καὶ λεηλασίας καὶ κακώσεως τῶν μελῶν αὐτοῦ. Ὁ δὲ ἐπιθετικὸς πλειόνων δεῖται· προϋποτίθησι γὰρ παρὰ τῷ ἑτέρῳ διαγωγὴν, ἢ πολιτείας μεταβολὴν τοιαύτην, δι' ἣν οὐκ ἔτι διαμένειν παρ' αὐτῷ δύναται τὸ ἕτερον, ἢ περιορᾶν, μὴ καὶ τὰ ἑαυτοῦ μέλη μιανθῶσιν. Ὅλως δὲ, οὗ ἂν ἑκάστῳ τῶν ἀγαθῶν ἀνδρῶν οὐχ οἷόν τε ᾖ οὐδὲ θεμιτὸν ἐν τοῖς ἄλλοις κατὰ τὸ εὐθὲς καὶ τὸ δίκαιον ἀνέχεσθαι, τούτου οὐδὲ ἔθνος ὅλον ἀνασχέσθαι δεῖ, εἰ μὴ βούλεται καὶ τὴν νόμμον αὐτοῦ ὕπαρξιν ἀναιρεθῆναι. Ἐὰν μὲν οὖν τοιαῦτα συμβαίνωσι, κατὰ φιλίαν δεῖ πρῶτον ὑποβάλλειν αὐτοῖς τὰ δέοντα· μὴ προσεχόντων δὲ, ἀλλὰ καὶ παῤῥησίᾳ καταφρονούντων, ἀνάγκη τότε ἐπὶ τὰ αὐστηρότερα χωρεῖν. Εἰ δέ τις πολεμεῖν ἐπιχειρεῖ, ἵνα τὰ ὅρια τῆς ἰδίας χώρας ἐπεκτείνῃ, ἢ τὸν στρατὸν τῇ ἀλλοτρίᾳ δαπάνῃ διατηρῇ, ἀδικώτατον ἂν εἴη καὶ ἀνομώτατον· οὕτω καὶ εἴ τις ἄλλῳ τινὶ τῶν ἐθνῶν, διότι ἀσθενές, ἢ ἀπαράσκευον, ἢ ἀλλαχοῦ ἔχει πράγματα, ἐπιτίθεται. Τοιοῦτος γὰρ πόλεμος παραπλήσιός ἐστι τῇ ληστείᾳ καὶ πειρατείᾳ. Τοῦ δὲ νομίμως γινομένου πολέμου οὐδὲν ἄλλο εἶναι δεῖ τὸ τέλος, ἢ ἁ, τὸ ὑπὲρ τῶν ἰδίων νομίμων τε καὶ δικαίων ἀμύνασθαι κατὰ τῆς ἀνόμου ἐπιθέσεως καὶ

Digitized by Google

βίας καὶ ἀδικίας· β', τὸ τὰ δόλῳ ἢ βίᾳ ἀφαιρεθέντα ἀνακτήσασθαι· γ', τὸ ἐπανορθῶσαι, καὶ διὰ συνθήκης εἰρηνικῆς ἀποκαταστῆσαι ἐν τῷ μέλλοντι ἀμοιβαίαν τῶν πολεμούντων ἀσφάλειαν. Πρὸς ταῦτα οὖν κυρίως δικαιοῦταί τις καταναγκάζειν τοῖς ὅπλοις τὸν μὴ βουλόμενον ἑκουσίως συγκατατίθεσθαι, καὶ ἔξεστι κατὰ τὸν πόλεμον πᾶσι τοῖς ἐπιτηδείοις εἰς τὸ ἐπαναγαγεῖν τὴν εἰρήνην χρήσασθαι, οἷον τῇ εἰσβολῇ εἰς τὴν πολεμίαν, τῇ τῶν φρουρίων καὶ τῶν στρατοπέδων ἁλώσει, τῇ τῶν ἀποθηκῶν καὶ τῶν εἰς πόλεμον ἐπιτηδείων διαρπαγῇ, τῇ αἰχμαλωσίᾳ καὶ ζωγρήσει τῶν κατατιθέντων τὰ ὅπλα στρατιωτῶν, τοῖς τραύμασι, καὶ ἀκρωτηριασμοῖς, ἢ καὶ αὐτῷ τῷ φόνῳ πρὸς τοὺς ἀνθισταμένους, ἐὰν μὴ ἄλλως ἐκβιασθῆναι δυνατὸν ᾖ. Ἀλλὰ κἂν τούτῳ φευκτέον, ὅσον ἐνδέχεται, τὴν σκληρότητα καὶ ἀπανθρωπίαν, τὴν μηδεμίαν φειδὼ, ἢ συγκατάβασιν γινώσκουσαν· τῇ δὲ βίᾳ, ὅπου ἂν μόνον ἀναγκαία δοκῇ εἰς τὸ τὴν νόμιμον καὶ δικαίαν εἰρήνην ἀποκαταστῆσαι, ἐκεῖ μόνον, καὶ πρὸς μόνους τοὺς ἐν ὅπλοις ἀντιπαρατεταγμένους χρηστέον· τοὺς δ' ἀόπλους οὐδέποτε ὡς ἐχθροὺς ἡγητέον, ἀλλὰ φιλανθρώπως τε καὶ ἐπιεικῶς, ὡς τὰ ἑαυτῶν τῷ στρατῷ ἐπιτρέψαντας, θεραπευτέον. Δεῖ δὲ τοῖς τοιούτοις ἐπιβάλλειν τὸ παρ' ἑαυτοῖς προσηκόντως ξενίζειν τοὺς εἰσβαλόντας, ἢ διαβαίνοντας τῶν στρατιωτῶν, τὰ ἐπιτήδεια παρέχοντας αὐτοῖς, καὶ θεραπεύοντας· τὸ τελεῖν ἀργύριον τεταγμένον ὑπὸ τοῦ στρατηγοῦ εἰς ὀψώνια τοῦ στρατοῦ· καὶ ταῦτα δὲ ἐπιεικῶς παρά τε τῶν στρατηγῶν καὶ τῶν στρατιωτῶν ἀπαιτητέον, καὶ ὡς προσήκει τοῖς φιλανθρωπίαν ἐπαγγελλομένοις· ἤτοι προεξεταστέον τὴν ἐν τῇ χώρᾳ γενικῶς εὐπορίαν, καὶ τὴν ἑκάστου τῶν κατοίκων περιουσίαν, ἵνα μὴ ὑπὸ τῶν ὑπὲρ δύναμιν ἀπαιτήσεων

Digitized by Google

καταπιεζόμενοι, αὐτίκα ἀπόλωνται· αἱ γὰρ βίαιαι καὶ ὑπὲρ δύναμιν ἐπιβολαὶ φόρων καὶ δαπάνης, καὶ ἡ ἀπηνὴς κάκωσις τῶν ἀνθρώπων, ὥσπερ ἐν εἰρήνῃ, οὕτω καὶ ἐν πολέμῳ ἀεὶ ἀδικία καὶ ἀπανθρωπία καὶ βαρβαρότης ἐστί.

§. 108. *Περὶ τῶν ἁμαρτημάτων τοῦ μὲν στρατιωτικοῦ πρὸς τοὺς ἀόπλους, τῶν δὲ πολιτῶν πρὸς τοὺς στρατιώτας.*

Πᾶν τὸ ὑπό τινος τῶν στρατιωτῶν τοῖς ἀόπλοις γινόμενον ἄδικον, ἢ βίαιον καὶ αἰσχρὸν, κατὰ τὸν κοινὸν κανόνα τῆς ἀποδόσεως καταλογιστέον τε καὶ κολαστέον· τὸ γὰρ ἐν εἰρήνῃ ἄδικον καὶ βίαιον καὶ αἰσχρὸν, καὶ ἐν πολέμῳ τοιοῦτον μένει, καὶ ὁ τῆς δικαιοσύνης καὶ τῆς ἠθικῆς καὶ τῆς φιλανθρωπίας νόμος ἀεὶ καὶ πανταχοῦ ἑκάστῳ παρέπεται, ὡς τῇ ἀναλλοιώτῳ σχέσει ἡμῶν πρὸς τὸ θεῖον καὶ πρὸς τὸ ὁμόφυλον ἐπερειδόμενος. Ὥσπερ δ' αὐτὴν ἀδιάσπαστον δεῖ διαμένειν, καὶ οὐδέποτε οὐδενὶ θεμιτὸν οὔτε ἐν μιᾷ στιγμῇ τοῦ παρόντος βίου, οὔτε τῆς αἰωνιότητος ἑκουσίως ἀποκλῖναι ἐξ αὐτῆς, οὕτως οὐδὲ τὸ τοὺς νόμους τῆς δικαιοσύνης καὶ τῆς ἠθικῆς καὶ τῆς φιλανθρωπίας ἀθετῆσαι ἐν οὐδεμιᾷ καιροῦ ῥοπῇ οὔτε ἐν εἰρήνῃ, οὔτε ἐν πολέμῳ οὐδενὶ θεμιτὸν ἂν εἴη. Ἐκ δὲ τούτων ῥᾳδίως συνίησιν ἕκαστος τὸ ἄδικον καὶ τὸ ἀθέμιτον τῶν ὕβρεων καὶ αἰκισμῶν καὶ κακώσεων, τῶν γινομένων τοῖς ἀόπλοις, ά, ἐπειδὰν μὴ οἷόν τε παρέχειν τοῖς ἐπὶ τῆς τροφῆς καὶ τῶν σκηνωμάτων τετυγμένοις τὰ ἐπιτήδεια, ἐὰν μή τι καὶ αὐτοῖς ἰδίως δωρήσωνται· β', ἐπειδάν τινες αὐθαιρέτως τοῦ στρατοπέδου ἀποχωροῦντες, φόρους ἰδίους παρὰ τῶν κατοίκων ἀπαιτῶσι· γ', ἐπειδὰν οἱ καταλύοντές που, μὴ ἀρκούμενοι τοῖς προσφερομένοις καὶ τῇ ἄλλῃ θεραπείᾳ, ἔτι πλέον τοὺς ἱκανῶς ἤδη κεκακωμένους βασανίζωσί τε

Digitized by Google

καὶ λυπῶσιν, ἢ καὶ τοιαῦτα παρ' αὐτῶν ἀπαιτῶσιν, ἃ οὐ θέμις, κατά γε τὴν ἠθικότητα, παρέχειν καὶ ὑπακούειν, καὶ βίᾳ πρὸς τὰ τοιαῦτα αἰσχρὰ καὶ ἀθέμιτα ἀναγκάζωσιν. Ἀλλὰ καὶ οἱ τῆς χώρας κάτοικοι πολλαχῶς ἂν πρὸς τοὺς στρατιώτας ἁμαρτήσειαν, μάλιστα δὲ ἁ, ἐὰν τροφὰς αὐτοῖς ἐφθαρμένας, ἢ φαρμάκοις μεμιγμένας ἐκ κακίας, ἢ ἐκ πλεονεξίας προσφέρωσι· β΄, ἐὰν τῇ ὀλιγωρίᾳ καὶ τῇ σκαιότητι παροργίζωσιν αὐτοὺς καὶ ἐξαγριαίνωσιν, ἢ ἄλλως τῇ ζωῇ αὐτῶν ἐπιβουλεύωσιν, ἵνα τὰ ἐκείνων νοσφίσωνται, κ.τ.λ. Δῆλον οὖν ἐξ ἁπάντων τούτων, ὡς πολλῶν τε καὶ βαρέων ἁμαρτημάτων τοῖς ἀνθρώποις ἀφορμὴν καὶ αἰτίαν ὁ πόλεμος παρέχει· διὰ τοῦτο καὶ ὁ δικαιότατος μόνον ἐν τῇ ἐσχάτῃ ἀνάγκῃ, ὡς θλιβερὸν μὲν, ἀλλ' ἀναγκαῖον βοήθημα, λαμβανέσθω, καὶ οὐδέποτε ἐκ κουφότητος καὶ ἀλογίας. Ὅπου δ' ἂν ἄφυκτος εἴη, ἐκεῖ καὶ καθῆκον παντὸς πολίτου, καὶ τοῦτο κατεπεῖγον, ἢ συνεκστρατεύειν αὐτὸν, ἢ συντελεῖν γε τὸ κατὰ δύναμιν, ἵνα τοῖς στρατευομένοις ἄφθονα ὑπάρχῃ τὰ ἐπιτήδεια, ἕως ἂν τὰ τῶν πολεμίων ἡττηθῇ, καὶ ἡ νόμιμος καὶ δικαία εἰρήνη ἀποκαταστῇ· ὁ δ' οὐδέτερον τούτων ποιῶν, ἄνευ λόγου ἀποχρῶντος, ὑπερόπτης ἐστὶ καὶ καταφρονητὴς, μᾶλλον δὲ προδότης αἰσχρὸς καὶ οὐτιδανὸς τῆς ἑαυτοῦ πατρίδος καὶ τοῦ ἰδίου ἔθνους, κατά γε τὴν προαίρεσιν. Ἔτι δ' αἰσχρότερός τε καὶ οὐτιδανώτερος ὁ δι' αἰσχροκέρδειαν μυστικὰς σχέσεις πρὸς τοὺς πολεμίους διατηρῶν, καὶ διακοινῶν αὐτοῖς τὰ τὴν πατρίδα καὶ τὸ ἔθνος ἀπολέσοντα.

Σημ. Πάντων μάλιστα τῶν πολέμων δεινότατοί εἰσιν οἱ ἐμφύλιοι· ὑπὸ γὰρ τῆς ἀντιζηλίας, καὶ κενοδοξίας, καὶ πλεονεξίας ἀναῤῥιπιζόμενοι ἑκατέρωθεν, εἰς πυρσὸν ἐξαίρονται μέγαν. Συμβαίνουσι δ' ἔσθ' ὅτε καὶ ἄλλα αἴτια, οἷον, ὅταν ἡ τοῦ ἔθνους ἰσχυροτέρα καὶ ἡ

Digitized by Google

ἐπιφανεστέρα μερὶς τῇ ἑαυτῆς καταχρωμένη δυνάμει, ἀφορήτως τὴν ἑτέραν καταπιέζῃ, ἢ ὅταν τῇ καθεστώσῃ τάξει μὴ ἀρεσκόμενοι, ἀνατρέψαι αὐτὴν βούλωνται, ἵν' ἐπ' ἀδείας μᾶλλον εἰς τὴν ἀταξίαν χωρήσωσι. Χαλεπὸν δὲ μάλιστα ἐν τοῖς ἐμφυλίοις πολέμοις τοῖς ὑπὲρ τῆς εἰρήνης καὶ ὁμονοίας διακειμένοις, ἢ τὴν εὐταξίαν ἀσπαζομένοις, ἀλλὰ καὶ τὸ φανερῶς τῇ ἑτέρᾳ τῶν ἀντιμαχομένων μερίδων προστίθεσθαι ἐπικίδυνον· δεῖ γὰρ τελευταῖον τὴν μὲν νικῆσαι, τὴν δὲ ἡττηθῆναι, τοῖς δ' ἡττηθεῖσιν οὐκ ἂν ἔξοι τὰ πράγματα καλῶς· ἀλλ' ἔτι χεῖρον πολλάκις τὸ μηδετέρᾳ προστίθεσθαι· οὐ γὰρ ἀμφοτέροις ἀντιστῆναι δύναται, ἀλλὰ χλευάζεσθαι καὶ κακοῦσθαι ὑπ' ἀμφοτέρων ἀνάγκη. Κράτιστον οὖν ἐν τοῖς τοιούτοις καιροῖς τῇ δοκούσῃ μάλιστα ὑπὲρ τοῦ δικαίου ἀγωνίζεσθαι, προσέχειν καὶ συνεργεῖν· τὸ γὰρ ἐν συνειδήσει τοῖς ἀδικοῦσι προστίθεσθαι διὰ τὸ εἶναι αὐτοὺς ἰσχυροτέρους, αἰσχρὸν καὶ ἀθέμιτον.

§. 109. *Περὶ τῆς τῶν ἁμαρτημάτων κολάσεως.*

«Ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται.» Ἐκ τῆς θείας ταύτης φωνῆς παρήγαγον ἐξ ἀρχῆς τὴν ἐξουσίαν τοῦ κολάζειν θανάτῳ τινὰ τῶν ἁμαρτημάτων, μηδὲν ἄδικον τούθ' ἕνεκα πράττειν οἰομένους. Δίκαιον δὲ τὸ αὐτὸ καὶ παρὰ τῶν ἀγνοούντων τὴν θείαν ἐντολὴν ἀνέκαθεν πανταχοῦ ἐνομίσθη, τὸ ὑποστῆναι ἕκαστον, ὃ πρὸς ἄλλους ἔπραξε, καὶ ἀφαιρεθῆναι πρὸς ποινήν, ὅπερ ἄλλον αὐτὸς πρότερον ἀφεῖλεν. «ὯΙ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν·» ἔφη καὶ ὁ Χριστός (α). Μόνον δὲ οὐκ ἔξεστι τῷ ἀδικη-

(α) Λουκ ς. 38.

Digitized by Google

θέντι αὐτῷ κολάζειν τὸν ἀδικήσαντα, ἵνα μὴ ἐπὶ πλέον ἡ ἀδικία προβαίνῃ, ἀλλὰ τῇ ἐπὶ τούτῳ τεταγμένῃ ἀρχῇ ἐπιτρέπειν, περὶ ἧς ὁ θεῖος Παῦλός φησιν, ὅτι « οὐκ εἰκῇ τὴν μάχαιραν φορεῖ, Θεοῦ γὰρ διάκονός ἐστιν ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι (α)». Δεῖ δὲ τοὺς τὴν δικαιοσύνην μετιόντας διττόν τι δύνασθαι, πρῶτον μὲν, ἀκριβῶς ἐρευνᾷν περὶ τοῦ γενομένου καὶ περὶ τοῦ κακούργου· εἶτα δὲ, καὶ ἀκωλύτως ἐπάγειν τῷ κακουργήσαντι τὴν ὡρισμένην ποινήν. Χωρὶς γὰρ τούτου οὐκ ἔτ' ἂν εἴη οὐδεὶς τῶν τῆς κοινωνίας ἀσφαλής· διὸ καὶ ὀφείλεται τοῦτο ὑπὸ τῆς ἀρχῆς, ἵνα τὴν εἰσαῦθις ἐπανάληψιν τοῦ κακουργήματος κωλύσῃ. Ἀλλὰ τὸ δεύτερον οὐχ οὕτως ἀεὶ ἀναγκαῖον, ὡς τὸ πρότερον. Ἐὰν γὰρ ὁ κακοῦργος οὕτω τηρῆται, ὥστε μηκέτι παραπλήσιον δύνασθαι πρᾶξαι, μηδὲ παρ' ἄλλων τὰ τῆς κοινωνίας μέλη τοιοῦτον ὑπολαμβάνειν πραχθήσεσθαι, δύναται καὶ μετριάσαι τὴν ποινήν. Ὅπου δὲ ἡ κοινὴ ἀσφάλεια μόνον διὰ τῆς αὐστηρότητος τῶν κολάσεων διατηρηθῆναι δύναται, καὶ ἄλλα κακουργήματα προληφθῆναι, τὰ δὲ ἠπιώτερα μὴ ἐπαρκῶσιν, ἐκεῖ καὶ ἡ περὶ τὴν ἐπαγωγὴν τῆς ποινῆς αὐστηρότης τε καὶ ἀκρίβεια ἀναγκαία ὑπάρχει. Ἀλλὰ κἀνταῦθα οὐ δεῖ παντάπασιν ἐκλείπειν τὴν ἐπιείκειαν καὶ κοσμιότητα, μηδ' ἐπιλελῆσθαι τῆς ἀνθρωπίνης ἀσθενείας, μηδὲ τῆς ἀξίας, καὶ ἀπηνέστερον τοῦ δέοντος κολάζειν, καὶ εἰς μείζονα ὀνειδισμὸν ἐκτιθέναι τὸν ἀδικήσαντα, καὶ ὅλως, ὅπερ ἐν τῇ ἀμύνῃ ὑπὸ τοῦ ἀδίκως προσβαλλομένου θεμιτὸν γενέσθαι, τοῦτο μόνον, καὶ οὐδὲν πλέον, κἂν τῇ γινομένῃ ὑπὸ τῆς ἀρχῆς κολάσει τοῦ κακούργου. Τοὺς γὰρ ἀδικηθέντας ἡ ἀρχὴ παρίστησι, καὶ οὐκ ἔξεστιν αὐτῇ μεί-

(α) Ῥωμ. ιγ'. 4.

Digitized by Google

ζονα κόλασιν ἐπαγαγεῖν τῷ ἀδικήσαντι, ἢ ἦν ἔδει ὑποστῆναι παρὰ τοῦ ἀδικηθέντος, ὅτε τὸ πρὸς αὐτὸν ἀδίκημα ἔπραττεν. Ἐκ τῶν εἰρημένων τοίνυν ἐξάγεται, ὅτι ἔστιν, ὅτε καὶ καταλῦσαι ζωὴν ἀνθρώπου, χωρὶς ἀδικίας, θεμιτόν· καὶ τὸ καθῆκον, ζωὴν ἀνθρώπου μὴ κατάλυε, οὐκ ἔστιν ἀπόλυτον, ἀλλὰ σχετικὸν, ὑπὸ τῶν εἰρημένων περιστάσεων ὁριζόμενον. Τί δὲ ἐπὶ κινδύνου τῶν ὑπαρχόντων, καὶ τῆς βιαίας καταισχύνης; Οὐ πᾶσι ταὐτὰ περὶ τούτου δοκεῖ· περὶ μὲν γὰρ τοῦ πρώτου ἀποφαίνονται οὕτως. Ἐὰν σὺν τοῖς ὑπάρχουσι καὶ ἡ ζωὴ κινδυνεύῃ, ἔξεστι πάντως ὑπὲρ ἀμφοτέρων ἀμυνόμενον, τὸν ἀδικοῦντα πλῆξαι καὶ καταβαλεῖν, εἰ δέοι, εἰ μὴ ἄλλως οἷόν τε ἀπώσασθαι. Εἰ δὲ τὸ ζῆν οὐ κινδυνεύει, ἔξεστι μὲν ἄλλως καὶ ὑπὲρ τῶν ὑπαρχόντων ἀμύνεσθαι, τῆς δὲ ζωῆς τοῦ πολεμίου παντὶ τρόπῳ φειστέον· ἔξεστιν ἐπικαλέσασθαι τὴν παρὰ τῶν ἄλλων βοήθειαν, καὶ πάσῃ δυνάμει ἀντιστῆναι, καὶ τραυματίσαι τὸν ἀδικοῦντα δεινῶς, κἂν ἄγνωστος ᾖ, σημειῶσαι αὐτὸν οὕτως, ὥστε καὶ ὕστερον ἀκριβῶς γνωσθῆναι. Καὶ ταῦτά φασιν, ὅτι δυνατὸν ἐναγαγεῖν ὕστερον τὸν ἀδικήσαντα, καὶ ἀναγκάσαι αὐτὸν ἀποδοῦναι τὴν ζημίαν. Εἶτα δὲ καὶ, τῆς ζωῆς κρείττονος οὔσης τῶν ὑπαρχόντων, ὡς τοῦτο παρὰ πάντων ὁμολογεῖται, οὐ δίκαιον τὸ κρεῖττον ἀγαθὸν ἄλλοις ἀφαιρεῖν, ἵνα τὸ ἑαυτοῦ χεῖρον ἀμύνηται. « Οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος; » (α)· κατὰ τὸν λόγον τοῦ Κυρίου. Ἐν γένει δὲ, ὡς ἀλλαχοῦ εἴρηται, ἡ ζωὴ μόνον ἀντὶ ζωῆς δίδοται. Ὅπου δ' ἂν αὕτη μὴ κινδυνεύῃ, οὐδ' ἑτέρου ζωὴν κινδυνεῦσαι, ἢ καταλυθῆναι χρή. Διαφέρει δὲ, ἐπειδὰν νυκτὸς, καὶ πολλοὶ ὁμοῦ, καὶ ἄγνωστοι,

(α) Ματθ. ϛ'. 25.

Digitized by Google

καὶ βιαίως ἐπιτίθωνται· τότε γὰρ ἔξεστι παντὶ τρόπῳ ὑπὲρ τῶν ὑπαρχόντων ἀμύνασθαι, καὶ τοὺς ἐπιτιθεμένους καταβάλλειν. Οἱ γὰρ νυκτὸς τὰς θύρας συντρίβοντες, ἢ τὰς θυρίδας κατασπῶντες, καὶ βίᾳ εἰς τὴν οἰκίαν εἰσερχόμενοι, ἀπειλοῦσι καὶ τὴν ζωὴν, εἴτις ἀνθίσταται, ἢ γοῦν ἄγνωστον, τί περὶ τῆς ζωῆς οἱ τοιοῦτοι βουλεύονται· διὸ καὶ οὐκ ἀθέμιτον δοκεῖ, ἐὰν καὶ οὗτοι τῇ ἀπωλείᾳ τοῦ ζῆν τὸ ἁμάρτημα ἀποτίσωσι.

§. 110. *Περὶ τῆς ἐν βίᾳ καταισχύνης καὶ κακώσεως.*

Περὶ δὲ τῆς βιαίας καταισχύνης διαφωνοῦσιν αὖθις, οἱ μὲν καταφάσκοντες, οἱ δ' ἀποφάσκοντες ἐξεῖναι τὸν καταισχῦναι βίᾳ πειρώμενον ἀποκτείνειν. Οἱ μὲν γὰρ οὕτω τὴν ἑαυτῶν γνώμην ὑποστηρίζουσι. Πάντων τῶν τῆς τύχης ἀγαθῶν κράτιστον ὁμολογεῖται ἡ τιμὴ καὶ ἡ ἀθωότης· ὥσπερ οὖν ὑπὲρ τῶν ἄλλων ἀγαθῶν ἀμυνόμενον, ἔξεστι καὶ καταβάλλειν τὸν ἀδίκως ἐπιτιθέμενον, οὕτω καὶ ἔτι μᾶλλον δίκαιον ὑπὲρ τῆς ἑαυτοῦ τιμῆς τε καὶ ἀθωότητος ἀμυνόμενον, τὸν βίᾳ καταισχῦναι πειρώμενον ἀποκτεῖναι, ἐὰν μὴ ἄλλως διασῶσαι αὐτὰ δύνηται. Ὁ δὲ λόγος οὗτος ἔτι μᾶλλον ἰσχυρὸς φαίνεται, ἐπειδάν τις λογίζηται, ἡλίκον ἀγαθόν ἐστιν ἡ τιμὴ καὶ ἡ ἀθωότης· τὰ μὲν γὰρ ἄλλα, καὶ ἀφαιρεθέντα, ἔστι διὰ τῆς δίκης ἀπολαβεῖν· ἢ γοῦν τῇ φιλοπονίᾳ τε καὶ οἰκονομίᾳ ἀνακτήσασθαι, τὴν δὲ τιμὴν καὶ ἀθωότητα ἀφαιρεθεῖσαν, οὐκ ἔτι ἀνακτήσασθαι δυνατὸν οὐδ' ἀποζημίωσιν αὐτῆς οὐδεμίαν ἔχειν, ἀλλ' ἀνάγκη, διὰ παντὸς στερηθῆναι· διὰ τοῦτο καὶ τοσούτου δεῖ παρ' ἑκάστου τιμᾶσθαι, ὅσου καὶ τὴν ζωὴν αὐτὴν, καὶ ὑπὲρ αὐτῆς τῷ εἰρημένῳ τρόπῳ ἀμύνεσθαι. Οἱ δ' ἄλλως φρονοῦντές φασιν, ὡς ἔστι μὲν ἀληθῶς ἡ τιμὴ καὶ ἡ ἀ-

Digitized by Google

θωότης τὸ κάλλιστον τοῦ πνεύματος ἀγλάϊσμα, ἀλλὰ καὶ ἀγαθὸν, ὃ οὐκ ἄν τις ἀφέλοιτο παρὰ γνώμην τοῦ κεκτημένου· τὸ γὰρ βίᾳ καὶ παρὰ γνώμην γινόμενον, οὐδεμίαν αἰσχύνην φέρει τῷ παθόντι, οὐδὲ ζημίαν, ἄρα οὐδ' ἀνάγκη ἔσται ποτὲ ἀποκτεῖναι τὸν ἐπιβουλεύοντα, ἢ διαζόμενον ὑπὲρ τῆς σωτηρίας τῆς ἑαυτοῦ ἀθωότητος καὶ τιμῆς. Τοῦτο μέν τοι οὐδέν μοι δοκεῖ, ἢ σόφισμα ἄθλιον, ἀτιμότερον καὶ τοῦ κτήνους ἀποφαῖνον τὸν ἄνθρωπον· τὸ γὰρ βίᾳ καὶ παρὰ γνώμην, οἷα ὀργάνῳ χρήσασθαί τινα εἰς θεραπείαν ὁρμῆς ἀλόγου, τοῦτο δή μοι φαίνεται μεγίστην εἶναι καὶ ἐσχάτην πασῶν καταισχύνην, καὶ ἐξουθένησιν τῆς ὑψηλῆς τοῦ ἀνθρώπου ἀξίας, καὶ τῇ εὐθύνῃ ἐγγύς ἐστι τοῦ βιαίου θανάτου. Ἆρ' οὐ θέμις τῇ τοιαύτῃ καταισχύνῃ ἀνθίστασθαι; Καὶ τίς, νοῦν ἔχων, καὶ τὴν τοῦ ἀνθρώπου ἀξίαν γινώσκων, πεισθείη; Τὰ αὐτὰ δὲ καὶ περὶ τῆς βιαίας κακώσεως ἰσχύουσιν. Ἔστι δὲ κάκωσις, ἡ εἰς τοιαῦτα ἔργα κατανάγκασις, ἅτινα καὶ τῇ ἀξίᾳ καὶ τῇ προσωπικῇ ἐλευθερίᾳ τοῦ ἀνθρώπου εἰσὶν ἐναντία, οἷον ά, ἡ ἁρπαγὴ προσώπων εἰς ἀνδραποδισμὸν, ἢ εἰς ὄργανον αἰσχρῶν καὶ ἀδίκων ἐπιθυμιῶν· β', ἡ πρᾶσις ἀνθρώπων· γ', ἡ ἄδικος κάθειρξις καὶ δέσμευσις· δ', ἡ ἐξύβρισις δι' ἀθεμίτου θεραπείας τῆς γεννητικῆς ὁρμῆς· ε, ἡ καταδυνάστευσις καὶ καταπίεσις παντὸς εἴδους. Ταῦτα δὲ, καὶ τὰ τούτοις παραπλήσια, πράττονται τὰ πλεῖστα ἐξ ἔχθρας, ἐκ πλεονεξίας, ἐκ φιλαρχίας, ἐκ φιληδονίας κτηνώδους, καὶ τοσούτῳ μείζω εἰσὶ πρὸς τὴν ἀνθρωπότητα ἀμπλακήματα, ὅσῳ καὶ ἡ ζημία καὶ ἡ ἀδικία τῷ παθόντι μείζων γίνεται, καὶ δόλος καὶ ἀπήνεια τῇ πράξει προσῇν, καὶ ὁ σκοπὸς ἀγενέστερος. Οὐ μόνον δὲ τῇ φιλανθρωπίᾳ, ἀλλὰ καὶ τῇ δικαιοσύνῃ μάχεται ταῦτα, ὡς ἀφαιροῦντα μὲν ἀγαθὰ τοσαῦτα, μεγίστην

Digitized by Google

δὲ τὴν ζημίαν συνεπαγόμενα τῷ παθόντι πρὸς τὸ μέλλον, καὶ ὅλως κώλυμα μέγιστον τυγχάνουσι τῆς πρὸς τὸ κράτιστον τέλος τοῦ ἀνθρώπου σπουδῆς, καὶ ἐκφαύλισις καὶ ἐξουδένωσις αὐτοῦ· οὐκ ἔτι γὰρ δύναται χρῆσθαι ἑαυτῷ πρὸς ὃ βούλεται, ἀλλ᾽ ἀνάγκη παρέχειν ἑαυτὸν τοῖς βιαζομένοις, ὡς ἄψυχον ὄργανον, πρὸς ὃ ἂν βούλωνται, ἀνεύθυνον ὄντα, ὡς τοῦ αὐτεξουσίου στερηθέντα, καὶ τῆς ἑαυτοῦ προσωπικότητος, καὶ εἰς κτῆμα μεταβληθέντα.

§. 111. *Περὶ τῶν πρὸς ἐπανόρθωσιν τῆς ἐξ αὐτῶν ζημίας καθηκόντων.*

Ἐκ τῶν κακώσεων τῶν κατὰ τῆς τοῦ προσώπου ἐλευθερίας καὶ τῆς ἀξίας γενομένων ἴδιά τινα γεννῶνται καθήκοντα· οἷον ά, Τὸν ἀδίκως τὸ ἴδιον αὐτεξούσιον καὶ τὴν ἀνθρωπίνην ἀξίαν ἀφαιρεθέντα ἐπὶ τὴν προτέραν αὐτοῦ κατάστασιν, ὅπου ἂν ἐνδέχηται, ἐπανάγειν· β΄, Ἀνάλογον τῇ, ἣν ὑπέστη, ζημίᾳ, ἀποζημιοῦν, καὶ ἐπὶ τῇ προσωπικῇ ὕβρει καὶ κακώσει τὸ ἱκανὸν ποιεῖν· γ΄, Ὅπου δ᾽ αὐτῷ τῷ κακωθέντι μηκέτι οἷόν τε ἀποδοῦναί τι τῶν εἰρημένων, ὡς μηκέτι ἐν τῷ βίῳ περιόντι, τοῖς οἰκείοις γε κατὰ τὸ δεύτερον ἄρθρον ἀποδοτέον τὸ ἐκείνῳ ὀφειλόμενον. Ταῦτα δὲ οὕτω πράττειν ὀφείλει ὁ κακώσας οὐ μόνον ἐξ ἀγάπης καὶ φιλανθρωπίας, ἀλλὰ καὶ κατὰ τὴν ἀκρίβειαν τῆς δικαιοσύνης, ὁ δὲ μὴ ποιῶν οὕτω, ἀλάστωρ τε καὶ κακοῦργος μένει τῷ ἀδικηθέντι, καὶ καταφρονεῖ οὐ μόνον τῆς ἀγάπης, ἀλλὰ καὶ τῆς δικαιοσύνης· τὸ γὰρ ἁμάρτημα οὐκ ἀφίεται, εἰ μὴ τὸ ἀφαιρεθὲν ἀποδοθείη φησιν ὁ μακάριος Αὐγουστῖνος. (α) Ἔστι δὲ διττή τις ἐν τοῖς τοιούτοις ζημία, ἣν ὁ δράσας ἀποδοῦναι ὀφείλει,

(α) Non dimittitur peccatum, nisi restituatur ablatum.

Digitized by Google

ἡ τῶν ὑπαρχόντων μέχρις ἐκείνου τῷ κακωθέντι ἀφαίρεσις, καὶ ὧν ἂν ἔτι κεκτημένος εἴη, εἰ μὴ βιαίως ἐκωλύθη, στέρησις· καὶ ἡ μὲν πρώτη καλεῖται ζημία φανερὰ, ἡ δὲ κέρδος ἀφῃρημένον· ἀμφότερα οὖν ταῦτα χρὴ ἐξετάζειν, καὶ ὡς μέτρον λαμβάνειν τῆς ἀποζημιώσεως. Οἷον, ἐν φόνῳ οὐκ ἔτι οἷόν τε εἰς τὸν βίον ἀναγαγεῖν ὃν ἀπέκτεινέ τις, οὐδὲ τὸ ἱκανὸν αὐτῷ ποιῆσαι, δι' ἣν ὑπέστη κάκωσιν· αὐτὸν μὲν οὖν οὐκ ἔτι ἐστὶν ἀποζημιῶσαι, ἀλλὰ τούς γε οἰκείους αὐτοῦ, πάντα μὲν ἀποτίων τὰ πρὸς τὴν δικαστικὴν ἔρευναν καὶ τὴν ταφὴν τοῦ φονευθέντος ἀναλώματα, τοὺς δὲ γονεῖς αὐτοῦ, ἢ τὴν γυναῖκα καὶ τὰ τέκνα, εἰ τύχοι ἔχων ὁ φονευθείς, κατὰ λόγον τῆς ἑαυτοῦ περιουσίας ἀποζημιῶν, καὶ τὸ ὄφλημα δὲ τοῦ φονευθέντος, ὃ ἀπέδωκεν ἂν ἐκεῖνος, εἰ μὴ ὑπὸ τοῦ φόνου καταλαμβάνετο, ἀποδιδούς. Πάντα ταῦτα χρὴ τὸν τὸ κακούργημα πράξαντα ἐκ τῶν ἑαυτοῦ ἀποτῖσαι, κἂν εἰς πενίαν διὰ ταῦτα περιπεσεῖν δέῃ· ὅτι δὲ αὐτὸς οὐκ ἀδικεῖται, παντὶ δῆλον τῷ σπουδαίως λογιζομένῳ. Ἐν δὲ ταῖς ἐκ βιαίας κακώσεως γενομέναις κολοβώσεσιν ἢ τραυματισμοῖς, καὶ τῇ ἄλλῃ βλάβῃ, τὸ τῆς ἀποζημιώσεως καθῆκον ὑφίσταται ἁ, ἐν τῷ παρέχειν πᾶσαν τὴν πρὸς ἀνάῤῥωσιν τοῦ κακωθέντος δαπάνην· β', ἐν τῷ ἀποτῖσαι πᾶσαν ζημίαν, ἣν ὁ κακωθεὶς ὑπέστη ἐν τῇ ἐργασίᾳ μέχρι τῆς τελείας αὐτοῦ ἀναῤῥώσεως· γ', ἐν τῷ ἱκανοποιῆσαι τὸν παθόντα διά τε τὴν κάκωσιν καὶ τὸν κίνδυνον καὶ τὰς ἀλγηδόνας, ὧν ἐπειράθη. Ἐν ἁρπαγῇ δὲ, ἢ πράσει, ἢ δεσμεύσει ἀνθρώπων, πρὸς τῇ εἰρημένῃ ἀποζημιώσει τε καὶ ἱκανοποιήσει, ἀναγκαῖον καὶ ἐπαναγαγεῖν τὸν ἄνθρωπον, ὅπου ἦν τὸ πρότερον, εἰ δυνατόν, κἂν δυσχερέστατον εἴη. Ἐν δὲ τῇ ἐκβιάσει πρὸς τὴν κτηνώδη ἀκολασίαν, ἀποτῖσαι δεῖ πάντα τὰ ἐκ τῆς βίας γενόμενα ἀναλώματα, καὶ ἐκτρέφειν

Digitized by Google

καὶ συντηρεῖν τὸ ἐκ ταύτης τεχθὲν, εἰ οὕτω συμβαίνοι, καὶ φερνὴν τῇ βιασθείσῃ παρέχειν τοσαύτην, ὥστε εἰς νόμιμον γάμον ἐλθεῖν. Οὐ μόνον δὲ κατὰ τὴν ἠθικὴν εὐθύνην, ἀλλὰ καὶ κατὰ τὴν ἀκρίβειαν τῆς δικαιοσύνης καὶ τῆς πραγματικῆς ζημίας ἐν ταῖς εἰρημέναις περιστάσεσιν ἡ ὀφειλὴ γίνεται τῷ κακώσαντι ἀποζημιοῦν οὕτω τὸν κακωθέντα· ὅσῳ γὰρ μείζων ἡ βλάβη, τοσούτῳ καὶ ἡ ὀφειλὴ πρὸς τὴν ἀποζημίωσιν.

§. 112. *Καθήκοντα τῆς εὐποιΐας.*

Οὐδὲν μέγα τὸ μὴ βλάπτειν μόνον τὴν ζωὴν τοῦ πλησίον, μηδ' ἄλλως βιαιοπραγεῖν, ἀλλὰ καὶ συντελεῖν καθήκει, τό γε ἐφ' ἡμῖν, εἰς τὸ ἀγαθὸν αὐτοῦ, μάλιστα δὲ ἐν ἀνάγκαις κοιναῖς ἢ ἰδίαις. Τοῦτο τῇ ἀδελφικῇ ἀγάπῃ ἐμπέφυκε, καὶ τοῦτο αὕτη παρ' ἡμῶν ἀπαιτεῖ. «Ἓν σῶμα καὶ ἓν πνεῦμά, φησιν ὁ θεῖος Ἀπόστολος, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ἡμῶν, εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς, καὶ πατὴρ πάντων καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ὑμῖν (α)»· ὥσπερ δὲ καλῶς τεταγμένου σώματος, οὐ θέμις διαφωνίαν εἶναι ἐν τοῖς μέλεσιν αὐτοῦ, ἀλλὰ συμφωνεῖν ἀλλήλοις, καὶ ὑπὸ τοῦ ἑνὸς πνεύματος ζωοποιεῖσθαι, οὕτω καὶ τὰ τῶν ἀνθρώπων ἔχειν δεῖ πρὸς ἀλλήλους, τῷ πάσχοντι συμπάσχειν δεῖ καὶ συνεργεῖν εἰς βοήθειαν αὐτοῦ τοὺς λοιποὺς, τὰ μὲν κακὰ ἀπ' ἀλλήλων ἀποσοβοῦντας, εἰς δὲ τὸ ἀγαθὸν συνεργοῦντας ἀλλήλοις, καὶ ἀμφότερα ἐν ἀγαθῇ προαιρέσει ποιοῦντας, διὰ τὸν λόγον τῆς φιλαδελφίας· τὸ γὰρ οὕτω γινόμενον ἔργον καλεῖται φιλαδελφία, καὶ χάρις, καὶ ἔλεος, καὶ εὐεργεσία. Προσ-

(α) Ἐφ. δ'. 4—6.

Digitized by Google

ήκει δ' αὕτη τῷ ἐν ἀνάγκαις ὄντι, καὶ ἀπαλλαγῆναι αὐτῶν μὴ δυναμένῳ, καὶ διὰ τοῦτο πάσχοντι καὶ θλιβομένῳ, ἕως ἂν ὑπ' ἀλλοτρίας χειρὸς τὴν ἀναγκαίαν κομίσηται βοήθειαν. Εὐεργεσία ἄρα καὶ εὐποιία ἐστὶν ἡ πρόθυμος τῷ πλησίον συνδρομὴ εἰς τὸ ἀποτρέψαι μὲν ἀπ' αὐτοῦ τὸ ἐπικείμενον κακὸν, τὸ δ' ἀγαθὸν, οὗ δεῖται, παρασχεῖν ὅσον ἐστὶν ἐφ' ἡμῖν. Ἀπαιτεῖται δ' αὕτη μάλιστα ἐν καιρῷ πυρκαϊᾶς, πλημμύρας, ναυαγίου, σιτοδείας, ἢ ἄλλως μεγίστης τῶν ἐδωδίμων τιμῆς, ἔτι δὲ ἐπὶ βιαίας κακώσεως δι' ἀδίκου προσβολῆς καὶ καταπιέσεως, ἐπὶ νόσου καὶ παντοίων ἄλλων δυστυχημάτων. Γένοιτο δ' ἂν ἐν τοῖς τοιούτοις ἡ βοήθεια ἢ ἀμέσως, ἢ καὶ ἐμμέσως, τὸ μὲν, ἐὰν αὐτός τις τῇ ἰδίᾳ χρώμενος δυνάμει ἀπαλλάξαι τινὰ τῆς ἀνάγκης, ἢ τὴν θλίψιν αὐτοῦ ἀνακουφίσαι ἐπιχειρῇ, τὸ δὲ, ἐὰν ἄλλους προτρέπῃ, ἢ συμβουλεύῃ καὶ ὁδηγῇ καὶ ἐνισχύῃ, ἢ καὶ ἀμοιβὴν παρ' ἑαυτοῦ ὑπισχνῆται τῷ προθύμως συνδραμόντι τὸν κινδυνεύοντα, ὅπου ἂν αὐτὸς μὴ δύνηται.

§. 113. *Περὶ τοῦ καθήκοντος τῆς εὐποιΐας.*

Τὸ τῆς εὐποιΐας καθῆκον ἐκ τῶν αὐτῶν λόγων γίνεται, ἐξ ὧν καὶ τὸ τῆς φιλαδελφίας· ἡ γὰρ εὐποιΐα οὐδὲν ἄλλο ἐστὶν, ἢ πραγματικὴ φανέρωσις τῆς φιλαδελφίας. Συνέστησε δ' αὐτὸ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ἐν τῇ παραβολῇ τοῦ Σαμαρείτου (α)· καὶ ἐν τῇ ἀψευδεῖ αὐτοῦ ἐπαγγελίᾳ, ὅτι ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ εἰς τὰ τῆς εὐποιΐας ἔργα ἀπβλέψας, τὴν κρίσιν καὶ τὴν ἀπόφασιν πρὸς ταῦτα ποιήσει (β)· καὶ εἰπὼν, «Ὃς ἐὰν

(α) Λουκ. ι. 30—37. (β) Ματθ. κε. 31—46.

Digitized by Google

ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ ὕδατος μόνον εἰς ὄνομα μαθητοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ » (α). Ὁ δὲ ἀδελφόθεος γράφει· « Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ πατρὶ αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου » (β)· καὶ πάλιν ὁ αὐτός· « Ἐὰν ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι, καὶ λειπόμενοι ὦσι τῆς ἐφημέρου τροφῆς, εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν: ὑπάγετε ἐν εἰρήνῃ θερμαίνεσθε καὶ χορτάζεσθε, μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος; » (γ) ὁ δὲ ἐπιςήθιος τοῦ Κυρίου μαθητὴς Ἰωάννης· « Ὃς ἂν ἔχῃ, φησὶ, τὸν βίον τοῦ κόσμου, καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ; Τεκνία μου! μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ » (δ). Εἰ δέ τις ἔροιτο, Μέχρι δὲ τίνος δεῖ τὴν εὐποιΐαν χωρεῖν; λέγομεν αὐτῷ τὸ τοῦ Τωβίου· « Τέκνον, φησὶ πρὸς τὸν υἱὸν αὐτοῦ, ἐκ τῶν ὑπαρχόντων σοι ποίει ἐλεημοσύνην... ὡς σοι ὑπάρχοι κατὰ τὸ πλῆθος, ποίησον ἐξ αὐτῶν ἐλεημοσύνην· ἐὰν ὀλίγον σοι ὑπάρχῃ, κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην » (ε). Ἔνθεν μὲν ἡ ἀνάγκη τοῦ πλησίον, ἐκεῖθεν δὲ τὸ τῶν ὑπαρχόντων ἡμῖν μέτρον ὁρίσειεν ἂν τὸ τῆς ὀφειλομένης εὐποιΐας μέτρον. Ὁμολογεῖται δὲ παρὰ πάντων, ὅτι οὐδενὶ ὀφείλεται τοσοῦτον πρὸς τὴν ἀφαίρεσιν τῆς τοῦ πλησίον ἀνάγκης διδόναι, ὥστε δι' αὐτὸ εἰς ἀνάγκην αὐτὸν καὶ στενοχωρίαν περιστῆναι, ἀλλὰ διατηρεῖν ἕκαστον ὑπὲρ ἑαυτοῦ τὸ ἀναγκαῖον, ὅπως τῇ

(α) Ματθ. ι'. 42. (β) α'. 27. (γ) α'. 15—16. (δ) Ἰωαν. Α'. ἐπιστ. γ'. 17, 18. (ε) Τωβ. δ'. 7.

Digitized by Google

ἑαυτοῦ τάξει τε καὶ καταστάσει ἀνάλογον βίον διάγῃ. Διττὴ δέ τις ἀνάγκη διακρίνεται, ἡ μὲν κοινὴ, ἐπειδὰν ὁ πλησίον θλίβηται μὲν καὶ πάσχῃ, οὐχ οὕτω δὲ ἐν κινδύνῳ εἰσὶ τὰ τῆς ὑγιείας καὶ τῆς ζωῆς αὐτοῦ, ὥστε καὶ ἀναγκαίαν εἶναι τὴν ἄμεσον βοήθειαν, ἀλλ' ἔστι καὶ παρ' ἄλλων αὐτὴν ζητῆσαι· ἡ δὲ ἐσχάτη, καθ' ἣν ἐν τοιούτοις ὑπάρχει δεινοῖς, ὥστε, εἰ μή τις παραχρῆμα βοηθήσειε, κινδυνεύει ἢ κατὰ κράτος ἀπολέσθαι, ἢ γοῦν μεγάλην ὑποστῆναι ζημίαν κατά τε τὴν ὑγίειαν ἢ τὴν ζωήν. Πάντες οὖν ὁμολογοῦσιν, ὅτι ἐν τῇ τοιαύτῃ ἀνάγκῃ καθῆκόν ἐστι παντὸς τὸ κατὰ δύναμιν βοηθεῖν τῷ κινδυνεύοντι, καὶ σώζειν αὐτὸν, κἂν δυσχερὲς λίαν, καὶ δαπανηρὸν, ἢ καὶ κίνδυνόν τινα τῆς ὑγιείας καὶ τῆς ζωῆς συνεπάγηται· εἰ δὲ πολλοὶ εἶεν ἅμα οἱ κινδυνεύοντες, ἀμήχανον δὲ πᾶσιν ὁμοῦ βοηθῆσαι καὶ σῶσαι πάντας, βοηθεῖν δεῖ τῷ κατὰ πρῶτον ἐντυγχάνοντι· οὐ γὰρ ἔστιν αἵρεσιν ποιεῖσθαι. Ὁ γὰρ ἐν τῇ ἐσχάτῃ ἀνάγκῃ καταλιμπάνων τὸν πλησίον ἀσπλάγχνως, καί τοι, εἰ ἠβούλετο, δυνάμενος σώζειν αὐτὸν, τοσοῦτον ἁμαρτάνει, ὅσον καὶ εἰ αὐτὸς αὐτοχειρὶ τὴν ἀπώλειαν αὐτοῦ ἔπραττε, καὶ μεγάλως ἐξουθενεῖ τήν τε ἀξίαν καὶ τὴν κλῆσιν τοῦ ἀνθρώπου. Ἐν δὲ τῇ κοινῇ ἀνάγκῃ δεῖ μὲν καὶ ἐν αὐτῇ προθύμως ἔχειν εἰς βοήθειαν, ἀλλὰ τῇ συνδρομῇ τῶν δυναμένων συντελεῖν· καὶ τὸ ποσὸν δὲ τῆς εὐποιίας ἀόριστον ἐν τοῖς τοιούτοις, ὡς διηνεκῶς τῶν καθ' ἕκαστον μεταβαλλομένων. Τὰς δὲ πρὸς ἀνακούφισιν τῆς κοινῆς ἀνάγκης συνδρομὰς φρονίμως δεῖ διανέμεσθαι καὶ μετὰ προνοίας, ἐξεταζομένης καὶ τῆς τοῦ πλησίον πραγματικῆς ἀνάγκης, καὶ τῶν ἰδίων περιστάσεων, ἵνα μὴ κεναῖς ἀποπέμπωνται χερσὶν οἱ ἐν μείζονι ὄντες ἀνάγκῃ, μείζονα δὲ λαμβάνωσι τὴν βοήθειαν οἱ ἧττον ταύτης δεόμενοι, ἢ ἵνα μή τις ἑαυτὸν

Digitized by Google

ἢ τοὺς οἰκείους λυπήσῃ, τῶν ἀναγκαίων στερήσας, ἄλλους εὖ ποιῶν· ἔτι δὲ καὶ μετ' ἀγαθοῦ σκοποῦ, ἀποβλέποντα εἰς τὸ ἐν τῷ πλησίον θεῖον, καὶ οὐχὶ εἰς πρόσκαιρον ἄλλο τέλος (α).

§. 114. *Πῶς ἄν τις εἰς τὴν εὐποιΐαν προτρέποιτο.*

Ἐάν τις συνεχῶς τε καὶ σπουδαίως ἀναλογίζηται ἀ, τὰς καθ' ἡμέραν ὑπὸ τοῦ Θεοῦ πλουσίως ἡμῖν δαψιλευομένας εὐεργεσίας, νῦν μὲν διὰ τῶν ἀγαθοποιῶν ἀνθρώπων, νῦν δὲ δι' ἄλλης παντοδαποῦς εὐλογίας ἐπὶ τὰ ἔργα ἡμῶν, καὶ ὅτι δωρεῖται ἡμῖν τἀγαθὰ, ἵνα καὶ τοῖς χρείαν ἔχουσι μεταδιδῶμεν, καὶ τοῦτο ὄντως ὑπάρχει τὸ πατρικὸν αὐτοῦ θέλημα, διὸ καὶ ἡ ἄνισος τῶν ἀγαθῶν ἐν τοῖς ἀνθρώποις διανομὴ· καὶ τὴν τοῦ ἀνθρώπου ἀξίαν καὶ τὴν κλῆσιν, εἶτα δὲ καὶ τὰς τῶν πενήτων καλύβας ἐνίοτε ἐπιβλέπῃ, καὶ τὰς κλίνας τῶν ἀσθενῶν, καὶ τῶν καταδεδικασμένων τὰς εἱρκτὰς καὶ τὰ δεσμωτήρια, καὶ τὰς οἰμωγὰς ἀκούῃ τῶν ἐκεῖ καταπιεζομένων, καὶ τὴν θλιβερὰν αὐτῶν κατάστασιν ἐκ τοῦ σύνεγγυς ὁρᾷ, ἀμήχανον μὴ κινηθῆναι εἰς συμπάθειαν ἐπὶ τῇ κακοδαιμονίᾳ τῶν ἀνθρώπων, καὶ ἐπιμεληθῆναι, ὅσον οἷόν τε, παραμυθῆσαι αὐτοὺς διὰ τῆς εὐποιΐας, ἥτις γίνεται μάλιστα ἀ, τῇ προκαταβολῇ ἐν ταῖς ἀνάγκαις τοῦ πλησίον (β)· β', τῷ τοῖς ἀπόροις πόρον παρέχειν· γ', τῷ ὀρφανοὺς ἰδίοις ἀναλώμασιν ἢ γοῦν ἐπιμελείᾳ συνιστάναι παρὰ χρηστοῖς καὶ ἐμπείροις ἀνδράσιν, ὅπως χρηστῆς ἀπολαύσωσιν ἀγωγῆς καὶ παιδείας. Πολλάκις δὲ τὰ τοιαῦτα ἔργα μείζονος ἄξια γίνονται,

(α) Ἰδὲ Ματθ. ς'. 2—4. (β) Λουκ. ς'. 35.

Digitized by Google

ἢ αἱ μεγάλαι δωρεαί. Τὰ δὲ κοινωφελέστατα καὶ μονιμώτατα μνημεῖα τῆς εὐποιίας εἰς βοήθειαν τῆς πασχούσης ἀνθρωπότητος, ἀνήγειραν ἀναντιῤῥήτως οἱ ἀρχαῖοι χριστιανοί, συστήσαντες καὶ πλουτίσαντες τοσαῦτα νοσοκομεῖα, γηροκομεῖα, ὀρφανοτροφεῖα καὶ πτωχοτροφεῖα ἐκ τῆς ἑαυτῶν οἰκονομίας. Μυρίοι δ' ἐν αὐτοῖς τῶν πασχόντων καὶ πενομένων ἐπιτυγχάνουσιν ἀντιλήψεως θεραπείας τε καὶ σωτηρίας, ὧν χωρὶς οὐκ ἂν ἐσώζοντο. Διὸ καὶ καθῆκόν ἐστι τῶν σπουδαιοτάτων τὸ συντελεῖν εἰς τὴν αὐτῶν διατήρησιν, μάλιστα δὲ τοῖς τὴν διοίκησιν καὶ τὴν οἰκονομίαν αὐτῶν ἐπιτετραμμένοις· ἡ δὲ ἐν γνώσει ὀλιγωρία καὶ ἐπιβουλὴ κατ' αὐτῶν εἰς τὸ τῆς ἐπανορθώσεως καθῆκον ὑπόκειται. Δύνανται δὲ πάντες καὶ οἱ πενέστατοι διὰ μικρῶν δωρεῶν καὶ ἐν ταῖς διαθήκαις εἰς τὴν συντήρησιν αὐτῶν συντελεῖν· αἱ δὲ τοιαῦται δωρεαὶ πρὸς τοὺς πάσχοντάς εἰσι διηνεκεῖς εὐεργεσίαι.

§. 115. *Περὶ τῆς τῶν ἀσθενῶν θεραπείας.*

Καὶ τὸ θεραπεύειν καὶ περιθάλπειν τοὺς ἀσθενεῖς ἔργον εὐποιίας δικαίως λογίζεται· τὸ γὰρ ἀνθρώπινον σῶμα, νόσοις παντοίοις καὶ βλάβαις ὑποκείμενον, τῆς παρὰ τῶν ἄλλων δεῖται βοηθείας τε καὶ θεραπείας, μάλιστα δὲ ἰατροῦ, φαρμάκων, τροφῆς, καὶ σκεπάσματος, καὶ ἄλλης περιποιήσεως. Ἐντεῦθεν καὶ τὸ ἐπισκέπτεσθαι τοὺς ἀσθενεῖς ἀνέκαθεν ὡμολογήθη τῆς φιλανθρωπίας καθῆκον, καὶ ὁ Σωτὴρ ἡμῶν τοῖς ἑαυτοῦ ἐνετείλατο· « Ἠσθένησά, φησι, καὶ ἐπεσκέψασθέ με » (α)· καὶ « Ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ,τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι» (β)· καὶ

(α) Ματθ. κέ. 31—46. (β) Λουκ. ί. 30—36.

Digitized by Google

« Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε » (α). Καὶ πρῶτον μὲν τοῖς τοῦ νοσοῦντος οἰκείοις ἐστὶ τὸ καθῆκον· μὴ ὄντος δέ τινος αὐτῷ, προσήκει τῷ κοινῷ ἐπιμεληθῆναι αὐτοῦ, ἐὰν ἐκ τῶν πτωχῶν καὶ ἀπόρων ᾖ, καὶ τοσούτῳ μᾶλλον, ὅσον καὶ οἰκείων καὶ φίλων ἔρημος τυγχάνει, καὶ ἡ νόσος δεινοτέρα, καὶ τῶν ἀναγκαίων πρὸς ἴασιν ἀπορεῖ. Διττῶς δ' ἂν καὶ τοῦτο τὸ καθῆκον πράττοιτο, ἤτοι ἢ ἀμέσως, ἐάν τις αὐτὸς τὴν βοήθειαν καὶ περιποίησιν τοῦ νοσοῦντος ἐπιχειρῇ, ἢ ἐμμέσως, ἐὰν τὰ πρὸς θεραπείαν ἀναγκαῖα παρέχῃ, ἢ πρὸς ἄλλους μεσιτεύῃ, ἵνα μεταδώσωσιν αὐτῷ ταῦτα. Ὅς ἂν οὖν μὴ ἀμέσως δύνηται τὸ καθῆκον τοῦτο ἐπιτελεῖν, ὡς μὴ ἔχων ἢ καιρὸν, ἢ ἱκανότητα, ἢ θάρρος, ἐμμέσως γοῦν τοῦτο πράτειν ὀφείλει. Ἐὰν δὲ ἐκ φιλαργυρίας, ἢ ἀναλγησίας, ἢ ἐξ ὀλιγωρίας τοῦ πλησίον μὴ ποιῇ οὕτως, ἴστω σπουδαιότατον παραβαίνων καθῆκον.

§. 116. *Περὶ εἰρήνης καὶ ὁμοιότας.*

Καὶ τὸ εἰρηνεύειν δὲ καὶ τὸ ὁμονοεῖν ἐν ἀλλήλοις οὐχ ἧττόν ἐστι καθῆκον· μέγα γὰρ καὶ ταῦτα πρός τε τὸ σωματικὸν καὶ πρὸς τὸ πνευματικὸν ἀγαθὸν συμβάλλεται τοῖς ἀνθρώποις, ὥσπερ καὶ τἀναντία τούτοις μεγάλως τὴν εὐημερίαν αὐτῶν λυμαίνονται. Καὶ εἰρήνη μέν ἐστι τὸ τῆς ἔχθρας καὶ τῆς ἐκπολεμώσεως ἀντίθετον· ὁμόνοια δὲ, τὸ αὐτὸ φρονεῖν, καὶ πρὸς τὸ αὐτὸ τέλος ἐπείγεσθαι· καὶ ἀπόλυτος μὲν ἀξία τούτοις οὐκ ἔνεστιν, ἐὰν δὲ ἀγαθόν τι τέλος αὐτοῖς ὑποτίθηται, καὶ φιλαδελφίας καὶ φιλανθρωπίας ἕνεκα διατηρῶνται, πολ-

(α) Ματθ. κς'. 40.

Digitized by Google

λοῦ γε τότε ἄξια, καὶ ὄντως ἀγαθὰ γίνονται. Διὰ τοῦτο καὶ ὁ λόγος τοῦ Θεοῦ παραγγέλλει: « Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύειν, μὴ ἑαυτοὺς ἐκδικοῦντες ἀγαπητοὶ, ἀλλὰ δότε τόπον τῇ ὀργῇ » (α)· καὶ ὑπὸ τοῦ Κυρίου οἱ εἰρηνοποιοὶ μακαρίζονται « Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται (β). » Γίνεται δὲ καὶ τοῦτο τὸ χαθῆκον ἐκ τῆς πρὸς ἀλλήλους καὶ τῆς πρὸς τὸν Θεὸν σχέσεως ἡμῶν. Ἵνα δὲ ἡ εἰρήνη καὶ ὁμόνοια οὕτω βασιλεύῃ ἐν ἡμῖν, ἀπαιτεῖται ἁ, βίος τοιοῦτος, ὥστε μηδαμῶς ταῖς ἀρχαῖς τῆς τε δικαιοσύνης καὶ τῆς ἠθικότητος ἀντιβαίνειν· β', μετριοπάθεια μετὰ συνέσεως, καὶ περιορισμὸς τῆς αἰσθητικότητος ἡμῶν· γ', παραχώρησις καὶ ὑπομονὴ ἐν οἷς ὁ πλησίον παρ' ἡμῶν δικαίως ἀπαιτεῖ· δ', εὐδιάλλακτον, ὅτε λύπην τινὰ, ἢ ζημίαν παρὰ τοῦ πλησίον ὑπέστημεν. Ἔξεστι μὲν γὰρ ὑπὲρ τῶν δικαίων ἀμύνεσθαι, εἰ ἀδικούμεθα, ἢ παρ' ἀξίαν κακῶς ὑπό τινος πάσχομεν, μᾶλλον δὲ καὶ εἰς δίκην ἐνάγειν τὸν ἀδικεῖν ἡμᾶς βουλόμενον, ἀλλ' ἐν ἀγάπῃ πρὸς τὴν δικαιοσύνην, ἐν μετριότητι καὶ φειδοῖ, οὐχὶ δὲ πικρῶς, καὶ ἀπαραιτήτους εἶναι ἐν οἷς ἀπαιτοῦμεν. Τὸ δὲ μάλιστα ῥᾳδίως τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν μετὰ τοῦ πλησίον ἀποκαθιστάνον ἐστὶ ἁ, τὸ εὐθὺς ἐν ἀρχῇ γενναίως τε καὶ ἀνδρικῶς τῇ ὀργῇ καὶ τῇ λύπῃ ἀνθίστασθαι, καὶ καταστέλλειν αὐτὰς ἐγειρομένας· δ', τὸ μετὰ λογισμοῦ προμελετᾶν, πῶς χρὴ τοῖς τοιούτοις συναναστρέφεσθαι, καὶ διάγειν, ἐπειδὰν εἰς διαφωνίαν ἔλθωμεν μετ' αὐτῶν· γ', τὸ μηδέποτε ἐπιλελῆσθαι, ὅτι ἀδελφὸς ὁ πλησίον καὶ τέκνον τοῦ αὐτοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς, καὶ παρορᾶν τὴν ἐξ αὐτοῦ γενομένην ἡμῖν λύπην, οἱ-

(α) Ῥωμ. ιϐ'. 18. (β) Ματθ. ε'. 9.

Digitized by Google

κτείροντας τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ εἰς αὐτὴν μᾶλλον, ἢ εἰς τὸν πλησίον ἀφορῶντας· δ', τὸ καταστέλλειν σπουδαίως τὴν δυσκολίαν, τὴν ὑπερηφανίαν, τὴν πλεονεξίαν, ἵνα μὴ κατισχύσωσι. Ταῦτα γὰρ πολλάκις τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν διέλυσαν καὶ ἠφάνισαν.

§. 117. *Περὶ τῆς ὑπολήψεως τοῦ πλησίον.*

Ὥσπερ περὶ τῆς ζωῆς καὶ τῆς σωματικῆς εὐδαιμονίας, οὕτω καὶ περὶ τῆς ἀγαθῆς ὑπολήψεως τοῦ πλησίον φροντίζειν ὀφείλομεν. Παντὶ γὰρ ἀνθρώπῳ ἀπαραίτητον εἰς εὐδοκίμησιν ἐν τῷ βίῳ ἡ ἀγαθὴ περὶ αὐτοῦ δόξα τῶν ἄλλων, καὶ τῶν πλείστων ἥ τε ἐνέργεια καὶ ἡ τύχη ἐκ τῆς κοινῆς περὶ αὐτῶν ὑπολήψεως ἤρτηται. Ὁ οὖν ὁπωσδήποτε τὴν παρὰ τοῖς ἄλλοις ἀγαθὴν ὑπόληψιν τοῦ πλησίον διαφθείρων, οὗτος ἀναιρεῖ καὶ διαφθείρει, ἵνα τὸ ἐλάχιστον εἴπω, τὸ πλεῖστον τῆς αὐτοῦ ὑπάρξεως, μηκέτι τὸ ἀγαθὸν κατορθοῦν δυναμένου, ὃ πρότερον ἠδύνατο. Τί γὰρ, φέρε, ἄρχων, ἢ ἱερεύς, ἢ διδάσκαλος, ἢ πατὴρ καὶ οἰκοδεσπότης ἐργάσεται, τὴν παρὰ τοῖς ὑφ' ἑαυτὸν ἀγαθὴν ὑπόληψιν αὐτοῦ ἀπολέσας; ἢ τί τεχνίτης, ἢ θεράπων, ᾧν ὁ βίος τῆς περὶ αὐτῶν ἀγαθῆς ὑπολήψεως μάλιστα ἤρτηται; τίς τοῦ λοιποῦ πιστεύσειεν αὐτοῖς, ὅταν ἅπαξ δυσφημισθῶσιν; οὕτως ἡ ζημία τῆς ἀγαθῆς ὑπολήψεως καὶ πολλῶν ἄλλων ὠφελίμων πραγμάτων συνεπάγεται τὴν ζημίαν. Καὶ ῥᾷστα μὲν καὶ τάχιστα ἡ ἀγαθὴ ὑπόληψις ἀναιρεῖται, χαλεπώτατον δὲ ἀφαιρεθεῖσαν ἀποδοῦναι αὖθις καὶ ἀποκαταστῆσαι· οἱ δὲ πλεῖστοι λανθάνουσι διαβάλλοντες, καὶ οὐδὲν περὶ ἀποτίσεως τοιαύτης ζημίας εἰδέναι βούλονται, καίτοι φανερῶς βλάψαντες. Οἷαι δὲ καὶ ὅσαι λύπαι, καὶ ζημίαι, καὶ ψόγοι φανεροί τε καὶ λανθάνοντες, καὶ ἄλγη καὶ

Digitized by Google

μίση καὶ ὀργαὶ ἐκ τούτου τοῖς ἀνθρώποις γίνονται, οὐδ' ἐξειπεῖν ῥᾴδιον. Διὸ καὶ ὁ κοινὸς νοῦς καὶ ἡ θεία φωνὴ ἐντέλλονται τὸ « ὃ σὺ μισεῖς, ἑτέρῳ μὴ ποιήσῃς ». Μὴ διάστρεφε τὴν ἀγαθὴν ὑπόληψιν τοῦ πλησίον, ἐπιμελοῦ δὲ, ὅπως τὸ κατὰ σὲ ἀκέραιος καὶ ἀδιάφθορος πανταχοῦ διατηρῆται, εἰ μὴ αὐτός τις τῇ τοῦ βίου φαυλότητι αὐτὴν ἀπολέσειε. Πολυτρόπως δ' ἄν τις τὴν τοῦ πλησίον ἀγαθὴν ὑπόληψιν διαστρέψειε, μάλιστα δὲ τῇ ἐκ κακίας διαδιδομένῃ κατ' αὐτοῦ εἰς τὸν λαὸν ὑπονοίᾳ, τῇ ἐπίτηδες ἢ ἐξ ἐλαφρίας γινομένῃ παῤῥησίᾳ καὶ ἐνώπιον πολλῶν κατακρίσει, τῇ ἐκ ζήλου καὶ φθόνου καὶ δυσμενείας συκοφαντίᾳ, καὶ τοῖς σαρκασμοῖς, δι' ὧν τὰ μὲν ἀληθῶς προσόντα τῷ πλησίον ἀγαθὰ ἰδιώματα, ἢ ὅλως ἀποφάσκονται, ἢ ἐκ προθέσεως κακῶς δεικνύονται, ἢ κακίαι καὶ φαῦλοι σκοποὶ ἀνύπαρκτοι πλάττονται, καὶ ἐλαττώματα ἀληθῆ μὲν, μικρὰ δὲ καὶ λανθάνοντα μεγεθύνονται, καὶ χωρὶς ἀνάγκης φανεροῦνται καὶ διαδίδονται· ἔτι δὲ καὶ τῇ ἐνώπιον ἄλλων φανερᾷ καταφρονήσει λόγοις καὶ σχήμασι δηλουμένῃ. Ἀλλὰ τῇ ἐκ τούτων καὶ τῶν τοιούτων γινομένῃ τῷ πλησίον ζημίᾳ κατὰ τὴν ἀγαθὴν ὑπόληψιν ἡ μεγίστη ἐπίκειται εὐθύνη, μάλιστα δὲ τῇ ἐξ ἔχθρας καὶ φθόνου, ἢ καὶ ἐκ μόνης χαιρεκακίας· σατανικὸν γὰρ ὄντως τὸ τοιοῦτον ἁμάρτημα. Διὸ καὶ ὅσῳ μείζων ἡ προσβολὴ γίνεται, καὶ ὁ σκοπὸς ταύτης ἀγενέστερος, καὶ ἡ ἐπίγνωσις τοῦ δι' αὐτῆς γινομένου τῷ πλησίον κακοῦ, καὶ ἡ προαίρεσις εἰς τοῦτο σταθερωτέρα, τοσούτῳ καὶ ἡ εὐθύνη καὶ τὸ ἁμάρτημα μεῖζον, καὶ βαρύτερον.

§. 118. *Περὶ σπερμολογίας.*

Οὐ σπάνιον ὁρᾶν τινας ἔργον ποιουμένους οὐκ ἔντιμον οὐδὲ γενναῖον, ἐρευνᾶν καὶ μανθάνειν, τί ἂν εἴη εἰς

Digitized by Google

ψόγον ἄλλου, καὶ λέγειν τοῦτο καὶ διαδιδόναι πολλαχοῦ, ὅπου ἂν εὑρίσκωσι πάροδον. Αἱ τοίνυν τοιαῦται εἰδήσεις οὕτω μανθανόμεναι, καὶ προφερόμεναι, καὶ ἡδέως ἀκουόμεναι, καλοῦνται σπερμολογίαι καὶ ψευδολογίαι. Καὶ περιέχουσι μὲν ἔσθ' ὅτε ἀλήθειάν τινα, ἀλλὰ καὶ ψεῦδος μεῖζον ὁμοῦ, σύμμικτόν τι ἐξ ἀμφοτέρων οὖσαι καὶ συγκεχυμέναι, καὶ προσθήκαις ἰδίαις τοῦ λέγοντος μετεσχηματισμέναι. Αἱ δὲ τοιαῦται σπερμολογίαι, εἴτε σιγῇ περιφέρονται, εἴτε παῤῥησίᾳ διαθρυλλοῦνται, σαφεῖς εἰσι συκοφαντίαι, καὶ ἡ ἐπ' αὐταῖς εὐθύνη ἐστὶν, ὡς ἡ ἐπὶ τοῖς ἀνωτέρω εἰρημένοις· μάλιστα δὲ, ὅταν ἀληθῶς ἡ τοῦ πλησίον ἀγαθὴ ὑπόληψις δι' αὐτῶν καταστρέφηται, καὶ διὰ τὸ φιλόψογον, ἢ δι' εὐτελές τι καὶ αἰσχρὸν συμφέρον, ἢ πάθος εἰς ἄλλους διαδίδωνται· καὶ οἱ περὶ ταύτας δὲ ἀσχολούμενοι, ὡς ἐπονειδιστον ἔργον, δικαίως παρὰ τῶν ἀγαθῶν καὶ φρονίμων ἀνδρῶν μισοῦνται καὶ φεύγονται. Ἔγκειται γάρ τις τῇ ἀνθρωπίνῃ φύσει ἀποστροφὴ κατὰ τῶν τοιούτων, καὶ πᾶς τις ἀπὸ τῆς ὁδοῦ καὶ τοῦ βλέμματος αὐτῶν ἐκκλίνει, ὅπου ἂν ᾖ δυνατὸν, ἀδύνατον εἶναι ἡγούμενος ἅληπτός τε καὶ ἀκέντητος παρελθεῖν ἀπ' αὐτῶν, ὡς ἀπὸ τῆς πολυακάνθου βάτου. Μεγάλη δ' ἀμφοτέροις ἡ εὐθύνη τοῖς τε θηρεύουσι τὰ τοιαῦτα ἀκούσματα, καὶ τοῖς ἡδέως ἀκούουσι καὶ ἀποδεχομένοις· καὶ ἔτι μείζων ἡ ἐπὶ τῇ βλάβῃ τῆς ἀγαθῆς ὑπολήψεως, ἢ ἡ ἐπὶ τῇ βλάβῃ τῶν πρὸς διατροφὴν καὶ εὐημερίαν ἀγαθῶν. Τῆς γὰρ ὑπάρξεως πολλῶν ἐκ τῆς περὶ αὐτῶν ἀγαθῆς ὑπολήψεως τῶν ἄλλων ἠρτημένης, μάλιστα δὲ τῶν ἐπάγγελμα, ἢ ἀξίωμά τι τῶν κρειττόνων ἐχόντων, καὶ τῶν ἐξ ἐπιτηδεύματος, ἢ ἐργοχείρου τινὸς διατρέφεσθαι ἀναγκαζομένων, ἡ κολόβωσις καὶ διαστροφὴ αὐτῆς τῆς ἀγαθῆς αὐτῶν ὑπολήψεως, κωλύουσα τὴν αὐτῶν

Digitized by Google

ἐνέργειαν, ἀποκλείει πολλάκις τὴν ὁδὸν αὐτοῖς εἰς τὸν πορισμὸν ἐν τῷ μέλλοντι τῶν πρὸς τὴν διατροφὴν καὶ τὴν εὐημερίαν ἀναγκαίων, καὶ πολλαπλοῦν τὸ ἄδικον αὐτοῖς κατεργάζεται. Διὰ τοῦτο καὶ αἱ πρὸς παιδιὰν ἐν συναναστροφῇ λεγόμεναι κατά τινος κακολογίαι, ἄδικοί εἰσι καὶ ἀθέμιτοι, ὡς τὴν αὐτὴν πολλάκις ζημίαν ἐμποιοῦσαι ταῖς ἐξ ἔχθρας καὶ δυσμενείας λεγομέναις. Οὐδὲν δὲ οὕτω ῥᾳδίως εἰς ἕξιν καθίσταται, ὅσον ὁ σαρκασμὸς, καὶ ἡ πρὸς τὸ βλάπτειν ἐπιθυμία, καὶ τὸ παντα χοῦ τὴν τῶν ἀνθρώπων ἀσθένειαν περιέργως ἀνιχνεύειν, καὶ τὴν ἀνιχνευθεῖσαν εἰς τὴν ἀγορὰν ἐκφέρειν, καὶ παντὶ τῷ ἐντυγχάνοντι φορτικῶς ἐπικεῖσθαι ἀκούειν αὐτήν. Γεννᾶται δὲ ἡ τοιαύτη κλίσις εἰς τὸ προφέρειν ἀνυποστόλως τὰ τοῖς ἄλλοις βλαβερὰ, καὶ ἐξ ἄλλων μὲν, μάλιστα δὲ ἀ, ἐκ τῆς ἄγαν αὐταρεσκείας καὶ ὑπερηφανίας· β', ἐκ τοῦ φθόνου καὶ τοῦ μίσους· γ', ἐκ τῆς κενοδοξίας, ὅπως ὀξύνους τε καὶ πολυίστωρ δοκῇ· δ', τέλος δὲ καὶ ἐκ τῆς πτωχείας τοῦ πνεύματος καὶ τῆς ἐλλείψεως ὠφελίμων γνώσεων· μηδὲν γὰρ εἰδὼς ὠφέλιμον λέγειν, ἵνα μὴ κωφός τε καὶ ἄλαλος φαίνηται, μωρὰ φθέγγεται, καὶ καταστρέφειν τὴν ἀγαθὴν ὑπόληψιν τοῦ πλησίον πειρᾶται, ἵνα τὸ ἴδιον αἶσχος καλύπτῃ.

§. 119. *Περὶ τῶν κενῶν προφάσεων τῶν φιλοψόγων.*

Πολλάκις οἱ τὸν πλησίον οὕτω διασύροντες, καὶ τὴν περὶ αὐτοῦ ἀγαθὴν δόξαν διαστρέφειν πειρώμενοι, παντοίοις λόγοις καλύπτειν, ἢ δικαιοῦν τὸ φιλόψογον καὶ μισάδελφον αὐτῶν ζητοῦσι, καί φασιν· Ὃ λέγω, μικρόν τι, καὶ πρὸς παιδιὰν, λέγεται· ἢ Ὃ εἶπον, οὐκ ἐπὶ βλάβῃ τοῦ πλησίον οὐδὲ ἐκ κακίας εἴρηκα· καὶ, Αὐ-

Digitized by Google

στηρῶς ἀπηγόρευσα, ὅπως μηδενὶ ἄλλῳ κοινωθείη τὸ ὑπ' ἐμοῦ ῥηθέν, καὶ τὰ τοιαῦτα. Ἀλλ' ὅτι πάντα ταῦτα διακενῆς λέγονται, καὶ οὐδαμῶς δικαιοῦσι τὴν ἐξ αὐτῶν γινομένην τῷ πλησίον βλάβην, οὐ χαλεπὸν συνιδεῖν. Κούφως γὰρ καὶ ἀσυνειδήτως ἀποκαλοῦσι μικρὸν, καὶ παιδιὰν τὰ ὄντως μὴ τοιαῦτα, καὶ ὡς ἀλήθειαν προφέρουσι τὸ μετ' ἀκριβεστέρας ἐξετάσεως ἁπλῆ εἰκασία καὶ κενὸν φαντασίας ἀνάπλασμα εὑρισκόμενον. Κατ' αὐτοὺς δὲ καὶ ἡ πικροτάτη κατηγορία, καὶ δηκτικωτάτη κατάκρισις, ζῆλος κατὰ τῆς ἐπικρατούσης διαφθορᾶς, καὶ φροντὶς φιλάνθρωπος, ἵνα μὴ προβῇ περαιτέρω, ἐςίν· Οὐδ' αὐτὸ δὴ τὸ μεθ' ὅρκου ἀπαγορεύειν τοῖς ἄλλοις, ἵνα μὴ τὸ ἀκουσθὲν εἴπωσιν, οὐδὲν ἰσχύει· πείρᾳ γὰρ ἴσμεν, ὅτι ὅσῳ μᾶλλον κωλύεται ἡ τοῦ μυστικοῦ φανέρωσις, τοσούτῳ θᾶττον διακοινοῦται· τὸ γάρ τισι κοινωθὲν οὐκ ἔτι ἔσται διαμένειν κρυπτὸν, ὡς ὄντων κἀκείνοις οἰκείων, οἷς ἀποκαλύψουσι τὸ εἰρημένον, καὶ οὕτω διὰ πολλῶν πάντως δημοσιεύεται. Εἰ μὲν οὖν ἀκριβῶς γινώσκομεν, ὅτι ὁ ἄδικα διανοούμενος καὶ πράττων, οὐκ ἀποστήσεται οἴκοθεν τῆς ἀδικίας, ἀλλὰ καὶ ποῤῥωτέρω προβήσεται, καὶ ἄλλους εἰς τὴν διαφθορὰν συμπαραλήψεται, τότε οὐ μόνον θεμιτὸν, ἀλλὰ καὶ καθῆκον ἱερὸν δηλῶσαι τὴν πρᾶξιν καὶ τὸ πρόσωπον, οἷς δεῖ, ἵνα τὸ κακὸν προληφθῇ, ἀλλὰ καὶ τότε μετὰ διακρίσεως καὶ οἰκονομίας, ἵνα μή τις ταραχὴ ἐγερθῇ μείζονα τὴν βλάβην ἐπάγουσα. Ὥσπερ γὰρ πολλάκις καθῆκον ἐκ τῆς ἀγάπης ὑπάρχει, τὰ τοῦ πλησίον ἁμαρτήματα, ἢ ἐλαττώματα τῇ σιγῇ καλύπτειν, οὕτω καὶ πολλάκις τὸ λέγειν αὐτά· καί εἰσιν ἡμῖν περὶ ἀμφοτέρων πλεῖστα παρὰ τοῦ Σωτῆρος καὶ τῶν θεοπνεύστων αὐτοῦ μαθητῶν παραγγέλματα, ἐν οἷς καὶ τὰ τοῦ μακαρίου Παύλου· « Ὁ πᾶς νόμος, φησὶ, ἐν ἑνὶ λόγῳ

Digitized by Google

πλ ροῦται ἐν τῷ «ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε» (α)· καὶ «Ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ δώσει λόγον τῷ Θεῷ, μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον» (β). Ὁ δὲ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς ἐντέλλεται τὸ «Ἐὰν ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου κ. τ. λ. (γ). Πόσων δὲ θλίψεων, καὶ ἐκπολεμώσεων, καὶ ἔχθρας διακένου εἴηταν ἂν οἱ ἄνθρωποι ἀπηλλαγμένοι, εἰ τοὺς τοιούτους κανόνας ἀκριβέστερον τηρεῖν βούλοιντο, καὶ ὅρια τῇ ἀθυροστομίᾳ τιθέναι!

§. 120. *Περὶ τῶν ἐκ τῆς γενομένης βλάβης τῇ ἀγαθῇ τοῦ πλησίον ὑπολήψει καθηκόντων.*

Τῷ τὴν ἀγαθὴν ὑπόληψιν τοῦ πλησίον βλάψαντι καθῆκόν ἐστι ά, τὴν τοιαύτην βλάβην ἀναπληρῶσαι, καὶ β', τὴν τῷ ἔργῳ αὐτοῦ γενομένην ζημίαν ἀποτῖσαι. Πῶς δὲ, καὶ ποῦ, καὶ πότε, αὐτὰ διδάξουσι τὰ πράγματα. Εἴ τις, φέρ' εἰπεῖν, ἐκ μωρίας, ἢ μίσους, ἢ ἐκ πλεονεξίας, κακὰς κατὰ τοῦ πλησίον ὑπονοίας διήγειρε, τὴν ἐν αὐτῷ ἐγνωσμένην χρηστότητα καὶ δεινότητα ἀρνούμενος, ἢ κακίαν ἀνύπαρκτον αὐτῷ προσάπτων, ἵνα τὴν παρ' αὐτοῦ ζητουμένην εὐδαιμονίαν κωλύσῃ, καθῆκον τότε τὴν διαδοθεῖσαν ψευδῆ φήμην ἀνελεῖν παῤῥησίᾳ καὶ ἐνώπιον τῶν, πρὸς οὓς ἡ διαβολὴ καὶ ἡ κατηγορία ἐγένετο, καὶ παρ' οἷς ἡ ζημία μεγίστη γενήσεται τῷ κατηγορηθέντι, καὶ τοῦτο, ἢ λέγων

(α) Γαλ. ε. 15. (β) Ῥωμ. ιδ'. 12. (γ) Ματθ. ιή. 15.

Digitized by Google

ἢ γράφων, ὅτι οὐκ ὀρθῶς κατὰ τοῦ πλησίον ἐλάλησε, καὶ διαμαρτυρόμενος κατὰ πάσης ζημίας, ἣν αὐτῷ ἡ διαδοθεῖσα ψευδὴς φήμη ἐμποιῆσαι δύναται, ὅπως τά γε τοιαῦτα προλήψεται, κἂν μετὰ ζημίας τοῦτο τῆς ἑαυτοῦ ἀγαθῆς ὑπολήψεως γίγνηται· ὁ δὲ μὴ οὕτω πράττων, οὐ μόνον τῆς δυσφημίας, ἀλλὰ καὶ τῆς ἐξ αὐτῆς γενομένης ζημίας τῶν ὑπαρχόντων ἔνοχος κρίνεται, ὡς περ ὁ κλέψας ἢ ληστεύσας αὐτά. Ἐὰν δὲ ὁ ἀδικηθεὶς ἑκουσίως τῆς ἀποζημιώσεως παραιτῆται, ἢ φυσικῶς τε καὶ ἠθικῶς ἡ ἀποζημίωσις ἀδύνατος ᾖ, τότε καὶ ὁ ἀδικῶν τῆς τοιαύτης ὀφειλῆς ἀπαλλάττεται. Οὐκ ἀρκεῖ δὲ μόνον τὸ μὴ ἀδικεῖν διὰ κρυφίων ἢ φανερῶν σπερμολογιῶν καὶ συκοφαντιῶν, ἀλλὰ μηδ' ἀνέχεσθαι παντάπασιν αὐτῶν, γινομένων παρ' ἄλλων, ἀλλὰ καὶ κωλύειν, τὸ καθ' ἑαυτὸν, ὅσον οἷόν τε, ἡ ἀντιλέγων παρρησίᾳ, καὶ τὰς κατηγορίας ἀσθενεῖς καὶ ἀνυποστάτους δεικνύων διὰ τῶν ἐν τῷ κατηγορουμένῳ γνωστῶν ἀγαθῶν, καὶ μετὰ διακρίσεως καὶ κοσμιότητος ὑπεραπολογούμενος, ἢ τῇ ὄψει καὶ τῇ σιγῇ καὶ τῷ σχήματι δηλῶν, μὴ ἀνεκτὴν αὐτῷ οὖσαν, μηδὲ καθ' ἡδονὴν τὴν τοῦ πλησίον ἀμαύρωσιν καὶ κατηγορίαν, καὶ ἐπ' ἄλλα δὲ μεταφέρων τὸν λόγον, ἵνα τὴν ἐξ αὐτοῦ βλάβην κωλύσῃ. Τὸ φείδεσθαι οὕτω τοῦ πλησίον καὶ ἀμύνεσθαι ὑπὲρ αὐτοῦ, τῶν καθηκόντων ἐστίν· « Ὅπως θέλετέ, φησιν, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως » (α). Ἐκφράζεται δὲ οὕτω· « Κώλυε, τὸ γ' ἐπὶ σοὶ, τὴν τῆς ἀγαθῆς ὑπολήψεως τοῦ πλησίον βλάβην ». Ἡ τοῦ καθήκοντος τούτου ἐκπλήρωσις τὸν μὲν πλησίον πολλῆς ζημίας τε καὶ λύπης ἀπαλλάττει, τῆς δὲ κακολογίας τὴν διάδοσιν καὶ τὰ ἐξ αὐτῆς κακὰ προλαμ-

(α) Ματθ. ζ'. 12.

Digitized by Google

βάνει, φιλίας δὲ θερμοτάτης αἰτία πολλάκις γίνεται, τοῦ κινδυνεύοντος δεινὰ παθεῖν ἐκ τῆς κακολογίας ἀκούσαντος, ὅτι θαῤῥαλέως ἠμύνατό τις ὑπὲρ αὐτοῦ. Διὰ ταῦτα πάντα χρὴ ά, ἀνθρωπίνως ἀεὶ καὶ κατὰ τὴν ἀξίαν καὶ τὸ προσῆκον, ἑκάστῳ τῶν πλησίον ἐν τοῖς λόγοις χρῆσθαι, τὸ χαλεπὸν καὶ τραχὺ καὶ σαρκαστικὸν τοῦ λόγου, καὶ τὸ δηκτικὸν καὶ εἰρωνικὸν καὶ καταφρονητικὸν διὰ παντὸς φεύγοντας· β′, ἀφορᾷν δὲ μᾶλλον εἰς τὸ ἐν αὐτῷ ἀγαθὸν, ἢ εἰς τὰ ἐλαττώματα καὶ ἁμαρτήματα αὐτοῦ· γ′, ἕως ἂν ἡ κακία τινὸς μὴ φανερὰ ᾖ, καλὸν κἀγαθὸν αὐτὸν ἡγεῖσθαι, καὶ ἀπὸ τῆς ὑπονοίας τῆς οἰκοθεν, ἢ παρ' ἄλλων διεγειρομένης προσέχειν· δ′, μὴ σπεύδειν ἐν τῇ περὶ τοῦ πλησίον κρίσει· πολλὴ γὰρ ἐκ τούτου οἰμωγὴ καὶ ζημία πολλάκις γίνεται τοῖς ἀνθρώποις· διὸ καὶ ἀσφαλῶς καὶ βραδέως εἰς τὴν περὶ τῶν ἄλλων κρίσιν δεῖ βαίνειν, καὶ μηδέποτέ τι φαντάζεσθαι, ὅπου ἂν μὴ ὦσι λόγοι ἀποχρῶντες, καὶ τὰ βεβαίως γινωσκόμενα μὴ κατακρίνειν, πρὶν ἄν τις μάθῃ, πρὸς τί, καὶ διὰ τί· ἑ, μὴ ἐκ μιᾶς πράξεως περὶ τοῦ ὅλου ἤθους κρίνειν· πολλὰ γὰρ καὶ ἐξ ἀγνοίας, ἢ ἐκ συναρπαγῆς πράττεται· ἀλλὰ τὸ δικαιοῦσθαι δυνατὸν, δικαιοῦν, καὶ τὸ ἐπ' ἀγαθῷ δυνατὸν ἐξηγεῖσθαι, οὕτως ἐκλαμβάνειν. Ἐνταῦθα μάλιστα ἁρμόττει τὸ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένον περὶ τῆς ἀγάπης, ὑφ' ἧς δεῖ πάντας ἐμπνέεσθαι. « Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ, πάντα στέγει, πάντα πιστεύει (τὰ ἀληθῆ καὶ τὰ ἀγαθὰ) πάντα ὑπομένει » (α)· πανταχοῦ μὲν εἰς τὸ ἀγα-

(α) Α′. Κορ. ιγ′. 4. καὶ ἑφεξ.

Digitized by Google

θὸν καὶ ὠφέλιμον μεθαρμόζεται, ἐξαιρέτως δὲ ἐν τοῖς λόγοις καὶ ταῖς κρίσεσι περὶ τοῦ πλησίον λίαν προνοητικὴ γίνεται, τὸ μὲν σιγᾶσθαι χρεὼν, τῇ σιγῇ καλύπτουσα, τὸ δὲ πεπιστευμένον αὐτῇ, ὡς μυστήριον ἱερὸν διαφυλάττουσα.

Digitized by Google

ΤΗΣ

ΚΑΤΑ ΧΡΙΣΤΟΝ ΗΘΙΚΗΣ

ΜΕΡΟΣ Γ',

Ἰδιά τινα καθήκοντα πραγματευόμενον.

ΚΕΦΑΛΑΙΟΝ Α'.

§. 1. *Περὶ τῆς κτήσεως καὶ τοῦ ἐπ' αὐτῇ δικαιώματος.*

Τὰ μὲν ἄχρι τοῦδε εἰρημένα καθήκοντα κοινά εἰσι πᾶσιν ἀνθρώποις, καὶ ἐκ τῆς ἀναλλοιώτου σχέσεως ἡμῶν πρὸς τὸν Θεὸν καὶ πρὸς ἀλλήλους προέρχονται· τὰ δὲ ἑπόμενα ταῖς κατὰ τὸ μᾶλλον ἢ ἧττον προαιρετικῶς συνισταμέναις σχέσεσιν ἐποικοδομοῦνται, καὶ εἰδικά εἰσιν· ἀλλὰ καὶ ταῦτα, τηρούμενά τε καὶ ἀκριβῶς ἐκτελούμενα, ὠφελιμώτατα τοῖς ἀνθρώποις γίνονται, καὶ μέγα πρὸς τὴν διατήρησιν τῆς ἀπολύτου ἡμῶν σχέσεως τῆς πρὸς τὸν Θεὸν καὶ τῆς πρὸς ἀλλήλους συμβάλλουσι· τῶν γὰρ σχέσεων, ἐφ' αἷς ταῦτα ἐρείδονται, τιμωμένων τε καὶ διατηρουμένων προσηκόντως, καὶ ἡ καθολικὴ τότε διατηρεῖται, ὥσπερ καὶ τοὐναντίον. Κυριώτεραι δὲ τῶν εἰδικῶν τούτων σχέσεων εἰσὶν αὗται· ἁ, ἡ πρὸς ἀλλήλους ἐκ τοῦ δικαιώματος ἐπὶ τῆς ἰδίας οὐσίας ἑκάστου συνισταμένη· β', ἡ τῶν συζύγων· γ', ἡ τῶν κυρίων καὶ τῶν οἰκετῶν· δ', ἡ τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων. Καὶ κτῆσις μὲν λέγεται ὁ παντὸς ἀναγκαίου ἢ χρησίμου γε πρὸς τὴν διατήρησιν καὶ ἀσφάλειαν καὶ

Digitized by Google

ραστώνην τοῦ βίου δίκαιος πορισμός· καὶ κτῆμα ἴδιον καλεῖται τὸ οὕτω πορισθέν· τὸ γὰρ ἀδίκως οὐκ ἄν εἴη οὐδὲ λέγοιτο κτῆμα ἴδιον. Ὁρίζεται δέ τις δικαίως, ὅταν μηδενὸς ἄλλου δικαιώματα πρὸς τὴν κτῆσιν βλάπτῃ· ἐὰν δὲ μετὰ δόλου ἢ βίας ἑαυτῷ τὰ ἀλλότρια περιποιῆται, οὐ δικαίως κτᾶται, οὐδὲ κτῆμα ἴδιον κληθείη ἂν τὸ οὕτω κεκτημένον. Ἡ μὲν οὖν ἐξουσία, ἣν ἔχει ἕκαστος τοῦ περιποιεῖσθαι ἑαυτῷ πάντα τὰ πρὸς τὴν ζωὴν καὶ τὴν εὐπάθειαν ἀναγκαῖα, καὶ περιποιησάμενος οὕτω, φυλάττειν ταῦτα ἑαυτῷ, καὶ κατὰ τὸ δοκοῦν χρῆσθαι, δικαίωμα ἐπὶ τῆς ἰδίας οὐσίας καλεῖται. Τριπλοῦν δὲ δοκεῖ εἶναι, ἤτοι ἀ, τοῦ κτήσασθαι· β', τοῦ κατέχειν τὸ κεκτημένον· γ', τοῦ καθ' ἡδονὴν αὐτῷ χρῆσθαι· ἤτοι δικαίωμα κτήσεως, τηρήσεως, καὶ χρήσεως. Ἐπὶ τούτῳ τοίνυν τῷ δικαιώματι πᾶσα ἡ πάντων ἀνθρώπων ἀσφάλειά τε καὶ ἡσυχία καὶ εὐδαιμονία θεμελιοῦται. Εἰ γὰρ μὴ ἐξῆν ἑκάστῳ τὸ ἐν τῷ βίῳ ἀναγκαῖόν τε καὶ χρήσιμον πορίσασθαι, ἢ ἑτέρῳ ἐξῆν ἀφαιρεῖν τοῦ κεκτημένου, ὃ δικαίως ἐπορίσατο, ἢ βίᾳ τὴν ἀπόλαυσιν καὶ χρῆσιν αὐτοῦ κωλύειν, πάντες ἂν ἐν ὀλίγῳ ἀπώλοντο καὶ ἠφανίσθησαν, μᾶλλον δὲ ἡ νῦν ὑπὸ τοσούτων ἀνθρώπων οἰκουμένη εἰς ἐρημίαν αὐτίκα μετεβάλλετο, ἢ εἰς σαρκοβόρων θηρίων, ἢ ἡμιαγρίων πλανήτων κατοικίαν, πᾶσα δὲ ἡ γῆ εἰς ζοφερὸν καὶ φρικαλέον τάφον, καὶ ἡ τῶν ἀνθρώπων κοινωνία πᾶσα διελύετο. Τοὐναντίον δὲ ἐκ τῆς ἱστορίας παντὸς χρόνου καὶ πάντων τῶν ἐθνῶν βεβαιοῦται, ὅτι ὅσῳ ἀκριβέστερον ἡ οὐσία ἑκάστου διεκρίνετο, καὶ τὸ ἐπ' αὐτῇ αὐτοῦ δικαίωμα ὡς ἱερὸν καὶ ἀπαραβίαστον ἀνωμολογεῖτο καὶ ἐτιμᾶτο, τοσούτῳ καὶ αἱ τέχναι προήγοντο ἐπὶ τὸ τελειότερον, καὶ αἱ ἐπιστῆμαι πᾶσαι, καὶ ἡ γεωργία καὶ ἡ βιομηχανία, ἔτι δὲ καὶ τὸ φιλόπατρι, καὶ ἡ ἀ-

Digitized by Google

μοιβαία σχέσις τῶν ἀνθρώπων, καὶ πᾶσα κοινωνικὴ ἀρετὴ ἤκμαζεν. Ὡς οὖν τοιούτων καὶ τηλικούτων ἀγαθῶν πᾶσιν ἀνθρώποις γινομένων ἐκ τοῦ ἐπὶ τῆς ἰδίας οὐσίας ἑκάστου δικαιώματος, δῆλον, ὅτι καὶ θέλημα πάντως ἐστὶ τοῦ πατρὸς ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ἵνα παρὰ πάντων γινώσκηται, καὶ ἀνεπηρέαστον διαμένῃ· διὸ καὶ ἡ καθολικὴ τῶν ἀνθρώπων γνώμη, καὶ ὁ θεῖος λόγος ὡς ἄδικον καὶ κακοῦργον ἀποφαίνονται πάντα τὸν μὴ βουλόμενον γνῶναί τε καὶ σέβεσθαι τὸ τοιοῦτο δικαίωμα, ἀλλ' ἢ δόλῳ ἢ βίᾳ ἐπηρεάζοντα αὐτό· μάλιστα δὲ ὁ θεῖος λόγος καὶ μόνην τὴν ἐπιθυμίαν τῶν ἀλλοτρίων ὡς ἀθέμιτον ἀπαγορεύει. Εἰσὶ δ' ἐν γένει τὰ ἐφ' ὧν τὸ δικαίωμα, ἢ πρόσωπα, ἢ πράγματα· διὸ καὶ εἰς προσωπικὸν, καὶ πραγματικὸν αὐτὸ διαιρεῖται, καὶ τὸ πραγματικὸν αὖθις εἰς τὸ ἐπ' αὐτοῦ τοῦ πράγματος, ἢ εἰς τὸ ἐπὶ τῆς χρήσεως μόνης καὶ ἀπολαύσεως αὐτοῦ πρὸς καιρὸν, οἷον ἐν ταῖς ἐνοικιάσεσιν, ἢ ἐκμισθώσεσι. Καὶ αἱ διαιρέσεις αὗται οὐκ ἄχρηστοί εἰσιν, ἀλλ' ἔχουσί τι ἀξίας, ὡς ἐπὶ τὴν φύσιν τοῦ πράγματος στηριζόμεναι.

§. 2. *Περὶ πορισμοῦ τῆς οὐσίας.*

Διττῶς ἄν τις τὴν οὐσίαν πορίζοιτο, ἤτοι δικαίως, ἢ ἀδίκως· καὶ ὁ μὲν δίκαιος πορισμὸς θεμιτὸς, ἀθέμιτος δὲ ὁ ἄδικος. Καὶ δίκαιος μὲν καὶ θεμιτός ἐστι, ἀ, ἡ ἄμαχος κατοχὴ πράγματος, μηδενὶ προσήκοντος πρότερον· β', τὰ ἐκ νομίμων συναλλαγμάτων γινόμενα· γ', τὸ ἐκ τῆς ἐργασίας τε καὶ φιλοπονίας κέρδος. Κατὰ μὲν τὸν πρῶτον πορισμὸν, πάντα ἐν ἀρχῇ τὰ ἐν τῷ κόσμῳ, μηδενὶ πρότερον προσήκοντα, ἐγένοντο κτῆμα ἴδιον ἑκάστου, ὡς ἐξὸν τῷ βουλομένῳ τὸ ὑπ' οὐδενός

Digitized by Google

πω κατεχόμενον οἰκειοποιεῖσθαι καὶ κατέχειν. Τοῦτο δὲ ἔτι καὶ νῦν γίνεται, ἐν οἷς ἂν οὐδεὶς γινώσκηται κύριος, ἢ ἀνεῖλεν αὐτὸς καὶ ἀφῆκε τὸ ἐπ' αὐτῶν δικαίωμα. Ἄμαχον δὲ δεῖ τὴν κατοχὴν γίνεσθαι, ἵνα καὶ δικαίωμα ἐπ' αὐτοῦ σύστῃ· τὸ γὰρ δόλῳ ἢ βίᾳ κατεχόμενον, οὐδὲν συνίστησι δικαίωμα, οὐδὲ θεμιτόν ἐστιν, ἄρα οὔτε κτῆμα ἴδιον. Ἔτι δὲ δεῖ καὶ φανερῶς ἐξηγήσασθαι τοῖς ἄλλοις, ὅτι κατέχειν αὐτὸ τοῦ λοιποῦ, ὡς κτῆμα ἴδιον, βούλεται, καὶ φυλάττειν ἑαυτῷ, ὅπως καὶ οὗτοι γινώσκοντες ἀπέχωσιν αὐτοῦ. Ὁ δὲ διὰ συναλλάγματος, ὃ νῦν ἐν χρήσει μάλιστα ὑπάρχει· καλεῖται δ' ὁ αὐτὸς καὶ παράγωγος, καὶ τὸν πρῶτον προϋποτίθησιν, ἵνα δικαίως καὶ θεμιτῶς δι' αὐτοῦ τὸ ἐπὶ τῆς οὐσίας δικαίωμα εἰς ἕτερον μεταβῇ· ὃ γὰρ κέκτηταί τις, καὶ νομίμως κατέχει, οὐδενὶ ἔξεστιν ἑτέρῳ βίᾳ ἁρπάζειν αὐτὸ, ἢ δόλῳ, καὶ φθείρειν, χωρὶς ὕβρεως καὶ ἀδικίας πρὸς τὸν κεκτημένον. Εἰ δὲ δεῖ ἄλλου γενέσθαι, τῇ ἐκουσίᾳ βουλῇ καὶ συγκαταθέσει τοῦ κεκτημένου ἀμάχως τε καὶ εἰρηνικῶς χρὴ γίνεσθαι· ἄλλως δὲ ἄδικόν τε καὶ ἀθέμιτον· ἑκάστῳ γὰρ ἔξεστι τοῖς ἑαυτοῦ καθ' ἡδονὴν χρῆσθαι, καὶ ἄλλοις ταῦτα δωρήσασθαι, καὶ πράγματι, ἢ ἐργασίᾳ τινὶ ἀνταλλάξαι, ἐὰν ἀμφότερα τῶν συναλλαττομένων μερῶν συμφωνῶσιν· οὕτω δὴ δίκαια πάντα καὶ κατὰ τάξιν γίνεται· τῷ γὰρ βουλομένῳ οὐδεμία γίνεται ὕβρις ἢ ἀδικία. Ὅταν οὖν, ἢ προαιρετικῶς, ἢ ἐν ἀνταλλαγῇ πράγματος ἑτέρου, ἢ ἀντὶ ἐργασίας τινὸς διδῶ τις ἑτέρῳ τι τῶν ἑαυτοῦ, κατὰ τὴν θέλησιν καὶ τοῦ λαμβάνοντος, συνάλλαγμα ἐξ ἀμοιβαίας συγκαταθέσεως καὶ συνθήκης λέγεται. Ὥστε ἡ συνθήκη δήλωσίς ἐστι τῆς ἀμοιβαίας θελήσεως δύο, ἢ καὶ πλειόνων προσώπων, καθ' ἣν τι ἀμάχως τε καὶ δικαίως ἀπὸ τῆς κτήσεως τούτου εἰς τὴν τοῦ ἑτέρου μεταβαίνει. Τῶν δὲ συνθη-

Digitized by Google

κῶν αἱ μέν εἰσιν ἀπόλυτοι, αἱ δὲ ὑφ᾽ ὅρους τινὰς, καὶ ὑπουργίαν τινὰ ἀφορῶσι τοῦ ἑτέρου, ἢ καὶ ἀμφοτέρων τῶν συντιθεμένων. Ἐν ἁπάσαις δὲ δεῖ προσέχειν, τί, καὶ εἰς τίνα καιρὸν, καὶ ὑπὸ τίνας ὅρους ἐρρέθη, καὶ πάντα ἀκριβῶς τε καὶ κατὰ γράμμα λαμβάνειν. Διὰ τοῦτο καὶ ῥήμασιν ὡρισμένοις καὶ ἐναργέσι χωρὶς δόλου καὶ ψεύδους χρῆσθαι δεῖ ἐν αὐταῖς μετὰ σπουδῆς καὶ συνειδήσεως τελείας, καὶ σώας φρενὸς, ἄλλως δὲ, ἄκυρος καὶ ἀνίσχυρος ἂν μένοι· ἔτι δὲ καὶ ὑπόθεσιν ἔχειν οὐδὲν τῶν καθ᾽ ἑαυτὰ αἰσχρῶν, ἢ ἀδίκων καὶ ἀθεμίτων, ἀλλ᾽ ὅπερ ὁ πρότερος δικαίως ἐκέκτητο, ἵνα διὰ τῆς συνθήκης δικαία κτῆσις καὶ τῷ ἑτέρῳ γένηται· χωρὶς γὰρ τούτων ἔν γε τῷ τῆς συνειδήσεως δικαστηρίῳ οὐδὲν ἰσχύουσιν, οὐδ᾽ ἀληθὴς κτῆσις γένοιτ᾽ ἂν δι᾽ αὐτῶν, κἂν τοῖς πολλοῖς ἄλλως δοκῇ, ὡς τὴν ἀπιστίαν, ἣπερ ἐγένοντο, ἀγνοοῦσι. Τοιαύτης οὖν γενομένης τῆς συνθήκης, καθῆκον ὁμολογεῖται ἀμφοτέρων τῶν συντεθειμένων, ἵνα τοῖς ἐγνωσμένοις τε καὶ ὡμολογημένοις ἐμμένωσι, τὸ ὑπὸ τοῦ γράμματος καὶ τοῦ πνεύματος τῆς συνθήκης ἀπαιτούμενον ἀλλήλοις παρέχοντες. Γίνεται δὲ πάλιν καὶ τοῦτο τὸ καθῆκον ἐκ τῆς ὀφειλομένης τῷ πλησίον ἀγάπης καὶ δικαιοσύνης καὶ τιμῆς· ἡ γὰρ ἀληθοσύνη καὶ πίστις καὶ εἰλικρίνεια ἐν ταῖς ὑποσχέσεσι καὶ τοῖς ὡμολογημένοις, δόξα καὶ στέφανός ἐστι τῆς ἀνθρωπότητος· δολοφροσύνη δὲ καὶ ψεῦδος καὶ ἀπάτη, κηλὶς αὐτῇ μέλαινα καὶ λύμη· καὶ εἰ μὴ τὸ ὅλον, ἀλλὰ τόγε πλεῖστον καὶ μέγιστον τῆς τῶν προσώπων καὶ ἐθνῶν ὅλων ἀσφαλείας τε καὶ ἡσυχίας καὶ εὐημερίας, ἐκ τοῦ εἰλικρινῶς συνομολογεῖν καὶ συντίθεσθαι, καὶ πιστῶς τὰ ἀνωμολογημένα τηρεῖν, ἤρτηται. Οὔτε πλέον δὲ, οὔθ᾽ ἧσσον τῇ συνθήκῃ μεταβιβάζεται, ἢ ὅσον αὕτη ὁρίζει, καὶ οὔτε δοῦναι, οὔτε πρᾶξαί τι πλέον ὁ

Digitized by Google

ἕτερος ὀφείλει, οὐδὲ προσδοκᾷν ἢ αἰτεῖν ὁ ἕτερος δικαιοῦται. Ὅταν δὲ τὰ δικαίως συνομολογηθέντα, δικαίως καὶ ἀκριβῶς παρὰ τῶν συνομολογησάντων ἀμφοτέρων ἐνεργῶνται καὶ τηρῶνται, οὐδεμία λύπης ἀφορμὴ εὔλογος γίγνεται.

§. 3. Ἐπεὶ δὲ συμβαίνει πολλάκις τοιαύτην εἶναι τὴν τῆς συνομολογίας ὑπόθεσιν, ὥστε μὴ αὐτίκα μετὰ τὴν συνομολογίαν παραδοῦναι τὸ, ὃ συνωμολόγηται, ἀλλ' ἀνάγκη χρόνον τινὰ παρελθεῖν, πρὶν ἂν ἡ παράδοσις αὐτοῦ ἐνεργηθῇ, ἀπορεῖται, εἰ ἐν τῷ μεταξὺ χρόνῳ, μέρος, ἢ ὅλον τὸ συμπεφωνημένον ἀπολεσθείη, ἢ γοῦν οὕτω διαφθαρείη, ὥστε μηκέτι εἶναι τοιοῦτον, οἷον συνεφωνήθη, πότερος τῶν συνομολογησάντων δικαίως ἂν τὴν ἐκ τούτου ζημίαν ὑποσταίη; Καὶ φαμὲν, εἰ μὲν ἐξ ἀμελείας, ἢ δόλου τῆ τοῦ πράγματος ἀπωλεία, ἢ τῇ φθορᾷ συνετέλεσεν ὁ παρ' ᾧ πρὸ τῆς παραδόσεως τὸ πρᾶγμα ἀπέκειτο, πάντως δήπου καὶ τὴν ζημίαν ὑποστήσεται οὗτος, ὡς αἴτιος ταύτης γενόμενος. Εἰ δὲ ὁ ὀφείλων παραλαβεῖν αὐτὸ, οὐ παρέλαβεν ἐν καιρῷ, ἀλλὰ κατέλιπεν αὐτὸ πέρα τῆς ῥητῆς προθεσμίας, αὐτὸν δεῖ τότε τὴν ζημίαν ὑποστῆναι. Εἰ δ' αὐτομάτως διεφθάρη ἢ ἀπώλετο, μηδετέρου τῶν συναλλασσομένων αἰτίαν εἰς αὐτὸ παρασχόντος, ἀμφοτέρους τότε δοκεῖ δίκαιον εἶναι τὴν ζημίαν ὑποστῆναι, εἰ μήτι καὶ περὶ τούτου πρότερον συνωμολόγηται.

Συμβαίνει δὲ καὶ ἐκ τῶν ἑπομένων λόγων καὶ τὰ δικαίως καὶ νομίμως συνωμολογημένα πολλάκις ἀκυροῦσθαι· οἷον ά, ὅτε ὑφ' ὅρους τινὰς συνωμολογήθη, ὧν χωρὶς, οὐδὲν ἔχουσι τὸ κῦρος· μὴ πληρουμένων γὰρ τῶν ὅρων, αἴρεται τὸ τοῦ συμβολαίου κῦρος· β', ἐὰν ἀμφοτέροις ὁμοῦ τοῖς συναλλασσομένοις ἄκυρον ἀποφῆναι τὸ συμβόλαιον δόξῃ· γ', ἐὰν, ὅ, ὑπὲρ οὗ μάλιστα

Digitized by Google

τὸ συμβόλαιον ἐγένετο, ἐκουσίως τῶν ἐξ αὐτοῦ δικαιωμάτων παραιτῆται· δ', ἐὰν ὁ ἕτερος τῶν συναλλασσομένων τὰ ὁμολογηθέντα μὴ τηρῇ· οὕτω γὰρ καὶ ἀπὸ τοῦ ἑτέρου ἡ ὀφειλὴ αἴρεται· ε', ἐὰν τὰ τῶν συναλλασσομένων οὕτω μεταβληθῇ, ὥστε καὶ ἡ τοῦ συμβολαίου ἐκτέλεσις ἠθικῶς ἢ φυσικῶς ἀδύνατος ἀποβαίνει. Δεῖ δὲ μόνον τὰς μεταβολὰς ὁρᾷν, μὴ δόλῳ ἢ τεχνάσματι γίνωνται· αἱ γὰρ τοιαῦται οὐδεμίαν ἀκύρωσιν τοῦ συναλλάγματος ἐπάγουσιν.

§. 4. *Περὶ τοῦ ἐκ τῶν συναλλαγμάτων δικαιώματος.*

Τὸ νομίμῳ συναλλάγματι προσκτηθὲν ἴδιον τοῦ κτησαμένου καθίσταται τοῦ λοιποῦ, καὶ δίκαιός ἐστιν οὗτος παρὰ τῶν ἄλλων αἰτεῖν, ὅπως μηδεὶς αὐτῷ τὴν κατοχὴν ἢ ἀπόλαυσιν ἐπηρεάζῃ, μηδὲ βλάπτῃ, ἢ ἀφαιρῆταί τι ἐξ αὐτοῦ. Ἔτι δὲ καὶ μὴ ἀνέχεσθαι, μηδὲ συγχωρεῖν ἄλλοις, ἐὰν παρὰ τὴν ἑαυτοῦ γνώμην δόλῳ, ἢ βίᾳ φθείρωσιν, ἢ ἁρπάζωσιν αὐτό· καὶ τὸ μὲν, ἀσφαλίσεως, τὸ δὲ, ἀμύνης καλεῖται δικαίωμα, ὧν χωρὶς, οὐκ ἄν ποτε ἀσφαλὴς εἴη ἀπὸ τῆς κακίας τε καὶ τῆς πλεονεξίας ἡ κτῆσις. Δύο δέ τινα τὰ δικαιώματα ταῦτα παρέχουσι· πρῶτον μὲν, ἐξουσίαν τοῦ κωλύειν ἢ ἀποτρέπειν τὴν ζημίαν, πρὶν γένηται, ἐναντιούμενον, ὅπως μὴ γένηται· εἶτα δὲ, καὶ ἐξουσίαν τοῦ αἰτεῖν ἐπὶ τῇ γενομένῃ ἤδη ζημίᾳ ἀποζημίωσιν παρὰ τοῦ βλάψαντος· τὸ μὲν οὖν καλεῖται προφυλάξεως, τὸ δὲ ἀποζημιώσεως δικαίωμα. Ἀμφοτέροις δὲ τοῖς δικαιώμασι τούτοις πράως τε δεῖ καὶ φιλανθρώπως χρῆσθαι, οἷον τῷ μὲν τῆς προφυλάξεως, ἵνα μὴ ζημία γένηται, ἔξεστι σπουδαίως ἀντιστῆναι, ἀλλὰ κατὰ τὴν ἀξίαν τοῦ πράγματος, καὶ κατὰ τὸ εἶδος τῆς προσβολῆς, ὡς καὶ ἐν τῷ περὶ ἀμύνης

Digitized by Google

τῶν ὑπαρχόντων εἴρηται, καὶ μόνον, ἵνα τὴν ἀπειλουμένην ζημίαν καὶ ἀδικίαν προκαταλάβῃ, καὶ μὴ μεῖζον γένηται τὸ κακὸν τὸ ἐκ τῆς ἀντιστάσεως, ἢ τὸ ἐκ τῆς βλάβης καὶ τῆς ἀδικίας αὐτῆς· τῷ δὲ τῆς ἀποζημιώσεως, ἔνθα μόνον πραγματικὴ ἐγένετο βλάβη, ἴσην ταύτῃ τὴν ἀποζημίωσιν αἰτεῖν· οὐδὲν γὰρ πλέον οὔθ' ὁ ζημιωθεὶς αἰτεῖν δικαιοῦται, οὔτε τῷ ζημιώσαντι καθῆκον δοῦναι, ἢ τὸ ἀφαιρεθέν. Καὶ ἐφεῖται μὲν τὸ δικαίωμα τοῦτο σπουδαίως ἐνεργεῖσθαι, ἄλλως τε, καὶ ὅταν μεγάλη τις ἡ ζημία τυγχάνῃ· ἡ δ' ἀποζημίωσις οὐ κατὰ προαίρεσιν γίνεται· ἀεὶ δὲ δεῖ μετ' ἐπιεικείας τε καὶ παρατηρήσεως τοῦ προσώπου, παρ' οὗ ἡ ἀποζημίωσις· οὐ γὰρ ἐπὶ καταστροφῇ τελείᾳ τοῦ πλησίον εἰκὸς γίνεσθαι, οὐδὲ πρὸς μόνον τὸ ἴδιον ὄφελος, ἢ πρὸς τὴν ἐκδίκησιν ἐν τοῖς τοιούτοις ἀφορᾷν, ἀλλὰ πρὸς τὴν δικαιοσύνην, καὶ τὴν τῆς ἀδικίας ἀναίρεσιν, καὶ τὴν τῆς τάξεως, ἣν ἐν τοῖς ἀδελφοῖς ἐπικρατεῖν δεῖ, ἀποκατάστασιν.

§. 5. *Περὶ τοῦ, πῶς καὶ πότε τὴν ἀποζημίωσιν γίνεσθαι χρή.*

Πολλαχῶς ἂν ἐν τοῖς τοῦ πλησίον ὑπάρχουσι ζημία γένοιτο· ἢ γὰρ ἀφαιρεῖταί τι δόλῳ ἢ καὶ βίᾳ, ἢ διαφθείρεται οὕτως, ὥστε μηκέτι τὴν προτέραν παρέχειν ὠφέλειαν, ἢ καὶ κατὰ κράτος ἀπόλλυται, ὥστε μηκέτι ὑπάρχειν. Κατὰ τὸ διάφορον ἄρα τῆς ζημίας διάφορον ἂν εἴη καὶ τὸ τῆς ἀποζημιώσεως· καθόλου δ' εἰπεῖν, τὴν ἀποζημίωσιν τελείαν εἶναι δεῖ εἰς τὴν προτέραν κτῆσιν τοῦ ζημιωθέντος ἀποκατάστασιν. Εἰ μὲν οὖν τι βίᾳ, ἢ δόλῳ ἀφαιρεθὲν, τέλειον ἔτι καὶ ἀκέραιον μένει, ἀποδιδόναι αὐτὸ χρὴ, ᾧ προσῆκε, καὶ τοῦτο καλεῖται ἀπόδοσις. Εἰ δ' ὑπάρχει μὲν, ἀλλ' ἐφθαρμένον καὶ κα-

Digitized by Google

κῶς ἔχον, ἀποδοτέον μὲν καὶ τότε, ἢν ὁ κτήτωρ ἀπολαβεῖν βούληται, μετ' ἀποζημιώσεως δὲ ἐπὶ τῇ γενομένῃ φθορᾷ, καὶ τῇ ἐκ τῆς στερήσεως αὐτοῦ ζημίᾳ. Μὴ βουλομένου δ' ἐκείνου ἀπολαβεῖν οὕτω τὸ ἐφθαρμένον, ὡς ἄχρηστον τοῦ λοιποῦ, ἢ μηκέτι μένοντος τοῦ ἀφαιρεθέντος, καθήκει τότε τὸ ἐντελὲς ἀντίτιμον αὐτοῦ ἀποτῖσαι. Καὶ ταῦτα πάντα δικαιοῦται μὲν ὁ ζημιωθεὶς ἀπαιτεῖν, ὀφείλει δ' ὁ ζημιώσας ἀποδοῦναι. Ἔτι δὲ πρὸς τούτοις, ἐὰν πρὸς τῇ ἀφαιρέσει τινὸς τῶν ἐμῶν, καὶ ἄλλην ἐκ ταύτης ζημίαν ὑφίσταμαι, δίκαιός εἰμι καὶ ταύτην παρὰ τοῦ προσάψαντος ἀπαιτεῖν· τοῦ δὲ καθῆκον ἀποδοῦναι καὶ ταύτην· οἷον τὸ ὑφαιρεθὲν ἢ λωβηθὲν πολλήν μοι παρεῖχε τὴν ὠφέλειαν, ἧς νῦν στεροῦμαι, αἴτιος δὲ ὁ ὑφελὼν, ἢ λωβητάμενος· ἢ οὐχ ἁπλῶς ὠφέλιμον, ἀλλὰ καὶ ἀναγκαῖον, οὗ χωρὶς οὐ δύναμαι ζῆν, ἀλλ' ἀνάγκη μοι ἄλλο κτήσασθαι, καὶ τοῦτο δεῖται δαπάνης οὐ σμικρᾶς, καὶ αἴτιον ταύτης ἡ παρ' ἐκείνου γενομένη μοι ζημία. Ἀμφότερα οὖν ταῦτα τὸν αἴτιον ἀποδοῦναι καὶ ἀποτῖσαι χρὴ, καὶ τὰς ἀποδόσεις ὡς τάχιστα γίνεσθαι· ἡ γὰρ ἑκούσιος ἀναβολὴ, συνέχεια τῆς ἀδικίας ἂν εἴη. Εἰ δὲ μὴ δύναιτο ἅπασαν ἅμα τὴν ζημίαν ἀποτῖσαι, ὡς μὴ εὖ ἐχόντων τῶν κατ' αὐτὸν, ἐκ διαλειμμάτων γοῦν, ὅσον οἷόν τε, ἀποδοτέον, τὸ δὲ λοιπὸν, ἐπειδὰν τάχιστα δύνηται· καὶ εἴποτέ τις δι' εὐλόγους αἰτίας μὴ δύναιτο αὐτὸς τὴν ἀπότισιν ποιεῖν, ἐπιτρεπέτω τινὶ τῶν πιστῶν καὶ δοκίμων, ᾧ πέποιθεν, ὅτι τιμίως τὸ ἐπιτετραμμένον ἐκτελέσει. Μηδεὶς δὲ ῥᾳδίως οὕτω τοῦ καθήκοντος τούτου ἀπολειπέσθω, μηδ' ἄλλον ἀπολυέτω, ὡς κατὰ τὴν ἀκρίβειαν ὄντος τῆς δικαιοσύνης, καὶ οὐδενὶ αὐτοσχεδιάζειν ἔξεστιν ἐν τοῖς τοιούτοις· ἡ γὰρ εὐπραγία καὶ τοῦ ἀδικηθέντος καὶ πάντων ἀνθρώπων πάντα ἐν τούτῳ ἀκριβῶς καὶ κατὰ

Digitized by Google

γράμμα λαμβάνεσθαι ἀπαιτεῖ, καὶ πάντες ἐπὶ τοσοῦτον μόνον ὑπάρχειν ἐν κοινωνίᾳ δύνανται, ἐφ' ὅσον οἱ τῆς δικαιοσύνης νόμοι καὶ γνωρίζονται, καὶ ἀκριβῶς τηροῦνται· κυριωτάτων γὰρ ὄντων αὐτῶν τοῖς ἀνθρώποις ἐρεισμάτων, ἐὰν μὴ τιμῶνται, μηδὲ τηρῶνται ἀκριβῶς, αὐτίκα καὶ πᾶν ἐπιτήδευμα καταπαύει, καὶ πᾶσα ἀμοιβαία πίστις ἐξαλείφεται, καὶ τὰ πάντα εἰς διαρπαγὴν καὶ διάλυσιν παραδίδεται. Διὸ καὶ παρὰ πάντων ἀνέκαθεν ἐγνώσθη καὶ ἀνωμολόγηται τὸ τῆς ἀποζημιώσεως καθῆκον, καὶ νόμοι πανταχοῦ ἐτέθησαν, καὶ διατάξεις πρὸς τὴν ἀκριβῆ αὐτοῦ ἐκτέλεσιν ἐγένοντο· οὐ γὰρ, ὡς οἴονταί τινες, ἐκ τῆς τοῦ καταδικάζοντος δικαστοῦ γνώμης μόνον γίνεται, ἀλλ' ἐξ αὐτῆς τῆς γενομένης βλάβης· ταύτῃ γὰρ παρέπεται αὐτίκα γενομένῃ τὸ καθῆκον· « Ἐξάλειψον τὸ χρέος, ἀπόδος, ὅπερ ἀφεῖλες. »

§. 6. *Πῶς, καὶ πρὸς τίνα, καὶ ὑπὸ τίνων ἡ ἀποζημίωσις ὀφείλεται.*

Ὅτι μὲν τῷ τὴν ζημίαν ὑποστάντι, αὐτῷ καὶ ἡ ἀποζημίωσις ὀφείλεται, ὡμολογήθη· ἀποκατάστασιν γὰρ εἶναι δεῖ τοῦ ζημιωθέντος εἰς τὴν προτέραν αὐτοῦ κτῆσιν. Ἐπεὶ δὲ πολλάκις συμβαίνει τινὰ, χαλεπὸν καὶ δυσκατόρθωτον τοῦτο ἀποφαίνοντα, οἷον, ἐὰν μηκέτι τὸ ἀδικηθὲν πρόσωπον ὑπάρχῃ, ἢ ἄγνωστον καὶ δυσεύρετοε ᾖ, ἢ πολλῶν ὄντων τῶν ἀδικηθέντων, τοῖς μὲν πλέον, τοῖς δὲ ἔλασσον ὀφείληται, ἢ ἀδύνατον ᾖ, τὴν ζημίαν ἀκριβῶς ὑπολογίσασθαι, ὡς ἐν μικροῖς μὲν, ἀναριθμήτοις δὲ γενομένην δολιεύμασι, ζητεῖται τίνι δεῖ ἐν ταῖς τοιαύταις συγκυρίαις τὴν ἀποζημίωσιν γίνεσθαι, καὶ πῶς; Καὶ φαμὲν, ὅτι ἐν μὲν τῇ πρώτῃ συγκυρίᾳ τοῖς ἐκείνου κληρονόμοις γίνεσθαι προσήκει, ὡς

Digitized by Google

κατὰ νόμον τά τε δικαιώματα καὶ τὰ ὑπάρχοντα τοῦ ἐκλιπόντος κτωμένοις· ἐν δὲ τῇ δευτέρᾳ, ἐὰν μὲν τὸ ἀφαιρεθὲν μέγα τι ᾖ, καὶ δυνατὸν ἐν ἀσφαλείᾳ τηρηθῆναι, τηρητέον μέχρις ἂν ὁ, ᾧπερ ὀφείλεται, εὑρεθῇ· ἐὰν δὲ οὔτε μέγα, οὔτε τηρηθῆναι ῥᾴδιον, ἀνταλλακτέον αὐτό, καὶ τὸ ἀντίτιμον φυλακτέον, ἵνα γνωσθέντι καὶ εὑρεθέντι τῷ, ᾧ προσήκει, ἴσον ἀκριβῶς ἀποδοθῇ· ἀσμένως γὰρ δοκεῖ τὴν τοιαύτην ἀνταλλαγὴν ἀποδέξεσθαι τὸν ἀπολέσαντα, ὡς μηκέτι ἀπολαβεῖν τὸ ἑαυτοῦ δυνάμενον, ὅτι πρότερον ἠγνοεῖτο ἢ αὐτὸς, ἢ ὁ τῆς διατριβῆς αὐτοῦ τόπος· ἐν δὲ τῇ τρίτῃ, ὅτε πολλοὶ μὲν οἱ ἀδικηθέντες, οὐκ ἴσον δὲ πᾶσιν ὀφείλεται, οὐδ' ἀκριβῶς ἐστιν εἰδέναι τὸ ἑκάστῳ τούτων ὀφειλόμενον, οἷον εἴωθε γίνεσθαι μάλιστα ἐν τοῖς ἐμπορευομένοις καὶ τοῖς πωλοῦσι καὶ ἀγοράζουσι, καὶ μέτροις καὶ σταθμοῖς ἀδίκοις χρωμένοις, διὸ καὶ ἡ ἀποζημίωσις ἀδύνατος αὐτοῖς γενέσθαι, τῷ κοινῷ τὴν τοιαύτην ζημίαν λογιστέον, καὶ αὐτῷ τὴν ἀποζημίωσιν ποιητέον· ῥᾷστα δὲ καὶ ἀσφαλέστατα γένοιτ' ἂν, ἐὰν τοῦ λοιποῦ ἀνόθευτα καὶ ἀδιάφθορα τὰ ὤνια δίδωνται, καὶ ἐν ἐλάσσονι τιμῇ, καὶ ἐν μέτρῳ μείζονι καὶ σταθμοῖς, ἕως ἂν ἡ γενομένη ζημία τῷ κοινῷ ἀποδοθῇ· ἐὰν δέ τι καὶ τῶν τῆς φιλανθρωπίας ἱδρυμάτων ὑπάρχῃ, οἷον ὀρφανοτροφεῖον, ἢ νοσοκομεῖον, ἢ πτωχοτροφεῖον, προσενεκτέον κἀκεῖ τὴν τῆς ζημίας ἀπότισιν, ἵνα οἱ τοῦ κοινοῦ ἐνδεέστεροι ὠφελῶνται· μὴ ὄντος δὲ τοιούτου, τοῖς πένησι διανεμητέον· οὕτω δὲ τελευταῖον καὶ ἐν τῇ τετάρτῃ γινέσθω. Ἐὰν δέ τις ὀφείλῃ μὲν πολλὰ καὶ πολλοὺς ἀποζημιῶσαι, μὴ δύνηται δὲ ἅμα πάντα καὶ πρὸς πάντας ἀποτῖσαι, τῷ ἐνδεεστέρῳ πρῶτον, καὶ ᾧ μᾶλλον διὰ τὴν πενίαν αἴσθησιν ἡ ζημία παρέχει, καὶ τῷ δικαιοτέραν ἔχοντι τὴν ἀξίωσιν ἀποδιδόναι χρὴ τὸ ὀφειλόμενον, εἰ καὶ μὴ

Digitized by Google

κατὰ δικαιοσύνην· ἀλλὰ κατά γε τὴν ἐπιείκειαν καὶ φιλανθρωπίαν, οὕτω καὶ τὰς ἀρχαιότερον πραχθείσας ζημίας, κατά τε τὸν κανόνα καὶ κατὰ τὴν ἐπιείκειαν, ἀποζημιοῦν χρή· εἰ δὲ μάλιστα τὸ ἀφαιρεθὲν μένοι, τοῦτο πάντως ἀποδοτέον, ᾧ προσήκει, κἂν μηδὲν λείπηται, ἵνα καὶ οἱ λοιποὶ τῶν ἀδικηθέντων ἀπολάβωσιν. Οὐ καθήκει δὲ οὐδὲ πρὸς τὸν ὀφείλοντα τὴν ἀπότισιν ἀπηνῶς οὕτω φέρεσθαι, ὥστε καὶ εἰς ἀμηχανίαν αὐτὸν φέρειν, καὶ ἄγχειν διὰ τὴν ἔνδειαν· ἀπάνθρωπον γὰρ καὶ θηριῶδες, ἀλλὰ συγκαταβαίνειν καὶ οἰκονομεῖν φιλανθρώπως τὴν ἐκείνου ἀσθένειαν· εἰ γὰρ πρὸς τὸν βοῦν καὶ τὸν ὄνον εἰς βόθυνον πεσόντας συμπαθεῖς γινόμεθα, κατὰ τὸν λόγον τοῦ Κυρίου, πόσῳ μᾶλλον συμπαθεστέρους τε καὶ ἐπιεικεστέρους εἶναι δεῖ πρὸς τὸν πλησίον ἐν τοιαύταις περιπεσόντα ἀνάγκαις;

Εἰ δὲ πολλοὶ ἅμα τὴν ἀδικίαν κατειργάσαντο, καὶ οὐ τῶν ἴσων πάντες ἐν τῷ ἔργῳ καὶ τῇ ἐξ αὐτοῦ ὠφελείᾳ μετέσχον, τῷ μᾶλλον τῇ πράξει συνεργήσαντι, καὶ μεῖζον τοῦ ἐκ ταύτης κέρδους μετασχόντι, τούτῳ καὶ βαρύτερον τὸ τῆς ἀποζημιώσεως καθῆκον ἐπίκειται, ὡς αὐτῷ μάλιστα τὴν τοῦ πλησίον δυστυχίαν κατεργασαμένῳ· οὕτω καὶ τῷ τὴν πρώτην ἀφορμὴν εἰς τὴν ἀδικίαν διὰ τῆς συμβουλῆς καὶ προτροπῆς δόντι, καὶ τῷ προθύμως ἑαυτὸν εἰς αὐτὴν παρασχόντι, μετὰ δὲ τούτους καὶ τοῖς ἄλλως συνεργήσασι, καὶ ἐκ τῆς ἀδικίας ὠφεληθεῖσι. Πᾶσι τοίνυν τούτοις, κατὰ λόγον τῆς ἐν τῇ ζημίᾳ τοῦ πλησίον μετοχῆς, τὸ τῆς ἀποζημιώσεως καθῆκον ἐπίκειται, καὶ πάντες ἐν αὐτῇ ἐνέχονται ἀλληλεγγύως, ὡς πάντες ὁμοῦ τὴν ἀδικίαν κατεργασάμενοι. Οὐκ εἰσὶ δὲ τοῦ τῆς ἀποζημιώσεως καθήκοντος ἀπηλλαγμένοι οὐδ' οἱ τὴν σκοπουμένην ζημίαν γινώσκοντες, καὶ μὴ κωλύσαντες, μηδὲ τῷ κινδυνεύοντι κατειπόντες

Digitized by Google

ἐν καιρῷ, ὅπως φυλάξεται· οὕτω γὰρ καὶ πάνυ ὀρθῶς εἰκάζεται, ὅτι καὶ τούτοις βουλητὸν ἦν ἡ τοῦ πλησίον βλάβη, διὸ καὶ ἐνέχονται τῇ ἀποζημιώσει· ἢ γοῦν τῇ τῶν ἀδικησάντων καταμηνύσει, ἐὰν οὗτοι ἄγνωστοι τῷ ἀδικηθέντι, ἢ κεκρυμμένοι διατελῶσιν· ἀλλὰ καὶ οἱ τὴν γενομένην ζημίαν καὶ τοὺς αὐτουργοὺς ἀγνώστους τῷ πλησίον ὄντας γινώσκοντες. Ἐὰν γὰρ καὶ οὗτοι σιγῶντες, μὴ ἀποκαλύπτωσιν, ὅπου δεῖ, τὸ κεκρυμμένον, ἔστι καὶ περὶ τούτων πιθανῶς εἰκάζειν, ὅτι βουλητὸν καὶ αὐτοῖς ἡ τοῦ πλησίον ζημία, καὶ τῆς ἀποζημιώσεως ὀφειλέται καθίστανται, οὐχ ὡς ἀδικήσαντες αὐτοί, ἀλλ' ὡς τῷ ἀδικηθέντι μὴ βοηθοῦντες εἰς τὴν ἀποζημίωσιν, καί περ δυνάμενοί τε καὶ γινώσκοντες. Ἔστι γὰρ καὶ τοῦτο ἀδίκημα οὐχ ἧττον τῆς γενομένης ζημίας. Ἀπαλλάττουσι δὲ τοῦ σπουδαίου τούτου καθήκοντος ἀ, ἡ ἑκουσία παραίτησις τοῦ τὸ δικαίωμα ἔχοντος, ἵνα τὴν ἀπότισιν ἀπαιτῇ· β', τὸ φυσικῶς καὶ ἀπολύτως ἀδύνατον τῷ τὴν ἀπότισιν ὀφείλοντι· γ', ἀμοιβὴ ἱκανὴ διὰ πράγματος παραχωρουμένου, ἢ ἐργασίας καὶ ὑπουργίας ἀνταξίων τῆς γενομένης ζημίας· ἡ δὲ τῶν δικαστῶν ψῆφος, καὶ ἡ τῶν ὑπαρχόντων παράδοσις οὐκ ἀπαλλάττει, κατά γε τὴν συνείδησιν, πλὴν εἰ μὴ κατὰ τὴν ἐξωτερικὴν ὑποχρέωσιν, τοῦ τῆς ἀποζημιώσεως καθήκοντος. Τοῦτ' ἔστιν, ὁ τὰ εὑρεθέντα ὑπάρχοντα τῇ ἀρχῇ παραδοὺς, ἵνα τοῖς δανεισταῖς τὸ ἱκανὸν ποιήσῃ, οὐκ ἔτι εἰς πολιτικὸν ἐναχθήσεται δικαστήριον ἐπὶ τῇ ὀφειλῇ ταύτῃ, ἐν δὲ τῷ τῆς συνειδήσεως δικαστηρίῳ, καὶ ἐνώπιον τοῦ Θεοῦ, οὐδὲν ἡ τῶν δικαστῶν ψῆφος ἰσχύει, ἀλλ' ἐὰν ἢ ἔτι κέκτηται περιουσίαν ὁ ὀφειλέτης, ἢ καὶ ὕστερον ὅπως δήποτε προσκτᾶται, τὸ τῆς ἀποτίσεως καθῆκον ἀναλλοίωτον διαμένει, κἂν αὐτὸς ὑπὸ πολλῶν κοσμικῶν δικαστηρίων ἀπολελυμένος αὐ-

Digitized by Google

τοῦ ἦ. Ἐνταῦθα γὰρ ἵσταται ἄρχων καὶ δικαστὴς πάντων τῶν τοῦ κόσμου ἀρχόντων καὶ δικαστῶν ὑπέρτερος, πᾶν τὸ δυνατὸν ποιεῖν διακελευόμενος, μέχρις ἂν ἀποδῷ τὸν ἔσχατον κοδράντην. Τοῦτο καὶ τὸ κοινὸν ἀγαθὸν καὶ ἡ τῆς συνειδήσεως ἀνάπαυσις ἀπαιτεῖ.

§. 7. *Περὶ τῶν κυριωτέρων καθηκόντων πρὸς τὴν τοῦ πλησίον περιουσίαν.*

Ὥσπερ ἐν παντὶ δικαιώματι καὶ καθῆκον ὑπάρχει παράλληλον, ὑπ' ἐκείνου ὁριζόμενον, οὕτω καὶ ἐν τῷ τῆς περιουσίας· καὶ ά, τὸ μηδὲν τῶν τοῦ πλησίον παρὰ τὴν ἐκείνου γνώμην νοσφίζεσθαι, μηδὲν ἀπαλλοτριοῦν, ἢ καταλύειν δόλῳ ἢ βίᾳ, ἀλλ' ἄθικτα καὶ ἀκέραια πάντα ἐᾷν· β', τὸ δικαίως ὀφειλόμενον τάχιστά τε καὶ πληρέστατα ἀποδιδόναι· ἡ γὰρ ἐκουσία τῆς ἀποδόσεως ἀναβολὴ, καινὸν καθίσταται ὄφλημα· γ', οὕτως ἐπιμελῶς καὶ πιστῶς προφυλάττειν τὸν πλησίον ἀπὸ τῆς ζημίας καὶ τοῦ κινδύνου, ἔνθα ἂν εἴη καιρὸς καὶ δύναμις, ὡς ἑαυτόν· δ', μᾶλλον δὲ καὶ βοηθεῖν ἔργῳ καὶ λόγῳ, ὅπου ἂν ᾖ δυνατὸν, ἵνα καὶ ὁ πλησίον ἐπὶ τὸ κρεῖττον δικαίως προαχθῇ διὰ τῆς ἐπιμελείας καὶ τῆς ἀγαθῆς τῶν ὑπαρχόντων οἰκονομίας. Ἀναιρετικὰ δὲ τῶν εἰρημένων καθηκόντων εἰσὶ, ά, ἡ κλοπὴ καὶ ἡ ἁρπαγή· β', ἡ μετὰ δόλου ὑφαίρεσις ἐκ πλεονεξίας· γ', ἡ ἄδικος τοκογλυφία· δ', τὰ ἐξ ἀνοησίας χρέη· ε', ἡ ἐκ προαιρέσεως ἐπαιτεία καὶ ἀγυρτία· ς', ὁ λάθρα τῶν ἀλλοτρίων νοσφισμός. Διὸ καὶ ῥητέον ὀλίγα τινὰ περὶ ἑκάστου τούτων.

§. 8. *Περὶ κλοπῆς καὶ ἁρπαγῆς, καὶ τίνα τὰ φέροντα εἰς αὐτήν.*

Ὁ παντὸς ἀλλοτρίου σφετερισμὸς παρὰ γνώμην τοῦ κεκτημένου, καὶ ἡ τοῦ ὅπως ποτὲ εἰς χεῖρας ἐμπεσόντος

Digitized by Google

κατακράτησις καλεῖται κλοπή· εἰ δέ τις βίᾳ εἰς τὴν οἰκίαν εἰσέλθοι πρὸς τοῦτο τὸ τέλος, φανερὰ τότε καλεῖται κλοπὴ, καὶ ὑπὸ τῶν δικαστηρίων ὡς τοιαύτη κολάζεται· ἐὰν δὲ καὶ μετὰ προσβολῆς, ἢ ἀπειλῆς κακώσεως τοῦ κεκτημένου γίγνηται, ἁρπαγὴ τότε καὶ ληστεία ὑπάρχει. Τῆς δὲ τοιαύτης ἁμαρτίας ἡ εὐθύνη τοσούτῳ μείζων καὶ βαρυτέρα λογίζεται, ὅσῳ καὶ ἡ ζημία τῷ ἀδικηθέντι ἐπαισθητοτέρα, καὶ μείζονι βίᾳ καὶ κακώσει συνῆπται, καὶ ὁ κλέψας οὐκ ἐξ ἀληθοῦς ἀνάγκης εἰς τὴν κλοπὴν ἢ τὴν ἁρπαγὴν ὡρμήθη. Ἐκ τούτου καὶ τὸ λογικὸν, καὶ ἡ θεία Γραφὴ τὴν τοιαύτην ἀδικίαν, ὡς γνώμης φαύλης τεκμήριον, καὶ ἁμάρτημα ἀξιόποινον, κατακρίνουσιν. «Ὁ κλέπτων, φησὶν ὁ μακάριος Παῦλος, μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι (α)», Καὶ αὐτὸς δὲ ὁ Κύριος ἡμῶν τὴν τοῦ μωσαϊκοῦ νόμου ἀρχαίαν ἐντολὴν ἐπικυρώσας, ἀνεκήρυξεν αὖθις «Μὴ κλέψῃς.» Φέρουσι δὲ εἰς τὴν κακοπραγίαν ταύτην τὰ ἑπόμενα, ἁ, ἡ πενία σὺν τῇ ἀκαίρῳ αἰσχύνῃ τοῦ δηλῶσαι τὴν ἑαυτοῦ χρείαν· β, ἡ ὀκνηρία μετὰ τῆς κακῆς οἰκονομίας· γ, ἡ τρυφὴ καὶ ἡ πολυτέλεια· δ, ἡ ἀκόρεστος πλεονεξία· ε, ἐπιθυμίαι καὶ πάθη, ἢ ἐλαττώματα δαπάνης ἀδρᾶς δεόμενα· ς ἕξις ἐκ νεότητος ὑπ' ἀμελείας προσγινομένη, καὶ μηκέτι ἀποβαλλομένη· ζ, διαστροφὴ τοῦ ἤθους ἐκ φαύλης ἀναστροφῆς καὶ παραδειγμάτων. Ταῦτα καὶ τὰ τοιαῦτα πολλάκις εἰς τὴν τῶν ἀλλοτρίων ἁρπαγὴν παράγουσι, διὸ καὶ φυλακτέον ἀπὸ πάντων. Καὶ αὐταὶ δὲ αἱ μικραὶ καὶ ἀσήμαντοι καθ' ἑαυτὰς ὑφαιρέσεις οὐκ ἀνεύθυνοι λογίζονται, ὅταν τις διὰ τῶν μικρῶν τούτων ἐπὶ τὰ μείζω προβῆναι κατὰ μικρὸν ἐθέλῃ, ἢ τινας τῶν φαύλων ὁρέ-

(α) Ἐφ. δ'. 28.

Digitized by Google

ξεων θεραπεύσαι, ἢ καὶ λυπῆσαι καὶ κακῶς διαθεῖναι τὸν πλησίον· ὁ γὰρ τοιαῦτα δολιεύματα κατεργάζεσθαι τολμῶν, τοῖς ἀνθρώποις ἐμπαίζει, αὐθαιρέτως τοῖς ἐκείνων χρώμενος, μηδὲν περὶ δικαιοσύνης καὶ φιλαδελφίας φροντίζων, ἀλλὰ πρὸς τὴν εὐτυχίαν, ἢ τὴν δυστυχίαν τοῦ πλησίον ἀδιαφορῶν, καὶ ὁμολογουμένως καταφρονῶν αὐτοῦ. Πρὸς δὲ τῇ κακῇ γνώμῃ, καὶ ἡ ἔργῳ γινομένη τῷ πλησίον ζημία τὴν εὐθύνην ἐπαύξει· ὅσῳ γὰρ μείζονος ἀξίας τὸ κατὰ μικρὸν ὑφαιρούμενον ἀπὸ τοῦ πλησίον, τοσούτῳ βαρυτέρα καὶ ἡ πρὸς αὐτὸν πλημμέλεια, καὶ κατά γε τὴν εὐθύνην, οὐδὲν διαφέρει ἡ κατὰ μικρὸν τῆς διὰ μιᾶς γενομένης ζημίας. Οὕτως ἔχει καὶ ἐν ταῖς ἁπάταις καὶ τοῖς δολιεύμασιν, ἅπερ οἱ μὲν σύζυγοι πρὸς ἀλλήλους, τὰ δὲ τέκνα πρὸς τοὺς γονεῖς, καὶ οἱ οἰκέται πρὸς τοὺς ἑαυτῶν δεσπότας πράττουσι· τοῖς μὲν γὰρ συζύγοις ἐνδέχεται παρὰ τὴν κοινὴν οὐσίαν, καὶ ἰδίαν τινὰ προσεῖναι, ἢ καὶ πρὸς οἰκονομίαν μόνην διαχειρίζεσθαι ἐπιτετράφθαι. Ἐὰν οὖν τὸ ἕτερον μέλος τῆς συζυγίας λάθρα καὶ παρὰ γνώμην τοῦ ἑτέρου ὑφαιρῇ τι ἐξ αὐτῆς πρὸς ἴδιον ὄφελος, κλοπὴ καὶ τοῦτο λογίζεται, ὡς εἰ καὶ ὑπ' ἄλλου οἱουδήποτε ἐπράττετο, ὡς τῆς ἰδίας οὐσίας ἐπιβουλευομένης. Τὸ δὲ κατὰ τὴν κοινὴν αὐτοῖς περιουσίαν, ἔξεστι μὲν ἑκατέρῳ ταύτῃ χρῆσθαι, οὐ μὴν λαθραίως οὐδὲ ἐν ἀγνοίᾳ τοῦ ἑτέρου, ἀλλὰ μετ' ἀκριβοῦς συνειδήσεως πρὸς μόνην τὴν τοῦ οἴκου ὠφέλειαν, καὶ κατὰ τὴν ἀναλογίαν τῶν ὑπαρχόντων· αἱ δὲ παρὰ ταῦτα γινόμεναι ὑφαιρέσεις κλοπαὶ λογίζονται σαφῶς. Οὕτω δ' ἔχουσι καὶ τὰ παρὰ τῶν τέκνων, ἢ τῶν οἰκετῶν ὑφαιρούμενα ἐκ τῆς τῶν γονέων καὶ τῶν δεσποτῶν αὐτῶν περιουσίας· τὸ μὲν γὰρ παρέχειν τοῖς τέκνοις τὴν ἀναγκαίαν καὶ ἀνάλογον τῇ οὐσίᾳ τροφὴν, καὶ ἱματισμὸν, καὶ ἀγωγὴν καὶ τὰ ἄλλα ἀναγκαῖα, μέχρι οὗ αὐξηθέντα συντηρεῖ-

Digitized by Google

σθαι καὶ ἐπαρκεῖν ἑαυτοῖς δύνωνται, καθῆκον δήπου τῶν γονέων ὁμολογεῖται· ἐὰν δὲ ταῦτα, τούτοις μὴ ἀρκούμενα, καὶ ὑφαιρεῖν τι λάθρα ἐπιχειρῶσι, καὶ τὸ ληφθὲν πρὸς ἡδονὴν καταχρῶνται, ὡς κλοπὴ καὶ τοῦτο λογίζεται, καὶ οὐδὲν τὰ πρὸς δικαίωσιν αὐτῶν προφερόμενα σοφίσματα ἰσχύουσιν, οἷον, ὅτι πλούσιοι καὶ πολυκτήμονες οἱ γονεῖς, ὅτι καὶ αὐτῶν ἐστιν ὡς υἱῶν ἡ τοῦ πατρὸς περιουσία, καὶ τὰ τοιαῦτα· ἐφ' ὅσον γὰρ οἱ γονεῖς οὐ παραχωροῦσι τοῖς τέκνοις τὰ ἑαυτῶν, οὐδ' αὐτοῖς ἔξεστιν, ὥσπερ καὶ οὐδενὶ ἑτέρῳ, αὐθαιρέτως αὐτοῖς χρῆσθαι. Οὕτω δὲ καὶ τοῖς οἰκέταις καὶ πᾶσι τοῖς θεράπουσι καθῆκον μέν ἐστι τῇ χορηγουμένῃ τροφῇ καὶ τῇ ῥηθείσῃ ἀντιμισθίᾳ ἀρκεῖσθαι· ἐὰν δὲ τούτοις μὴ ἀρκούμενοι, δολιεύωνται, ἀεί τι τῶν κυρίων αὐτῶν ὑφαιρούμενοι, κλοπὴν πάντως καὶ αὐτὸ νομιστέον· οὐδὲν γὰρ ὁ μισθωτὸς ὑφελεῖν ἀπὸ τοῦ κυρίου αὐτοῦ δικαιοῦται. Τῶν δὲ τοιούτων ἁμαρτημάτων αἴτιον πολλάκις ἡ λιχνεία, ἡ κατὰ τὴν περιβολὴν καὶ τὸν βίον πολυτέλεια, ἡ πρὸς τὰς παιδιὰς καὶ τὴν τρυφὴν ῥοπή, αἱ μετά τινων συνήθειαι, καὶ ἡ κακῶς ἑρμηνευομένη ἀγαθότης. Μόνον δὲ ἐν τῇ ἐσχάτῃ ἀνάγκῃ, οἷον, ὅταν κίνδυνος τῷ ζῆν ἐπικέηται, ἐφεῖται, κατὰ τὴν γνώμην τῶν τὰ δίκαια καὶ τὴν ἠθικὴν ἀκριβολογούντων, τοῖς ἀλλοτρίοις χρήσασθαι, ἵνα τὸ ζῆν διατηρηθῇ· τῆς γὰρ ζωῆς τιμιωτέρας οὔσης τῶν κτημάτων, εἰκάζεται, ὅτι καὶ αὐτὸς ὁ κτήτωρ συνεισήνεγκεν ἄν τι ἐκ τῶν ἑαυτοῦ, εἰς σωτηρίαν τοῦ κινδυνεύοντος. Εἰ δ' ἡ τοιαύτη συνεισφορὰ τὸν αὐτὸν ἐπάγοι τῷ στερηθέντι κίνδυνον, οὐκ ἔτι τότε δικαίωμα λείπεται πρὸς σωτηρίαν ἑτέρου τοῖς ἐκείνου χρήσασθαι· οὕτως οὐδὲ ἐν τῇ μὴ ἐσχάτῃ ἀνάγκῃ, ὅτε καὶ ἄλλως οἷόν τε σωθῆναι· ἀλλὰ καὶ ἐν αὐτῇ μετὰ πολλῆς φειδοῦς καὶ προσοχῆς ἐπὶ τὴν χρῆσιν τῶν ἀλλοτρίων δεῖ

Digitized by Google

χωρεῖν, μηδὲν πλέον τοῦ ἀπολύτως ἀναγκαίου πρὸς σωτηρίαν λαμβάνοντα· καὶ τοῦτο δὲ λαμβάνειν μετὰ γνώμης, ὅπως αὐτίκα, ἐπειδὰν τὰ κατ' αὐτὸν εὑροήσωσιν, ἀποδῷ τῷ ἀδικηθέντι· τοῦτο γὰρ καὶ ἡ πίστις, καὶ ἡ φιλαδελφία, καὶ ἡ χρηστότης ἀπαιτεῖ.

§. 9. *Περὶ τῆς ἐκ πλεονεξίας ἀπάτης καὶ τοῦ νοσφισμοῦ ἐν τοῖς συναλλάγμασι καὶ τοῖς ἐπιτηδεύμασι, καὶ τῆς τοκογλυφίας.*

Πᾶσα ἐν τοῖς τοιούτοις γινομένη ἀδικία οὐ πόρρω τῆς κλοπῆς ἀπέχει. Ἔστι δὲ ἀπάτη πᾶν τὸ ψευδῶς τῷ πλησίον λεγόμενον, ἵνα πείσῃ αὐτὸν εἰς συνάλλαγμα τοιοῦτον, ὅπερ ζημίαν αὐτῷ ἐποίσει, ἵνα τι αὐτὸς ἐξ αὐτῆς κερδάνῃ. Δηλοῦται δὲ ποικιλοτρόπως καὶ ἐν διαφόροις καιροῖς, πηγάζουσα, ὅθεν καὶ ἡ κλοπὴ, καὶ πρὸς τὴν κτῆσιν τοῦ πλησίον ἴσον καὶ τῇ κλοπῇ βλαβερὰ τυγχάνουσα· διὸ καὶ τῇ αὐτῇ τάξει τῆς ἀδικίας καὶ ἀπανθρωπίας ἐγκαταλέγεται· διαφέρει δὲ μόνον, ὅτι τεχνικώτερον τἀλλότρια λυμαίνεται, τὰ δὲ ἴσα τῆς ἀνθρωπίνης ἀξίας καταφρονεῖ. Περὶ ταύτης φησὶν ὁ θεῖος Παῦλος «Μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων». (α) Τὸ μὲν γὰρ ἐκ τῆς ἐμπορίας κερδαίνειν τι, οὔτε κακὸν, οὔτε ἀθέμιτον κρίνεται, ἐάν τις μόνον εἰλικρινῶς τε καὶ δικαίως φέρηται, καὶ μέτρον τίθησι τοῦ κέρδους νόμιμον· οὐδεμία γὰρ ἂν κοινωνία οὐδ' ἐπιμιξία ἀνθρώπων ἐγίνετο, εἰ μήτι καὶ κέρδος προσῆν, καὶ οὐδεὶς μάτην κοπιᾷ, ἵνα τι ἐν τῷ βίῳ ὑπὲρ τῶν ἄλλων παραγάγῃ. Δεῖ δὲ ἀεὶ τὸ κατ' ἐργασίαν, ἢ κατὰ συμβόλαιον διδόμενον ἴσον εἶναι τῇ τοῦ λαμβα-

(α) Α'. Θεσσαλ. δ'. 6.

Digitized by Google

νομένου ἀξία· τοῦτο τῆς πρὸς ἀλλήλους ὀφειλομένης δικαιοσύνης τε καὶ ἀγάπης ἐστίν. Ἡ δ' ἀξία ἑκάστου ὑπὸ τῶν ἐγχωρίων νόμων, καὶ τῆς παραδεδεγμένης ἐκτιμήσεως, καὶ τῆς φυσικῆς ποιότητος τοῦ πράγματος ὁρίζεται· καὶ ὁ τούτοις ἐμμένων ἐν τοῖς συναλλάγμασι καὶ τῇ ἐμπορίᾳ, δίκαια πράττει, ὁ δὲ πλέον λαμβάνων, ἢ ἔλαττον διδοὺς, ἀδικεῖ, καὶ αἰσχροκερδὴς καὶ τοκογλύφος καλεῖται· ἡ γὰρ αἰσχροκέρδεια οὐδὲν ἄλλο ἐστὶν, ἢ σπουδὴ τοῦ πλέον τοῦ δικαίου κερδᾶναι δι' ἀπάτης τοῦ πλησίον· καὶ πάρεστι μὲν πανταχοῦ τροφὴ ταύτης, μάλιστα δὲ ἐν τοῖς διαφόροις ἐπιτηδεύμασι καὶ συναλλάγμασι, καὶ ἐν τῇ πράσει καὶ τῇ ὠνῇ, καὶ ἐν τῷ τῶν χρημάτων τοκισμῷ. Ἀλλὰ τὸ οὕτω πριζόμενον κέρδος οὐδαμῶς κρεῖττον οὐδὲ τιμιώτερον κρίνεται τοῦ διὰ κλοπῆς, ὡς τῇ δικαιοσύνῃ καὶ τῇ φιλαδελφίᾳ καὶ ἐπιεικείᾳ, ἣν πρὸς ἀλλήλους ὀφείλομεν, ἀντιμαχόμενον. Τὸ δὲ χείριστον, ὅτι τὴν ἐκ τούτων γινομένην τῷ πλησίον βλάβην, μάλιστα δὲ ἐν τοῖς μεγάλοις καὶ κοινοτέροις ἐπιτηδεύμασι καὶ συναλλάγμασιν, οὐδὲ καταλογίσασθαι δυνατόν.

§. 10. *Περὶ τῶν ἐξ ἀνοίας γινομένων ὀφλημάτων, καὶ τῆς ἐθελουσίου ἐπαιτείας.*

Πολλαχῶς ἐνδέχεταί τινα τῆς παρὰ τῶν ἄλλων ἀντιλήψεως καὶ ἀρωγῆς χρείαν σχεῖν ἐν χρήματιν, ἢ ἐν ἄλλοις τισὶ πρὸς καιρὸν ὡρισμένον· τυχόντα δὲ ταύτης, δίκαιον πάντως ἐν καιρῷ τὸ χρησθὲν εὐγνωμόνως καὶ σὺν τόκῳ, εἰ τοιοῦτος συνεφωνήθη, ἀποδοῦναι. Καὶ τοῦτο μὲν παρὰ πάντων ὁμολογεῖται ὡς καθῆκον, οὐ τηρεῖται δὲ, ὡς ἔδει, καί τοι διὰ παντὸς τοιοῦτο μένον, κἂν μείζων, κἂν μικρά τις ἢ ἡ ἐν καιρῷ χρείας δοθεῖσα

Digitized by Google

βοήθεια. Τὸ δ' ἀπατᾶν τοὺς εὐεργέτας, μηδὲν περὶ ἀποδόσεως τοῦ ὀφλήματος φροντίζοντα, καί τοι ἐπιμεληθῆναι τούτου δυνάμενον, ἢ καὶ αὔξειν τὸ ὄφλημα, ὡς μηκέτ' ἀποδώσοντα, ἢ καὶ συνειδότα, ὅτι οὐκ ἔτι ἀποδοῦναι δυνήσεται, τοῦτο οὐκ ἔτι ἀπήνεια καὶ ἀδικία τῶν συνήθων, ἀλλ' ἄντικρυς κακουργία καὶ αἰσχρότης· καὶ κοινὴ ἅμα πᾶσιν ἐκ τούτου γίνεται βλάβη, ὅτι ὅσῳ πλείω τοιαῦτα τοῖς εὐεργέταις συμβαίνει, τοσούτῳ καὶ δυσπιστία μείζων καὶ ψυχρότης τοῖς εὖ πρὸς τὸ εὐεργετεῖν τοὺς χρείαν ἔχοντας διακειμένοις ἐγγίνεται, καὶ ὄκνος πρὸς τὸ εὐεργετεῖν, ἵνα μὴ καὶ αὖθις ἀπατηθῶσι, καὶ κατὰ μικρὸν οὕτω πᾶσαν τὴν οὐσίαν ἀπολέσωσιν. Ἔτι δὲ πρὸς τούτοις, καὶ οἱ ἐκ δωρημάτων ἀεὶ καὶ ἐλεημοσυνῶν τρέφεσθαι βουλόμενοι, καί τοι καὶ ἐργάζεσθαί τι ὠφέλιμον καὶ τίμιον δυνάμενοι, καὶ εὐκαιρίας τοιαύτης οὐ στερούμενοι, οὕτως ἔχουσι πρὸς τοὺς λοιποὺς τῶν ἀνθρώπων, ὡς οἱ ἀργοὶ κηφῆνες πρὸς τὰς ἐργατικὰς καὶ φιλοπόνους τῶν μελισσῶν· οὐ γὰρ μόνον ὀχληροί, ἀλλὰ καὶ ἐπιζήμιοι. Περὶ τούτων ἀποφαίνεται ὁ θεῖος Παῦλος, « Εἴτις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω » (α). Ὁ γὰρ ἄνθρωπος καὶ ἐπλάσθη πρὸς τὴν ἐργασίαν, καὶ ἐκλήθη παρὰ τοῦ παναγάθου Θεοῦ εἰς αὐτὴν « Ἐν ἱδρῶτί, φησι, τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου » (β). Αὕτη ἐστὶ μία τῶν πρώτων ἐντολῶν, ἃς ὁ Θεὸς ἐνετείλατο τοῖς ἀνθρώποις ἐν τῷ Ἀδάμ. Ἀλλὰ καὶ πᾶσα ἡ περὶ τὸν ἄνθρωπον κτίσις, ἐνεργὸς ἀεὶ οὖσα, προκαλεῖται καὶ αὐτὸν εἰς ἐνέργειαν, καὶ ὁ τῆς προκλήσεως ταύτης ὀλιγωρῶν, ἐστὶν ὁ δοῦλος ἐκεῖνος ὁ ὀκνηρὸς καὶ ἀχρεῖος ὁ τὸ τάλαντον ἀποκρύπτων, ὃς τελευταῖον καὶ τὸν τοῦ ὀκνηροῦ δούλου μισθὸν λήψεται (γ). Οὗτός ἐστι

(α) Β'. Θεσσαλ. γ'. 10. (β) Γεν. γ'. 19. (γ) Ματθ. κε'. 3.

Digitized by Google

τὸ τοῦ μεγάλου σώματος τῆς ἀνθρωπότητος ἄχρηστον μέλος· καὶ τὴν ἐπαιτείαν ἐκ ραστώνης αἱρούμενος, ἀντὶ τοῦ ἐργάζεσθαί τι καὶ τοῖς ἄλλοις ὠφέλιμον, ἵν' ἐξ αὐτοῦ ἐντίμως τε καὶ δικαίως τρέφηται, οὐδαμῶς κρείττων τοῦ κλέπτου καὶ τοῦ ἁπαταιῶνος τυγχάνει· ὑφαιρεῖται γὰρ τὰ τῶν ἀγαθῶν ἀνδρῶν, ἅπερ οὐ πρὸς ὑποστήριξιν καὶ διατροφὴν τῆς νωθρότητος καὶ ὀκνηρίας παρέχειν βούλονται, ἀποστερεῖ δὲ καὶ τοὺς ἀληθῶς πένητας τῆς ἀντιλήψεως, δόλῳ καὶ ὑποκρίσει τὰς τῶν ἀγαθῶν ἀνδρῶν προλαμβάνων καὶ σφετεριζόμενος ἐλεημοσύνας. Διὸ καὶ τούτοις, ὡς τὰ μὴ προσήκοντα μηδὲ δίκαια λαμβάνουσι, βαρεῖα ἐπίκειται ἡ εὐθύνη, ὥσπερ καὶ τοῖς μὴ τὰ ἀλλότρια ἀποδιδοῦσι.

§. 11. *Περὶ τῆς λάθρα γινομένης αὐτομισθαποδοσίας.*

Πολλοὶ τῶν ἐχόντων δίκαιά τινα παρὰ τῶν πλησίον αἰτεῖν, ἐπειδὰν μὴ παρ' ἐκείνων ἑκουσίως λαμβάνωσι, λάθρα ἐκ τῶν ἐκείνοις προσηκόντων ὑφαιρούμενοι, τὸ ἑαυτῶν ἀναπληροῦσι δικαίωμα. Τοῦτο δὲ λαθραίαν καλοῦμεν αὐτομισθαποδοσίαν. Ἔστι δὲ τοῦτο ἄδικόν τι καὶ ἀθέμιτον· παρέχει γὰρ ἀφορμὴν πολλάκις μὲν κλοπῆς, πολλάκις δὲ ὑπονοίας καὶ μίσους καὶ κακώσεως ἀθώων τινῶν. Δίκαιον δὲ καὶ νόμιμον, ἐπειδάν τις ἀσφαλῶς γινώσκῃ τι ἑαυτῷ ὀφειλόμενον, πρὸς τὸν ὀφειλέτην αὐτὸν τρέπεσθαι, καὶ ἀναμιμνήσκειν αὐτῷ τὸ ὄφλημα· μὴ βουλομένου δ' ἐκείνου ἀποδιδόναι, πρὸς τὴν ἀρχὴν καταφεύγειν, ὅπως δι' αὐτῆς κατὰ νόμον τὸ ὀφειλόμενον ἀπολάβῃ· καὶ τῇ γνώμῃ τῆς ἀρχῆς ἀρκεῖσθαι· τὸ γὰρ παρὰ ταύτην, ἄδικον, καὶ φανερὰν κλοπὴν λογιστέον. Καὶ ὅπου δ' ἂν τῶν ὁμολογουμένων δικαίων μὴ ᾖ νομίμως τυχεῖν, κἀκεῖ μόνον ὑπὸ τοὺς ἑπομένους ὅρους ἀνεκτὴ

Digitized by Google

ἡ αὐτομισθαποδοσία γένοιτ' ἂν, ἤτοι ἐπεὶ πρῶτον πᾶσιν ὄντως τοῖς νομίμοις τρόποις χρησάμενος, ἀπέτυχε τῆς ἀποδόσεως, τὸ δὲ ὄφλημα τῶν ὁμολογουμένων τε καὶ ἀναντιρρήτων ἐστὶ, καὶ οὐ τῇ προαιρέσει, ἀλλὰ τοῖς κατὰ νόμον δικαιώμασιν ἐρείδεται· εἶτα δὲ καὶ ἡ αὐτομισθαποδοσία, χωρὶς μεγάλης ζημίας, καὶ ἐνοχλήσεως καὶ ἔχθρας πρὸς τοὺς ὀφειλέτας, καὶ ὑποψίας κατ' ἄλλων ἀθώων γενέσθαι δύναται. Πάντες τοίνυν οἱ μέχρι τοῦδε ῥηθέντες ἐν τῷ παρόντι κεφαλαίῳ ἀθέμιτοι πορισμοὶ διαμάχονται πρὸς τὸ ἐπὶ τῇ ἰδίᾳ κτήσει δικαίωμα, καὶ ἐπηρεάζουσι καὶ καταστρέφουσιν αὐτό· πᾶν γὰρ κέρδος, οὕτω λαμβανόμενον, ἄδικόν ἐστι, καὶ οὐδεμίαν δικαίαν κτῆσιν ἀληθῶς συνίστησι τῷ τοιούτοις τεχνάσμασι χρωμένῳ. Ὅτι δὲ καὶ εὐθύνῃ βαρεῖα πᾶσι τούτοις ἐπίκειται, οὐδεὶς ἂν τῶν καὶ ὁπωστοῦν λόγον τοῦ ἀγαθοῦ ἢ κακοῦ τῆς ἀνθρωπότητος ποιουμένων ἐρείσειεν, οὐδ' ἀμφιβάλλοι. Τὸ δὲ τῆς εὐθύνης μέγεθος ἐκ τῆς προαιρέσεως καὶ τῶν ἄλλων περιστάσεων τοῦ τοῖς τοιούτοις ἐνόχου ἑκάστοτε καταλογίζεται.

ΚΕΦΑΛΑΙΟΝ Β'.

§. 12. *Περὶ τῆς ἐκ τοῦ γάμου σχέσεως καὶ τῶν ἐξ αὐτῆς καθηκόντων.*

Τοῦ γάμου μυστηρίου ὄντος, καὶ σχέσιν ἱερὰν καὶ ἀδιάλυτον ἀποτελοῦντος, ἣν ἑκουσίως δύο ἑτερογενῆ καὶ ἄζυγα πρόσωπα συνδέουσι μετ' ἀλλήλων, εἰς συνδιαβίωσιν καὶ εἰς προαγωγὴν τοῦ γένους, ῥηθήσεται ἐνταῦθα μόνον περὶ τῶν κατὰ τὴν σχέσιν ταύτην καὶ τὰ ἐξ αὐτῆς καθήκοντα. Οἷον ἀ, τί τὸ οὐσιῶδες τῆς σχέσεως ταύτης καὶ τὸ πάσης ἄλλης οἵας δήποτε σχέσεως διακρίνον αὐτήν· β', Τίς ὁ κύριος τῆς σχέ-

Digitized by Google

σεως ταύτης σκοπός· γ', Τίς ἡ ταύτης ἀξία παρὰ τοῖς ἀνθρώποις. δ', Τίνα τὰ ἐξ αὐτῆς δικαιώματα καὶ καθήκοντα τοῖς οὕτω συνδεομένοις. Καὶ πρῶτον περὶ τοῦ πρώτου. Τίς οὖν ἡ οὐσία καὶ ὁ χαρακτὴρ τῆς ἱερᾶς ταύτης σχέσεως; ἢ, ὃ ταὐτόν ἐστι, τί τὸ ἀπαραιτήτως ἀναγκαῖον εἰς σύστασιν τῆς τοιαύτης σχέσεως; Πρῶτον μὲν οὖν, εἷς ἀνὴρ καὶ μία γυνὴ, ἄζυγοί πω ἀμφότεροι· εἶτα δὲ ἀμοιβαία ἀμφοτέρων αὐτοπροαίρετος καὶ ἀκατανάγκαστος συγκατάθεσις, ἣν σπουδαίαν εἶναι δεῖ, καὶ εἰλικρινῶς ἀνωμολογημένην, ὥστε καὶ πεποιθέναι ἀδιστάκτως ἐπ' αὐτὴν ἀμφότερα τὰ τῆς συζυγίας μέλη· τελευταῖον δὲ, καὶ τέλος αὐτῇ προτεθειμένον τὸ μετ' ἀλλήλων μέχρι θανάτου τοῦ ἑτέρου συνδιαβιῶσαι, καὶ ἐξ ἑαυτῶν μόνων τεκνοποιῆσαι. Οὕτως οὖν οὐσιώδη πάντα ταῦτα πρὸς τὴν σχέσιν ταύτην εἰσίν, ὥστε καὶ ἓν ἐξ αὐτῶν εἰ λείποι, ἡ σχέσις αὕτη διαλύεται καὶ παύεται. Πλάσας γοῦν ὁ Θεὸς τὸ πρῶτον τῶν ἀνθρώπων ζεῦγος κατ' εἰκόνα ἑαυτοῦ, καὶ εὐλογήσας, εἶπεν « Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς » (α). Ἐν δὲ τοῖς θείοις τούτοις ῥήμασιν ἐκφράζεται τὸ περὶ τοῦ γάμου καὶ τῆς κατ' αὐτὸν ἐννοίας θέλημα τῆς θείας προνοίας· μίαν γὰρ μόνην γυναῖκα ἔπλασεν ὁ Θεὸς τῷ πρώτῳ ἀνθρώπῳ, καὶ ἕνα μόνον ἄνδρα ἔδωκε τῇ πρώτῃ γυναικὶ, ὡς ἐν δυσὶ μόνοις ἑτερογενέσι τὸν γάμον ὑφίστασθαι βουλόμενος. Οὐκ ἔνι ἄρα θεμιτὸν οὔτε ἑνὶ ἀνδρὶ πλείους ἔχειν γυναῖκας, οὔτε μιᾷ γυναικὶ πλείοσιν ἀνδράσι συνάπτεσθαι, ἀλλ' ἑνὶ μιᾷ καὶ μιᾷ ἑνὶ μόνῳ. Διὸ καὶ ἐν τοῖς πολιτικοῖς νόμοις ὥρισται ὁ γάμος « *ἀνδρὸς καὶ γυναικὸς συνάφεια καὶ συγκλήρωσις πάσης τῆς ζωῆς, θείου τε καὶ ἀνθρωπίνου*

(α) Γεν. α'. 28.

Digitized by Google

δικαίου κοινωνία » (α). Τὸ δὲ τῆς ἀνθρωπότητος λάγνον ἐκ παλαιοῦ χρόνου ἐπὶ τὴν παραφροσύνην καὶ κτηνωδίαν τῆς πολυγαμίας ἐξετράπη ἐναντίον τῆς θείας βουλῆς· ἀλλ' ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὡς ἐπανορθωτὴς τῆς πεπτωκυίας φύσεως τῶν ἀνθρώπων, καὶ τὸν νόμιμον γάμον αὖθις εἰς τὴν ἀρχαίαν αὐτοῦ ἀξίαν καὶ τὸ τέλος ἐπανήγαγε, τὴν πολυγαμίαν ἀπαγορεύσας, καὶ τὴν τοῦ κατὰ νόμον τελεσθέντος γάμου διάλυσιν, ἕως οὗ ὁ θάνατος τοῦ ἑτέρου τῆς συζυγίας μέλους φέρῃ ἐκ φύσεως τὸν χωρισμόν. « Ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω » φησὶ (β)· προσθεὶς, ὅτι « ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται, καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται » (γ). Οὕτω καὶ ὁ θεῖος Παῦλος λέγει, « Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ' ὁ Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι, ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι » (δ)· καὶ ἀλλαχοῦ, « Ζῶντος τοῦ ἀνδρὸς, μοιχαλὶς χρηματίσει, ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ, ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ » (ε). Διὰ ταῦτα καὶ ἡ τοῦ Χριστοῦ ἐκκλησία ἀκέραιον καὶ τὸ περὶ τούτου δόγμα διετήρησεν, ὡς οἱ περὶ τούτου κανόνες τῶν ἁγίων συνόδων βεβαιοῦσι, καὶ ἡ ἐνιαχοῦ γενομένη παράβασις, τῇ ἀγνοίᾳ μᾶλλον ἐπισκόπων τινῶν ἀπαδοθῆναι προσήκει, ἢ τῇ ἀθετήσει τῆς κυριακῆς ἐντολῆς παρὰ τῆς καθόλου ἐκκλησίας. Λέγει δέ που καὶ ὁ μακάριος Αὐγουστῖνος, « Οὐδεμία γυνὴ ἀνδρὸς ἄλλου γενέσθαι δύναται, εἰ μὴ ἐπαύσατο

(α) Φωτ. νομοκ. τιτ. ιϐ'. κφ. ιγ'. (β) Ματθ. ιθ'. 6. (γ) Ἰδὲ καὶ Μαρκ. ι. 11. καὶ Λουκ. ις'. 18. (δ) Α'. Κορ. ζ'. 10. (ε) Ῥωμ. ζ'. 3.

Digitized by Google

τοῦ εἶναι ἐκείνου γυνή, παύεται δὲ, ἐπειδὰν ὁ ἀνὴρ τελευτήσῃ, οὐκ ἐπειδὰν τὴν μοιχείαν ἐργάσηται» (α). Ἐκ πάντων οὖν τούτων συνάγεται, ὅτι πάντα τὰ εἰρημένα, οὐσιώδη εἶσι τοῦ γάμου συστατικά.

§ 13. *Περὶ τοῦ τέλους τοῦ γάμου.*

Τέλος τοῦ γάμου κυριώτατον μὲν ἡ παιδοποιία, ἤτοι ἡ ἐπὶ τῆς γῆς προαγωγή τε καὶ διατήρησις τῆς ἀνθρωπότητος, ἥτις ἐστὶ τὸ ὁρατὸν ἀφομοίωμα τοῦ Θεοῦ, διὰ τῆς γεννήσεώς τε καὶ ἀνατροφῆς τῶν γεννωμένων μάλιστα ἐφικτὴ οὖσα· τὰ δ' ἄλλα δευτερεύοντα κρίνονται. Δῆλον δὲ ἔκ τε τῆς ἰδιότητος τῆς γαμικῆς συναφείας, καὶ ἐκ τῶν τῆς θείας ἀποκαλύψεως λόγων. « Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς λέγων, Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν (β)». Ἡ δὲ τῆς ἐν γάμῳ συναφείας ἰδιότης ἐστὶν, ὅτι εἷς μόνος ἀνὴρ καὶ μία μόνη γυνὴ δύνανται ἐν ἀλλήλοις εἰς κοινωνίαν γάμου ἐλθεῖν, ἔχοντες τὴν κατασκευὴν ἀμφότεροι τελείαν εἰς τὸ γεννᾶν καὶ πληθύνειν ἐπὶ τῆς γῆς τὸ ἀνθρώπινον γένος διὰ τῆς γεννήσεως καὶ τῆς ἀνατροφῆς τῶν γεννωμένων. Πρὸς δὲ τὸ αὐτὸ τέλος καὶ ἰδίαν ὁρμὴν, καὶ κλίσιν πρὸς ἀλλήλους ἐνέθηκεν ὁ Θεὸς ἀμφοτέροις, ἵνα ζητῶσι καὶ ἐπιθυμῶσιν ἀλλήλους πρὸς τὴν τοῦ τέλους ἐπιτυχίαν, ἀλλὰ καὶ στοργὴν καὶ φίλτρον σφοδρὸν πρὸς τὰ γεννώμενα· καὶ ἡ πρὸς ἀλλήλους δὲ ὁρμὴ οὕτως ἐστὶν ἰσχυρὰ, ὥστε κατὰ τὸ θεῖον λόγιον· « ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν

(α) L. II. de adult. conj. C. 5. (β) Γεν. α. 28.

Digitized by Google

μητέρα, καὶ προσκολληθήσεται τῇ ἰδίᾳ γυναικὶ, κ. τ. λ. (α)». καὶ τ' ἄλλα δὲ λόγια τῆς Γραφῆς τοῦτο δηλοῦσιν, ὅτι καὶ θέλημα τοῦ Θεοῦ, καὶ κυριώτατον τέλος τοῦ γάμου ὑπάρχει ἡ τοῦ ἀνθρωπίνου γένους προαγωγὴ καὶ συντήρησις ἐπὶ τῆς γῆς. Ἔτι δὲ πρὸς τούτῳ εἰσὶ καὶ ἄλλα δεύτερα τοῦ γάμου τέλη, οἷον ά, ἡ σώφρων καὶ κατὰ νόμον τῆς γεννετησίου ὁρμῆς θεραπεία πρὸς ἀποφυγὴν πάσης ἀθεμίτου, ἢ παρὰ φύσιν, θεραπείας αὐτῆς· β', ἡ ἐν ταῖς ταλαιπωρίαις καὶ τοῖς δεινοῖς τοῦ παρόντος βίου ἀμοιβαία τῶν συζύγων βοήθεια, καὶ ἡ πρὸς τὴν εὐημερίαν ἀμοιβαία συνέργεια. Καὶ τοῦτο μὲν δῆλον ἐξ ὧν ὁ Θεὸς λέγει, « Οὐ καλὸν εἶναι μόνον τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν· καὶ ᾠκοδόμησεν ὁ Θεὸς τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν εἰς τὸν Ἀδὰμ κ. τ. λ. » (β)· καὶ ἐξ ὧν ὁ θεῖος Παῦλος παραινεῖ « Διὰ δὲ τὰς πορνείας (ἤτοι, ἵνα τὰ ἐκ τῆς ἀκρασίας ἁμαρτήματα φύγητε) ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω » (γ). Τούτοις δὲ καὶ ἡ καθόλου γνώμη τῶν ἀνθρώπων συναινεῖ· ἀπ' ἀρχῆς γὰρ, καὶ παρὰ πᾶσιν ἀνθρώποις θεμιτὸς καὶ τίμιος ὁ γάμος ἐνομίσθη, κἂν μὴ πρὸς τὸ πρῶτον, ἀλλὰ πρὸς τὰ δεύτερα τέλη συνάπτηται. Ἀεὶ μέν τοι πρὸς τὸ πρῶτον δεῖ ἀφορᾶν μᾶλλον, ἢ εἰς τὰ δεύτερα τὰ δοκοῦντα συγκατάβασιν εἶναι πρὸς τὴν τῶν ἀνθρώπων ἀσθένειαν.

§. 14. *Περὶ τῆς τοῦ γάμου ἀξίας.*

Ἐπειδὴ ὁ ἄνθρωπός ἐστιν ἐπὶ τῆς γῆς ἡ ὁρατὴ τοῦ ἀοράτου Θεοῦ εἰκὼν, κεκλημένος πρὸς τὴν ὅσον ἔνεστι,

(α) Γεν. β'. 24. (β) Γεν. β', 20. (γ) Α'. Κορ. Ζ'. 2.

Digitized by Google

τελείαν πρὸς αὐτὸν ἐξομοίωσιν καὶ ἕνωσιν μετ' αὐτοῦ, ὁ δὲ γάμος, μέσον νόμιμον, ὑπ' αὐτοῦ τοῦ Θεοῦ ὡρισμένον, ἵνα διατηρῆται καὶ αὐξάνῃ τὸ ἀνθρώπινον γένος, δοκεῖ ἐκ τούτου σεβάσμιόν τι καὶ ἱερὸν καὶ τίμιον εἶναι. Τοῦτο δὲ καὶ ὁ θεῖος Παῦλος βεβαιοῖ λέγων, « Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος » (α). Ἡ δὲ ὑψηλὴ αὐτοῦ ἀξία ἐκ τῶνδε μάλιστα διαλάμπει· ἅ, ὅτι ἰδιαιτέρα διάταξίς ἐστιν αὐτοῦ τοῦ Θεοῦ· β', ὅτι ὑπὸ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς μέγα καὶ ἱερώτατον ἀνυψώθη μυστήριον, ἤτοι σύμβολον τῆς αὐτοῦ ἀγάπης καὶ ἑνώσεως μετὰ τῆς ἐκκλησίας αὐτοῦ· γ', ὅτι οἱονεὶ φυτοκομεῖον γίνεται τῆς ἀεὶ ἀνακαινιζομένης ἀνθρωποτήτος, καὶ μέσον τῆς ἐπὶ γῆς διατηρήσεως τῆς θείας εἰκόνος· δ', ὅτι τὰ δεινὰ καὶ τὰς κυριωτέρας ἀνάγκας τοῦ βίου ἀνακουφίζων, ἀνεκτοτέρας ἀπεργάζεται· ε, ὅτι οὐ μόνον τῆς κοινῆς ἡσυχίας τε καὶ εὐημερίας ἀσφαλέστατόν ἐστιν ὑπέρεισμα, ἀλλὰ καὶ τῆς κατ' οἶκον εὐδαιμονίας ὁ θεμέλιος· ς', τελευταῖον δὲ, ὅτι τὸ κυριώτατον κώλυμα τῆς ἠθικῆς ἡμῶν τελειότητος αἴρει, τὴν σφοδρὰν γενετήσιον ὁρμὴν εἰς τὰ τῆς λογικῆς μετριότητος ὅρια περιορίζων. Καὶ τοιαύτη μὲν ἡ τοῦ γάμου ἀξία, οὐ μικρὰ πάντως, οὐδ' εὐκαταφρόνητος, ἐν τῇ δεούσῃ τιμῇ τηρουμένου, ὅπως δηλαδὴ μήτε κατάχρησις τῶν δικαιωμάτων γίγνηται, μήτε τῶν καθηκόντων παράβασις, ἀλλ' ὡς ἱερὰ τηρῶνται καὶ μετὰ τῆς δεούσης προθυμίας ἐπιτελῶνται. Συμβαίνει δ' ὅμως πολλάκις καὶ δεινά τινα ἐν τῷ γάμῳ, ἅπερ οὐκ ἔνι σιγᾶν. Οἷον, ἐὰν μετὰ τὸν γάμον, τὸ ἕτερον τῆς συζυγίας μέλος γνωσθῇ τοιοῦτον ἔχον ἦθος, χαλεπὸν καὶ τραχὺ, ἢ ἄλλα τινὰ σωματικὰ, ἢ πνευματικὰ ἐλαττώ-

(α) Ἑβρ. ιγ'. 4.

Digitized by Google

ματα, καὶ ταῦτα κατὰ πάντα τρόπον, καὶ διὰ πάσης πείρας ἀθεράπευτά τε καὶ ἀδιόρθωτα, καὶ ὅμως ἀνάγκη συνδιαβιῶσαι, καὶ μηδέποτε μέχρι θανάτου χωρισθῆναι. Οἷα βάσανος! Ἔτι δὲ καὶ οἱ ἐπὶ τῇ ἀγωγῇ τῶν παίδων πόνοι τε, καὶ φροντίδες, καὶ θλίψεις, καὶ ὁ τῆς ἠθικῆς κίνδυνος. ἐκ τῆς διηνεκοῦς εὐκαιρίας τοῦ θεραπεύειν τὴν γενετήσιον ὁρμήν· ἀκρατῶς γὰρ τῶν σωματικῶν ἡδονῶν ἀπολαύων, ῥᾳδίως εἰς κτηνωδίαν ἀποκλῖναι κινδυνεύει, ἢ κορεσθείς, ἄλλας θηρεύειν τοιαύτας σχέσεις, ἢ εἰς ἔριδας διηνεκεῖς καὶ διαπληκτισμοὺς χωρεῖν ἐκ τοῦ κόρου, ἀλλὰ καὶ δυστυχήματα ἄλλα περὶ τὴν τοῦ οἴκου συντήρησιν καὶ οἰκονομίαν· πάντα ταῦτα ἐνίοτε τῷ γάμῳ συμβαίνοντα, ἐλαττοῦσι μὲν τὴν ἀξίαν αὐτοῦ, οὐδὲν δὲ τῆς αὐτοῦ ἱερότητός τε καὶ τοῦ ἀξιώματος ἀφαιροῦσιν, ὡς τυχαῖα καὶ μηδαμῶς τῆς οὐσίας ἁπτόμενα. οὐ γὰρ ἐκ τῆς τοῦ γάμου φύσεως ταῦτα γίνεται, ἀλλ' ἐκ τῆς τῶν συζύγων γνώμης ἢ κακίας, καὶ ἐξ ἄλλων ἔξωθεν περιστάσεων, μάλιστα δὲ ἁ, ἐκ τοῦ μὴ μετὰ σκέψεως καὶ προνοίας τὴν αἵρεσιν γίνεσθαι· β', ἐκ τοῦ κατὰ τὴν αἵρεσιν ταύτην τὰ ἐπουσιώδη μᾶλλον, ἢ τὸ οὐσιῶδες θεωρεῖν καὶ ἐξετάζειν· γ', ἐκ τοῦ κακῶς, ἢ εἰς ὑπερβολὴν τοῖς τοῦ γάμου δικαιώμασι χρῆσθαι· δ', ἐκ τοῦ μὴ ἐπιτελεῖν ἀκριβῶς μηδ' εὐσυνειδήτως τὰ τοῦ γάμου καθήκοντα· ε, ἐκ τῆς ἐλλείψεως τῶν πρὸς τὸν γάμον ἀναγκαίων χαρισμάτων, καὶ ἐκ τοῦ ὀλίγον περὶ αὐτῶν ὕστερον ἐπιμελεῖσθαι. Ἐκ τούτων καὶ τῶν τοιούτων τὰ πλεῖστα τῶν ἐν τῷ γάμῳ δεινῶν ἐπιγίνονται, κἄν τις ἐν αὐτῷ εὑρίσκῃ τὴν κόλασιν, οὐδαμόθεν ἄλλοθεν, ἢ ἐκ τῆς ὀλιγωρίας τῶν εἰρημένων τοῦτο συμβαίνει· διὸ καὶ ἀνάγκη προνοεῖν τε καὶ προλαμβάνειν αὐτά·

Digitized by Google

§. 15. *Εἰ ἄρα καθῆκον γενικὸν πᾶσι τὸ τοῦ γάμου;*

Καθόλου μὲν εἰπεῖν, ἐπεὶ τὸ διατηρεῖσθαι καὶ αὐξάνεσθαι ἐπὶ τῆς γῆς τὸν ἄνθρωπον θέλημα ὕψιστον καὶ πανάγιόν ἐστι τοῦ Θεοῦ, ὁ δὲ γάμος τὸ πρὸς τοῦτο τεταγμένον παρὰ τοῦ Θεοῦ νόμιμον μέσον ὑπάρχει, καθῆκον ἄρα καὶ τὸ εἰς κοινωνίαν αὐτοῦ ἔρχεσθαι. Τὸ δὲ θέλημα τοῦ δημιουργοῦ διττῶς ἐδηλώθη, πρῶτον μὲν διὰ τῆς ῥητῆς ἐντολῆς «αὐξάνεσθε καὶ πληθύνεσθε», εἶτα δὲ καὶ διὰ τῆς ἐν τῇ φύσει τοῦ ἀνθρώπου γενετησίου ὁρμῆς, ὑφ' ἧς εἰς τὸν γάμον ἑλκόμενοι, τὴν τοῦ γένους διατήρησιν καὶ τὸν πληθυσμὸν διενεργοῦσι. Δοκεῖ μέντοι τὸ καθῆκον τοῦτο τῷ ὅλῳ μᾶλλον τῆς ἀνθρωπότητος, ἢ ἑκάστῳ τῶν μελῶν αὐτῆς προσήκειν. «Εἰσὶ γάρ τινες, ὡς φησι τὸ ἱερὸν λόγιον, εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτω» (α). Εἶτα δὲ καὶ ἄλλοι πολλοί, οἵπερ, καί τοι τῶν γενετησίων ὀργάνων μὴ στερούμενοι, οὐδεμίαν αἰσθάνονται πρὸς τὸν γάμον ὁρμὴν, ἢ τελευταῖον ὑπ' ἄλλων ἔργων, οὐχ ἧττον τῇ ἀνθρωπότητι ὠφελίμων, ἀπὸ τοῦ γάμου κωλύονται, καὶ παρθενίᾳ συζῆν βούλονται. Πάντας οὖν τοὺς τοιούτους ἡ φύσις, ἢ τὸ κρεῖττον τοῖς ἀνθρώποις ἀγαθὸν τοῦ γαμικοῦ καθήκοντος ἀπολύουσι, πᾶσι δὲ τοῖς λοιποῖς ἔνεστι τὸ καθῆκον ἴδιον ἑκάστῳ, καὶ τὸ τοῦ Ἀποστόλου αὐτοῖς ἁρμόττει, «Εἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν, κρεῖσσον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι· διὰ τοῦτο ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω» (β), ἵνα μὴ δηλονότι εἰς ἀκαθαρσίαν τινα ἐμπίπτωσιν. Ἀεὶ δὲ θετικόν ἐστι τὸ καθῆκον, κἀ-

(α) Ματθ. ιθ'. 12. (β) Α'. Κορ. Ζ'. 9.

Digitized by Google

κεῖνοι μόνον εἰσὶ τούτῳ ὑπόχρεοι, ὅσοις καὶ τὰ πρὸς τὴν ἐκτέλεσιν αὐτοῦ ἀναγκαῖα καὶ ὁ καιρὸς πάρεστι, τοῖς δ' ἄλλοις, τοὐναντίον, παρίσταται τὸ καθῆκον τοῦ ἀπέχειν διὰ παντὸς τοῦ γάμου, ὅσοι, ἢ τῆς ἱκανότητος καὶ τῶν πνευματικῶν χαρισμάτων στεροῦνται, ὅπως τὰ γεννηθέντα ἐκθρέψωσί τε, καὶ εἰς εἰκόνα ζῶσαν καὶ ἀφομοίωμα τοῦ Θεοῦ μορφώσωσιν, ἢ μηδεμίαν κέκτηνται περιουσίαν, ὥστε ἑαυτούς τε καὶ ὅλον τὸν οἶκον τιμίως συντηρεῖν. Ἐὰν γὰρ οἱ τοιοῦτοι, χάριν τῆς κτηνώδους ὁρμῆς μόνον, εἰς γάμον ἔρχωνται, μέγα πράττουσιν ἁμάρτημα, πρῶτον μὲν, εἰς τὰ ἑαυτῶν τέκνα, οἷς τὴν ἑαυτῶν ἀθλιότητα μεταδιδόασι, τῇ δυστυχίᾳ ὑποβάλλοντες, εἶτα δὲ, καὶ πρὸς τὴν ἄλλην ἀνθρωπότητα, ἥπερ ὡς ἄχθος ἐπιβάλλουσι τὴν πενεστάτην αὐτῶν οἰκίαν. Ἐκ τούτων ἄρα δῆλον, τὶ δεῖ φρονεῖν περὶ τῶν ἐκ ῥᾳθυμίας, ἢ καὶ ἐκ λαγνείας, ἵνα μὴ μιᾷ μόνῃ γυναικὶ συνδεδεμένοι ὦσιν, ἀποστρεφομένων τὸν γάμον, καίτοι πάντα τὰ πρὸς αὐτὸν ἀναγκαῖα χαρίσματα, καὶ περιουσίαν, καὶ καιρὸν κ. τ. λ. κεκτημένων· ἡ γὰρ τῶν τοιούτων ἀπὸ τοῦ γάμου ἀποχὴ ὀλιγωρίαν καὶ καταφρόνησιν τῆς ἀνθρωπότητος δείκνυσι, προτιμωμένης τῆς οὕτω ποταπῆς ὠφελείας, ἀντὶ τῆς συντηρήσεως καὶ αὐξήσεως τῆς ἀνθρωπότητος· μάλιστα δὲ ἡ ἐκ λαγνείας ἀπὸ τοῦ νομίμου γάμου ἀποχὴ μέγα τυγχάνει πρὸς τὴν ἀνθρωπότητα ἁμάρτημα, ἐξ ἀκρασίας βλαπτομένην τε καὶ ἀτιμαζομένην· τὸ δ' αὐτὸ καὶ περὶ πάσης ἄλλης ἀνόμου θεραπείας τῆς γενετησίου ὁρμῆς νομιστέον· διὸ καί φησιν ἡ θεία Γραφή· « Μὴ πλανᾶσθε ἀδελφοί! οὔτε πόρνοι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται.... βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν » (α).

(α) Α'. Κορ. ϛ'. 9—10.

Digitized by Google

§. 16. *Περὶ τῶν ἐκ τοῦ γάμου δικαιωμάτων τε καὶ καθηκόντων.*

Ὥσπερ ἐξ ἁπάσης ἄλλης σχέσεως τῶν ἀνθρώπων πρὸς ἀλλήλους δικαιώματά τινα καὶ καθήκοντα προέρχονται· δικαιώματα, οἷς, ὅταν βούλωνται, ἔξεστιν αὐτοῖς χρῆσθαι, καὶ καθήκοντα, ἃ δεῖ προθύμως ἐπιτελεῖν, ἵνα ἡ σχέσις διατηρῆται, καὶ ἀμφότερα ἐκ τῆς ἰδιότητος καὶ τοῦ σκοποῦ τῆς σχέσεως ἀκριβῶς ὁρίζονται· οὕτω καὶ ἐκ τῆς ἐν γάμῳ σχέσεως ἀμφοτέροις τοῖς τῆς συζυγίας μέλεσι δικαιώματά τε καὶ καθήκοντα γίνεται, ἐκ τῆς ἰδιότητος καὶ τοῦ σκοποῦ αὐτῆς ὁριζόμενα. Καὶ πρῶτον μὲν δικαίωμα ὑπάρχει τοῦ αὐτοὺς μόνους κατὰ φύσιν ἀλλήλοις ὁμιλεῖν, πρὸς τὴν τοῦ ἀνθρωπίνου γένους διατήρησίν τε καὶ αὔξησιν, καὶ διὰ τοῦτο καὶ ἀχωρίστως μετ' ἀλλήλων συζῆν· ἴσον δ' ἀμφοτέροις τῷ τε ἀνδρὶ καὶ τῇ γυναικὶ τὸ δικαίωμα τοῦτο τυγχάνει, καὶ ἴδιον λέγεται, ὡς μόνων αὐτῶν τῶν ἐν γάμῳ ἡνωμένων δύο ἑτερογενῶν προσώπων ὑπάρχον, καὶ ἐν τῷ γάμῳ ὑφίσταται, καὶ μέχρις ἂν ἀμφότερα τὰ τῆς συζυγίας μέλη ἐν τῷ βίῳ διατελῶσι, καὶ αὐτὸ διαμένει. Ὥσπερ δὲ παντὶ δικαιώματι καὶ καθῆκον ἀνάλογον παράκειται, οὕτω καὶ αὐτῷ σύνεστι τὸ καθῆκον, ἵνα ἑκάτερον πρόσωπον προθύμως ἑαυτὸ παρέχῃ τῷ ἑτέρῳ πρὸς τὴν τοῦ δικαιώματος ἀπόλαυσιν· ὥστε τὸ δικαίωμα τοῦ αἰτεῖν, καὶ τὸ καθῆκον τοῦ διδόναι τὴν γαμήλιον ὀφειλὴν ἀμοιβαίως ἀλλήλοις παράκειται, ὁριζόμενα καὶ ταῦτα κατὰ πάντα τὰ ὑποθετικὰ δικαιώματα καὶ καθήκοντα. Καὶ τὸ μὲν δικαίωμα τοὺς ἑπομένους ἔχει ὅρους, ἀ, τὸ μὴ συνεχέστερον χρῆσθαι αὐτῷ, ἢ ὅταν ἡ ἀνάγκη, ἤτοι ἡ τῆς φύσεως ὁρμὴ ἐν τῷ ἑτέρῳ ἀ-

Digitized by Google

παιτῇ, καὶ τότε μετὰ φειδοῦς λογικῆς τοῦ ἑτέρου μέλους, καὶ μετὰ τῆς δεούσης τιμῆς· β', πρὸς τὸ ἀγαθὸν τέλος, ἤτοι οὐ μόνον διὰ τὴν τῆς αἰσθήσεως ἡδονὴν, ἀλλὰ καὶ μετὰ γνώμης, ὅπως καὶ τῷ Θεῷ καὶ τοῖς ἀνθρώποις ὑπουργήσῃ, κατὰ τὸ τέλος τοῦ γάμου, εἰς τὴν ἐπὶ τῆς γῆς διατήρησιν καὶ μόρφωσιν τῆς θείας εἰκόνος. Οὐ δεῖ ἄρα ἐν οὐ δέοντι ἀλλήλους ἐρεθίζειν, ἥκιστα δὲ μετὰ βίας τε καὶ ὀργῆς καταναγκάζειν εἰς τὴν χρῆσιν ἢ κατάχρησιν τοῦ δικαιώματος, ἐπὶ φανερᾷ ζημίᾳ τῆς ὑγιείας, ἢ τῆς ἑαυτοῦ, ἢ τῆς τοῦ ἑτέρου, ἢ καὶ ἀμφοτέρων ἅμα· οὐ γὰρ ἁμαρτίας χωρὶς τοῦτο γε· μεῖζον δ' ἔτι ἁμάρτημα καὶ τὸ μὴ κατὰ ἄνθρωπον, ἢ ἐναντίως τῷ ἀρχικῷ τοῦ γάμου τέλει, ὥσπερ Αὐνὰν ὁ τοῦ Ἰούδα, ὁμιλεῖν βούλεσθαι. Τὰ τοίνυν εὔλογα τῆς ὁμιλίας αἴτια εἰσὶ ά, ἡ ἔργῳ τοῦ ἀνθρωπίνου γένους προαγωγή· β', ἡ τοῦ ἐκ τῆς ἀκρασίας κινδύνου ἀποφυγή. Τοῦ δὲ καθήκοντος ὅρους τιθέασιν οἱ τῆς ἠθικῆς διδάσκαλοι τούτους, ά, ἑκατέρῳ τῶν τῆς συζυγίας μελῶν καθήκει συγχωρεῖν τῷ ἑτέρῳ τὴν τοῦ εἰρημένου δικαιώματος χρῆσιν πρὸς τὰς εἰρημένας ἀνάγκας· β', ἀποστερεῖν δὲ ἀλλήλους μετὰ λόγου καὶ συμφωνίας, ἐὰν ἡ πρόθυμος ὑπακοὴ βλάβην φανερὰν τῇ ὑγιείᾳ ἐπάγῃ, ἢ ἐν οὐ δέοντι καιρῷ καὶ τόπῳ γίνηται ἡ ἀπαίτησις, ἢ ἐὰν τὸ αἰτοῦν ἐν ἐκστάσει φρενῶν ᾖ, ἢ γοῦν ἐν ὑποψίᾳ τοιαύτῃ· μάλιστα δὲ, εἰ τὸ ἕτερον μέλος τὴν τῷ γάμῳ ὀφειλομένην πίστιν μοιχείᾳ ἠθέτησε, καὶ ἡ ἀπιστία ἐξηλέγχθη· διὰ γὰρ τῆς τοιαύτης ἀπιστίας αὐτίκα τὸ δικαίωμα ἀναιρεῖται, καὶ ἡ σχέσις διαλύεται, καὶ τὸ καθῆκον τοῦ ὑπακοῦσαι ἐν τῷ ἑτέρῳ πέπαυται, εἰ δὲ μὴ, ἔδει τὸ ἀδικηθὲν καὶ περιφρονηθὲν παριδεῖν γενναίως τὸ καθ' ἑαυτοῦ ἀδίκημα, ἵνα μὴ τοῦ ἀπίστου χωρισθείη. Ἔτι δὲ πρὸς τοῖς εἰρημένοις καὶ ταῦτα ἀπ' ἀρχῆς παρά γε

Digitized by Google

τοῖς εὐνομουμένοις τῶν ἐθνῶν, ὡς καθήκοντα ὡρίσθησαν, ά, ἡ πρὸς ἀλλήλους διηνεκὴς καὶ ἀκράδαντος πίστις καὶ ἀγάπη μέχρι τέλους τοῦ βίου· β', ἡ ἀμοιβαία ἀντίληψις πρὸς τὴν τῶν παίδων ἀνατροφήν· γ', ἡ κατὰ πάντα τὰ ἐν τῷ βίῳ δεινὰ, τὰ πάθη, τὰς νόσους, τὰς ἀνάγκας καὶ τοὺς κινδύνους ὑπομονὴ καὶ ἀμοιβαία βοήθεια. Καλοῦνται δὲ ταῦτα δικαιώματα ἅμα καὶ καθήκοντα, ὅτι ἀμφότερα τὰ τῆς συζυγίας μέλη δικαιοῦνται παρ' ἀλλήλων αἰτεῖν, καὶ ἀμφότερα παρέχειν ταῦτα ἀλλήλοις ὀφείλουσι, καὶ τῇ τοῦ γάμου φυσικῇ ἰδιότητι καὶ τῷ ἀρχικῷ τέλει μετὰ τῶν εἰρημένων συνῆπται καὶ συνδέδεται ἀμέσως τε καὶ ἀναγκαίως· χωρὶς γὰρ τούτων, οὐδεὶς ἄν ποτε τῶν τὴν ἰδίαν ἡσυχίαν τε καὶ εὐτυχίαν καὶ τὸ ἀγαθὸν περὶ πολλοῦ ποιουμένων, γάμου κοινωνήσειεν, εἰ μὴ σφόδρα ἀλόγιστός τε καὶ ἀπερίσκεπτος· καὶ ὁ γάμος δ' αὐτὸς εἰς τὴν κτηνώδη συνουσίαν ἐκπέσειεν, ὡς μόνην τὴν τῆς γενετησίου ὁρμῆς θεραπείαν θηρεύων, τὰ δ' ἄλλα πάντα φροῦδά τε καὶ ἐξίτηλα καθιστῶν, ὡς τὴν τῶν τέκνων ἀγωγὴν καὶ τὴν εἰς εἰκόνα καὶ ὁμοίωμα τοῦ Θεοῦ μόρφωσιν, ὅπερ καὶ ἔστι, καὶ μένειν δεῖ ἀεὶ τέλος τοῦ γάμου τὸ κυριώτατον. Πῶς γὰρ ἄν τις, χωρὶς πίστεως καὶ ἀγάπης τῶν συζύγων πρὸς ἀλλήλους, ἢ χωρὶς τῆς ἀμοιβαίας συναντιλήψεως εἰς τὴν τροφὴν, καὶ τὸν ἱματισμὸν, καὶ τὴν ἀγωγὴν τῶν τέκνων, ἔτι δὲ χωρὶς ὑπομονῆς καὶ συναρωγῆς ἀλλήλων ἐν τοῖς δεινοῖς, καὶ ἐν ταῖς ἀνάγκαις καὶ ταῖς νόσοις, τοῦ εἰρημένου τέλους τεύξεσθαι ἐλπίσειεν; Ἀλλὰ ταῦτα, εἴποι τις ἄν, ἀναγκαῖά εἰσιν, ὅπου καὶ τέκνα, καὶ μέχρις ἂν ἀφ' ἑαυτῶν ζῆν δυνήσωνται, αὐξηθέντων δὲ, ἢ καὶ μὴ ὄντων, οὐκ ἔτι συνδιαβιοῦν ἀνάγκη τοὺς γεγαμηκότας. Μόνοι οἱ μηδὲν ἄλλο, ἢ τὴν τῆς φύσεως ἄλογον ὁρμὴν θεραπεύειν φροντίζοντες οὕτως ἂν εἴ-

Digitized by Google

πειεν, ἢ φρονήσειαν περὶ τοῦ οὕτως ἱεροῦ καὶ σπουδαίου πράγματος, οἷον ὁ γάμος! Ἀλλὰ ποῖ δὴ ἀταξίας τε καὶ αὐθαιρεσίας οὐκ ἂν περισταίη οὕτω τὰ κατ' αὐτόν; Ἀσφαλεστάτην εἶναι δεῖ συνδιαβίωσιν τοῖς ἀνθρώποις τὸν γάμον· ἄλλως γὰρ, ὡς εἴρηται, εἰς ἁπλῶς κτηνώδη συνουσίαν ἐκπίπτει, καὶ αἰσχρὸν ἂν εἴη οὕτω τοῖς ἀνθρώποις. Οὕτω παρὰ πᾶσι, καὶ αὐτοῖς δὲ τοῖς βαρβάροις ἔγνωσται. Ὅπως οὖν ἀσφάλειάν τε καὶ βεβαιότητα ἔχῃ, ἀναγκαῖον συνεῖναι αὐτῷ πάντα τὰ εἰρημένα καθήκοντά τε καὶ δικαιώματα τῶν συζύγων.

§. 17. *Περὶ τῆς ὀφειλομένης ἀμοιβαίας πίστεως τῶν συζύγων.*

Ἡ πρὸς ἀλλήλους τῶν συζύγων ἀμοιβαίως ὀφειλομένη πίστις ἐν δυσὶ τούτοις ὑφίσταται, ἀ, ἐν τῷ παρέχειν ἀλλήλοις προθύμως, κατὰ τοὺς ἀποδοθέντας ὅρους, τὴν γαμικὴν ὑπουργίαν· β', καὶ ἐν τῷ μηδέποτε μηδέτερον τῶν τῆς συζυγίας μελῶν ἄλλῳ τινὶ ὁμιλῆσαι, ἀλλὰ μάλιστα καὶ τὴν σκιὰν ὑπονοίας τοιαύτης ἐπιμελῶς διὰ παντὸς τοῦ βίου φεύγειν· πολλάκις γὰρ καὶ ὑπόνοια μόνη ταραχῆς μεγάλης τὴν οἰκίαν ἐνέπλησε, καὶ τὴν εἰρήνην ἀπήλασε, καὶ τὴν ἀμοιβαίαν πίστιν τῶν συζύγων διέλυσε καὶ ἠφάνισε. Μέγα οὖν καὶ σπουδαιότατον καθῆκον ἑκατέρῳ τῶν συζύγων φεύγειν ἐπιμελῶς τὴν ἄλλῳ τινὶ τῶν ἔξωθεν ἑτερογενῶν ἐλευθέραν συμπεριφορὰν, καὶ μάλιστα τὴν φιλικῶν συνεννοήσεων μυστικὴν διατήρησιν, καὶ πάντα τὰ τοιαύτην σχέσιν ὑπαινιττόμενα κινήματα, κἂν μηδὲν φαῦλον ἐξ αὐτῶν δικαστικῶς ἀποδεικνύηται. Ἡ δὲ μεθ' ἑτέρου προσώπου παρὰ τὸ σύζυγον σαρκικὴ μίξις μοιχεία ἐστὶν, ἤτοι ἀναίρεσις τῆς ἱερᾶς ἑνώσεως, καὶ ἀπιστία καὶ ἀθέτησις

Digitized by Google

τῆς δημοσίᾳ δεδομένης πρὸς τὸ ἕτερον τῆς συζυγίας πρόσωπον ἐπαγγελίας, ἥπερ οὐ μόνον ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ, ἀλλὰ καὶ παρὰ πᾶσιν ἀνθρώποις, ὡς τὸ μέγιστον τῶν ἐν ἀνθρώποις ἀδικημάτων τε καὶ ἁμαρτημάτων νενόμισται, καὶ, ὑπὸ τῶν πολιτικῶν νόμων στιγματιζόμενον, αὐστηρῶς κολάζεται· ἀδικία γὰρ καὶ κάκωσις κυρίως τοῦ ἑτέρου μέλους τῆς συζυγίας ἐστὶν, οὐχ ἥττων τοῦ βραδέος μὲν, ὀδυνηροῦ δὲ θανάτου· διὸ καὶ ἡ ἐπὶ τῇ μοιχείᾳ εὐθύνη μεγίστη τε καὶ βαρυτάτη ἐπίκειται, μάλιστα δὲ, ἐὰν μηδεμία παρὰ τοῦ ἑτέρου μέλους τῆς συζυγίας διδῶται εἰς τοῦτο ἀφορμὴ, ἀλλὰ λαγνείας τε καὶ ἀκολασίας ὑπάρχῃ καρπὸς αἴσχιστος· οὕτω δὲ καὶ ὅταν ἐξ αὐτῆς μεγίστη συμβαίνῃ τῷ ἑτέρῳ αἰσχύνη καὶ θλίψις, καὶ καταστροφὴ τοῦ οἴκου καὶ διάλυσις. Ἔτι δὲ καὶ τὸ ἀλόγως ἀποστερεῖν ἀλλήλους τῆς κατὰ τὸν γάμον ὀφειλομένης ὑπουργίας ἀποφατική τις θεωρεῖται μοιχεία. Εἰ μὲν γὰρ ἐξ ἔχθρας ἢ πεισμονῆς πρὸς θλῖψιν καὶ βάσανον τοῦ ἑτέρου γίγνεται, ἄδικος καὶ παρὰ τὸ καθῆκόν ἐστι, καὶ ἀφορμὴν πολλάκις παρέχει εἰς ὑπονοίας κακὰς καὶ εἰς παντελῆ ψυχρότητα καὶ μῖσος πρὸς ἀλλήλους ἀδιάλλακτον, καὶ θλίψεις καὶ κακώσεις, τέλος δὲ, καὶ εἰς αὐτὸν τὸν αἰσχρὸν καὶ παράνομον χωρισμὸν, ἢ εἰς πραγματικὴν μοιχείαν, ἢ εἰς τὰ παρὰ φύσιν ἁμαρτήματα·

§. 18. *Περὶ τῆς ἐν τῷ γάμῳ ὀφειλομένης φιλίας τε καὶ ἀγάπης τῶν συζύγων.*

Ἐκ τῆς διὰ παντὸς τοῦ βίου πίστεως καὶ ἀγάπης τῶν συζύγων πρὸς ἀλλήλους διακρίνεται ἡ τῶν ἀνθρώπων συζυγία ἀπὸ τῆς κατὰ φύσιν μίξεως τῶν κτηνῶν. Τῆς δὲ ἀγάπης ἐστὶ ἁ, τὸ εἰλικρινῶς ἀλλήλοις συμβιοῦν, καὶ συμπρόνοεῖν περὶ τῆς κατ' οἶκον εὐημερίας, καὶ τῆς

Digitized by Google

αἰωνίου μακαριότητος, ἥπερ ἐστὶν ὁ ὕψιστος σκοπός· β', τὸ προθύμως τε καὶ ἀμοιβαίως ἀλλήλοις συμβοηθεῖν εἰς τὴν τῶν τέκνων διατροφήν τε καὶ ἀγωγήν· γ', τὸ ἐν ταῖς θλίψεσι καὶ ταῖς νόσοις καὶ ἐν πᾶσι τοῖς δεινοῖς παραμυθεῖσθαι ἀμοιβαίως, καὶ ἀλλήλων συναντιλαμβάνεσθαι. Ταῦτα πάντα καὶ αἰτεῖν καὶ ἐκδέχεσθαι παρ' ἀλλήλων δικαιοῦνται τὰ τῆς συζυγίας πρόσωπα, καὶ εὐλόγως ὡς δικαιώματα καὶ καθήκοντα κρίνονται. Δεῖ δὲ τὴν τῶν συζύγων ἀμοιβαίαν ἀγάπην μὴ ἀναγκαστικὴν μηδὲ κατὰ προσποίησιν εἶναι, ἀλλ' εἰλικρινῆ καὶ ἐνδόμυχον ἀλλήλοις εὔνοιαν, καὶ συμμετοχὴν ἔν τε ταῖς εὐτυχίαις καὶ ἐν ταῖς δυστυχίαις, καὶ ὁμαλὴν ἀεὶ καὶ ἴσην καὶ σταθεράν· καὶ τὸ ἐπιμελεῖσθαι δὲ, ὅπως μηδέποτε ψυχρανθῇ, ἢ ἐκλίπῃ, καθῆκον δήπου τῶν κυριωτάτων. Τί δ' ἄρα τὸ τὴν τοιαύτην ἀγάπην ἐμποιοῦν τε καὶ διατηροῦν; ἢ οὐ χαλεπὸν συνιδεῖν τοῦτό γε; Ἵνα γὰρ ἀγάπη ἐγγένηται, καὶ ἀξιαγάπητόν τι ἐνυπάρχειν ἀνάγκη, καὶ τοῦτο οὐκ ἐν τοῖς ἔξω μόνον καὶ σωματικοῖς χαρίσμασίν ἐστιν, ἀλλ' ἐν τοῖς ἀγαθοῖς μάλιστα ψυχικοῖς χαρίσμασιν, οἷον ἐν τῇ εὐγνωμοσύνῃ, ἐν τῇ μετὰ φιλοπονίας ἱλαρότητι καὶ εὐθυμίᾳ, ἐν τῇ συνέσει καὶ καρτερίᾳ κατὰ τὴν τοῦ ἰδίου ἐπιτηδεύματος ἐνέργειαν, ἐν τῇ εἰλικρινεῖ ἀγάπῃ πρὸς τὴν ἀλήθειαν καὶ τὴν χρηστότητα, ἐν τῇ μετὰ συνέσεως οἰκονομίᾳ τῇ ἴσον τῆς περιττῆς δαπάνης καὶ τῆς γλισχρότητος καὶ μικρολογίας ἀφισταμένῃ, ἐν τῇ πρὸς πάντας ἠπιότητι, καὶ δακρίσει, καὶ εὐμενείᾳ, χωρὶς οἰκειότητος, ἀλλ' ἐν ἀμέμπτῳ πρὸς ἕκαστον καὶ προσηκούσῃ διαγωγῇ, πρὸ δὲ πάντων, ἐν τῇ ἀνυποκρίτῳ εἰλικρινείᾳ καὶ τῇ προλαμβανούσῃ τῷ ἑτέρῳ παρ' ἑκατέρου τῶν συζύγων συναρεσκείᾳ, χωρὶς ζημίας τῆς ἰδίας ἀρετῆς. Ὅπου δ' ἂν τοιαῦτα ἐνυπάρχωσι χαρίσματα, οὐκ ἔστιν ὅπως ἡ πρὸς ἀλλήλους ἀγάπη ἐκλίπῃ· ἀλλ' ὅπου

Digitized by Google

ταῦτα ὀλιγωροῦνται, ἀδύνατον μὴ ἀηδίαν καὶ δυσαρέσκειαν ἐπιγενέσθαι. Κυριώτατον ἄρα καθῆκον τοῖς συζύγοις ἐπιμελεῖσθαι τούτων, ὅσον οἷόν τε, καὶ μετὰ προσοχῆς δὲ προλαμβάνειν τὰ ψυχρότητα, ἢ κόρον καὶ ἀηδίαν ἐμποιοῦντα, καὶ φεύγειν τὰ διαφωνίαν, ἢ διχόνοιαν φέροντα, καὶ τὰς ἐπισυμβάσας δυσαρεσκείας ἀφαιρεῖν οὕτως, ὡς καὶ αὔξειν μᾶλλον, ἢ ἐλαττοῦσθαι ἐξ αὐτῶν τὴν ἀγάπην, κἂν μεγάλην ἀπαιτῇ τὴν θυσίαν. Διὰ τοῦτο καὶ προσέχειν δεῖ μάλιστα τὴν συζυγίαν, ἵνα μηδέποτε δυσμενεῖς τε καὶ ἐπαχθεῖς πρὸς ἀλλήλους γίνωνται, μηδ' ἀντιλέγωσι πρὸς ἀλλήλους ἐξ ἰδιοτροπίας καὶ πεισμονῆς, καὶ μάλιστα, ὅταν τὸ ἕτερον τῆς συζυγίας μέλος εἰς ἀνάζεσιν πάθους τυγχάνῃ, μηδὲ λοιδορῶσι καὶ κακῶσι, καὶ ταῦτα ἐνώπιον τῶν ἰδίων τέκνων, ἢ οἰκετῶν, ἢ ἄλλων ἀνθρώπων· κἂν δὲ ἡγῆται δίκαιον δηλῶσαι τὴν ἑαυτοῦ πρὸς τὸ ὁμόζυγον λύπην, κατ' ἰδίαν μεταξὺ ἀμφοτέρων μόνων γινέσθω, εἰ μὴ τὸ πραχθὲν μείζονος αὐστηρότητος δέοιτο. Καὶ ἀεὶ μὲν ἐνεργὸν φαίνεσθαι δεῖ τὴν τῶν συζύγων ἀγάπην ἐν τῇ πρὸς ἀλλήλους διαγωγῇ, μάλιστα δὲ, ἐν τοῖς λυπηροῖς, ἃ συμβαίνουσιν, ἢ αὐτοῖς, ἢ τοῖς τέκνοις αὐτῶν, ἢ τοῖς κατ' οἶκον πράγμασι· τὸ γὰρ ἐν τοῖς δεινοῖς ἀλλήλους ἐγκαταλείπειν, χωρὶς παραμυθίας τε καὶ ἀντιλήψεως, ἢ καὶ λυπεῖν μᾶλλον ἀλλήλους δι' ἐλέγχων καὶ ἄλλων κακώσεων, τοῦτο οὐχ ἁπλῶς ἁμαρτία, ἀλλ' ἀπήνεια καὶ θηριωδία· τὸ γὰρ τοῦ Ἀποστόλου κλαίειν μετὰ κλαιόντων, καὶ χαίρειν μετὰ χαιρόντων (α) εἰ καὶ πᾶσι προσήκει, ἀλλὰ τοῖς συζύγοις φαίνεται καθῆκον ἴδιον, ὥστε συμμετέχειν ἀλλήλοις τῆς τε εὐτυχίας καὶ τῆς δυστυχίας, συναντιλαμβανομένους ἀλλήλων ἐν πάσῃ

(α) Ῥωμ. ιϛ'. 15.

Digitized by Google

ἀνάγκη, καὶ ἐν παντὶ κινδύνῳ. Τελευταῖον δὲ, τὸ θέλημα καὶ ἡ ἐντολὴ τοῦ Σωτῆρος ἡμῶν Θεοῦ ἐστιν, ἵνα ἡ τῶν συζύγων πίστις καὶ ἀγάπη ἀπομίμησις ᾖ καὶ φανέρωσις τῆς ἐκείνου πρὸς τὴν ἑαυτοῦ ἐκκλησίαν ἀγάπης, ὑπὲρ ἧς θανάτῳ παρέδωκεν ἑαυτόν. Τῆς τοιαύτης δ' ἀγάπης ἐστὶ καὶ τὸ μηδὲν ἀλλήλοις ἀποκρύπτειν, μηδὲ κατ' ἰδίαν γνώμην ὁρίζειν τὰ κατὰ τὴν οἰκίαν, χωρὶς τῆς τοῦ ἑτέρου γνώσεώς τε καὶ συναινέσεως· πολλάκις γὰρ ταῦτα διαφωνίας τε καὶ λύπης, καὶ ταραχῆς καὶ λοιδορίας, ἔστι δ' ὅτε, καὶ χωρισμοῦ ἀφορμὴ γίνεται.

§. 19. *Περὶ τῶν ἰδίως τῷ ἀνδρὶ καθηκόντων.*

Κατὰ τὸν θεῖον λόγον, ὁ ἀνήρ ἐστιν ἡ κεφαλὴ τῆς γυναικὸς, οὐ γάρ, φησιν, ἐκτίσθη ὁ ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλ' ἡ γυνὴ διὰ τὸν ἄνδρα (α)· τούτου ἕνεκα καὶ μειζόνων ἠξίωται χαρισμάτων πνευματικῶν, ὡς ἐπὶ τὸ πολὺ, εἰ μὴ τῆς τελειοποιήσεως αὐτῶν ὀλιγωρεῖ, καὶ προστάτης ἐστὶ καὶ χορηγὸς τῆς τροφῆς καὶ τῆς οἰκίας, ὡς μείζονος ῥώμης καὶ θάῤῥους λαχὼν παρὰ τῆς φύσεως, ἐξ οὗ καὶ δῆλον, ὅτι εἰς ἀξίωμα προώρισται ὁ ἀνὴρ κρεῖσσον τῆς γυναικὸς, καὶ διατηρεῖν αὐτὸ ὀφείλει διὰ παντὸς τῇ τῆς φρονήσεως ὑπεροχῇ, καὶ τῇ τῆς γνώμης σταθερότητι, καὶ τῇ τοῦ βίου χρηστότητι· τὸ γὰρ ἐν τούτοις ἀπολείπεσθαι τῆς γυναικὸς, ἀτιμία καὶ ὄνειδος αὐτῷ ἐστίν. Οὐ χρὴ δὲ τὴν ὑπεροχὴν δεσποτικῶς τε καὶ αὐστηρῶς δεικνύναι, ἀλλ' ἴσα καὶ ἑαυτῷ τὴν γυναῖκα τιμᾷν, καὶ ὡς πιστὸν τοῦ βίου συνοδίτην καὶ ἑταῖρον, καὶ ὡς παρὰ τοῦ Θεοῦ δεδομένην αὐτῷ βοηθὸν ἡγεῖσθαι, καὶ φιλεῖν ἀγάπῃ ἱερᾷ, καὶ φιλοφρόνως αὐτῇ

(α) Α'. Κορ. ιά. 9.

Digitized by Google

χρῆσθαι, καὶ τῷ θελήματι αὐτῆς συγκαταβαίνειν, ἐὰν μὴ ἄλογον καὶ ἀθέμιτον ᾖ, καὶ τῇ συμβουλῇ δὲ καὶ τῇ γνώμῃ αὐτῆς προσέχειν. Ἐὰν δὲ ἀνόητος ᾖ καὶ ἀδιάκριτος ἐν τοῖς θελήμασι καὶ ταῖς ἐπιθυμίαις, καὶ ἀπρεπῆ καὶ βλαβερὰ ζητῇ, οὐκ ἔτι καθῆκον τοῦ ἀνδρὸς ὑπακούειν αὐτῇ, ἀλλὰ μᾶλλον διδάσκειν καὶ διορθοῦν τὸ φρόνημα μετὰ τῆς δεούσης συγκαταβάσεως. Ἔτι δὲ καθήκει τῷ ἀνδρὶ, ὡς ἰσχυροτέρῳ καὶ συνετωτέρῳ, τῇ τῆς γυναικὸς ἀσθενείᾳ συγκαταβαίνοντα, καλύπτειν αὐτὴν τῷ τῆς ἀγάπης πέπλῳ, καὶ εὐθύνειν καὶ τὴν γυναῖκα, καὶ ὅλον τὸν οἶκον, καὶ ὑπὲρ αὐτῶν ἀμύνεσθαι, καὶ τἀναγκαῖα παρέχειν, καὶ τὴν οἰκονομίαν ἐπιτηρεῖν, ἵνα, καὶ ἀρθέντος αὐτοῦ ὁπωσδήποτε, ὑποστήριγμά τι καὶ βοήθεια αὐτοῖς ὑπολείπηται. Ταῦτα πάντα τοῦ ἀνδρὸς καθήκοντά εἰσιν ἴδια, ὧν ἐπιμελεῖσθαι χρή· οὐχ ὅτι μόνος καὶ καθ' ἑαυτὸν ἐνεργεῖν τὰ πάντα ὀφείλει, μηδὲν τῆς γυναικὸς καὶ τῶν ἄλλων τῶν κατ' οἶκον συντελούντων, ἀλλὰ τοὐναντίον πᾶσι τούτοις καθήκει προθύμως ὑπηρετεῖν καὶ συνεργεῖν τῷ οἰκοδεσπότῃ· αὐτοῦ μὲν γάρ ἐστιν, ὡς κεφαλῆς τοῦ οἴκου, τὸ κυριώτατον, ἤτοι ὁδηγεῖν αὐτοὺς ὡς ὑπηκόους, καὶ ἐνθαῤῥύνειν κρείττονι φρονήματι, καὶ συνέσει· τῶν δὲ ὑπακούειν καὶ προθύμως τὰ παραγγελλόμενα ἐπιτελεῖν. Τοῦτο δηλοῖ ἡ τῶν καθηκόντων διάνοια, τοῦτο προσήκει τῷ τοῦ ἀνδρὸς ἤθει, ὡς ἠθικῆς τοῦ οἴκου κεφαλῆς.

§. 20. *Περὶ τῶν ἰδίως τῇ γυναικὶ καθηκόντων.*

Ἡ γυνὴ, ὡς αὖθις ὁ θεῖος Ἀπόστολος διακελεύεται, ἔστω τῷ ἀνδρὶ, ὡς καὶ ἡ ἐκκλησία τῷ Χριστῷ κατά τε τὸ σέβας, καὶ τὴν τιμὴν, καὶ τὴν πρόθυμον ὑπακοὴν, καὶ κατὰ τὴν θερμὴν προσκόλλησιν καὶ ἀγάπην. Καὶ

Digitized by Google

τὸ μὲν προθύμως κατὰ πάντα τὰ δίκαια καὶ εὔλογα ὑπακούειν τῷ ἀνδρὶ τὴν γυναῖκα, ὡς κεφαλὴν αὐτῆς αὐτὸν καὶ προϊστάμενον γινώσκουσάν τε καὶ τιμῶσαν, ἀπαραιτήτως ἀναγκαῖον ὁμολογεῖται· χωρὶς γὰρ ὑπακοῆς, οὐδεμία οὔτε τάξις, οὔτε εἰρήνη ἂν εἴη ἐν τῇ οἰκίᾳ· τὸ δὲ θερμῶς ἀγαπᾷν καὶ προσκολλᾶσθαι αὐτῷ ἀνακουφίζει τὰ βάρη, καὶ γλυκαίνει τὰς ἀηδίας καὶ πικρίας τοῦ βίου· καὶ ἔξεστι μὲν αὐτῇ, ἰδούσῃ μωμητόν τι ἐν τῷ ἀνδρὶ παραινέσαι, καὶ μέμψασθαι, ἀεὶ δὲ μετὰ διακρίσεως, καὶ οἱονεὶ μετὰ παρακλήσεως γινέσθω· γνωστὸν γὰρ, κατὰ τὴν μαρτυρίαν καὶ τῆς ἁγίας Γραφῆς, ὅτι μεῖζον ἀγαθὸν τῇ οἰκίᾳ προσγίνεται, καὶ πλείω τῶν ἐλαττωμάτων διορθοῦνται διὰ τῆς κατὰ φιλίαν παραινέσεως, καὶ τῆς τοῦ παρατηρηθέντος ἐλαττώματος ἀποσιωπήσεως, καὶ τῆς ὑπενδόσεως καὶ παραβλέψεως, ἢ διὰ τῆς ἔριδος καὶ φιλονεικίας καὶ τῆς πεισμονῆς καὶ τῆς διαμάχης. Ἔτι δὲ καὶ τὸ μὴ ἄκλητον ἐπεμβαίνειν τοῖς τῷ ἀνδρὶ ἰδίοις ἔργοις καὶ πράγμασιν, ἀλλὰ τὰ ἑαυτῆς ἐπιμελέστερον πράττειν, μηδὲ δαπανᾷν τι κρύφα τοῦ ἀνδρὸς, μήτε ἐκ τῆς κοινῆς, μήτε ἐκ τῆς τῷ ἀνδρὶ ἰδίας, ἥκιστα δὲ ἐκ τῆς ἐπιτετραμμένης αὐτῇ πρὸς οἰκονομίαν, περιουσίας, φεύγειν δὲ καὶ πᾶσαν ὑπεραίρουσαν τὰ κατ' αὐτοὺς πολυτέλειαν, καὶ τὰς ἀσχολίας τὰς πρὸς παιδιὰν, ἢ διάχυσιν μόνην οὔσας, μηδὲν δὲ τῇ τῆς οἰκίας εὐδαιμονίᾳ συμβαλλομένας, καὶ τηρεῖν ἐν πάσῃ τῇ διαγωγῇ εὐσχημοσύνην καὶ καθαριότητα, τὴν τῷ γένει καὶ τῇ καταστάσει αὐτῆς μάλιστα πρεπήκουσαν, καὶ τὸ οἰκουρεῖν καὶ ἐπιμελεῖσθαι ἐν τῇ οἰκίᾳ τῶν τῆς χριστιανικῆς ἀγάπης ἔργων, καὶ τύπον γίνεσθαι τῶν οἰκείων ἐν τῇ εὐσεβείᾳ καὶ τῇ φιλοπονίᾳ καὶ τῷ θείῳ φόβῳ, ὁδηγοῦσαν ἐν καιρῷ καὶ ἐθίζουσαν ἐν τούτοις τὰ ἑαυτῆς τέκνα, ταῦτα πάντα ἴδια ὁμο-

Digitized by Google

λογοῦνται τῇ γυναικὶ καθήκοντα. Κατὰ ταῦτα δὲ τὰ ἀξιώματα καὶ τὰ καθήκοντα βιούντων τοῦ τε ἀνδρὸς καὶ τῆς γυναικὸς, τότε καὶ ὁ οἶκος καὶ τὰ τέκνα αὐτῶν ἔσονται οἷα δεῖ, κατάγε τὴν αὐτῶν τάξιν τε καὶ κατάστασιν. Πολλῶν δὲ ἁμαρτημάτων καὶ παραβάσεων τῶν καθηκόντων ὁτὲ μὲν ὑπὸ τοῦ ἀνδρὸς, ὁτὲ δὲ ὑπὸ τῆς γυναικὸς γινομένων, ἐν τούτῳ μὲν δι' ἔλλειψιν συνέσεως, ἐν ἐκείνῳ δὲ γνώμης ἀγαθῆς, πολλὰ τῶν εἰρημένων παραγγελμάτων πολλάκις ἐν τῇ πράξει μεταβάλλονται καὶ μεταποιοῦνται ἀναγκαίως, ὥστε τὸ ἕτερον τῆς συζυγίας μέλος διὰ τὴν τοῦ ἑτέρου ἀναξιότητα, ἢ ἀμέλειαν, τῶν μὴ προσηκόντων ἀντιποιεῖται δικαιωμάτων, ἢ τὰ μὴ ἐπικείμενα αὐτῷ καθήκοντα ἀναδέχεται, ἵνα μὴ ἡ εἰρήνη διαταραχθῇ, καὶ ὁ οἶκος εἰς ὄλεθρον καὶ ἀφανισμὸν ἔλθῃ.

§. 21. *Κανόνες εἰς ἐκλογὴν συζύγου.*

Ἐν ταῖς τοῦ γάμου συζυγίαις οὐ μόνον αὐτοῖς τοῖς συζευγνυμένοις, ἀλλὰ καὶ τοῖς αὐτῶν τέκνοις, καὶ τῇ πολιτείᾳ καὶ πάσῃ τῇ ἀνθρωπότητι ὡς πλεῖστα λυσιτελεῖ τὸ ὀρθὴν καὶ δικαίαν καὶ προσήκουσαν γίνεσθαι τὴν αἵρεσιν. Ὅπως οὖν τοιαύτη γίνηται, πολλῆς δεῖται συνέσεως καὶ προνοίας, καὶ κατά τινας ἀνωμολογημένους ὡς ὀρθοὺς κανόνας τοὺς ἑπομένους γίνεσθαι· τὸ γὰρ ἐν τοῖς τοιούτοις αὐτοσχεδιάζειν, καὶ τῇ τύχῃ, ἢ τῇ ἁπλῇ κλίσει ἔπεσθαι ἐπισφαλὲς μάλιστα, ὡς καὶ ἐπιτυχεῖν, ἀλλὰ καὶ ἀποτυχεῖν ἐπίσης δυνατόν. Οἱ δὲ κανόνες τούτου εἰσὶ, Α', Μὴ πρὸ ὥρας, μηδὲ πρὶν τά τε δικαιώματα καὶ τὰ καθήκοντα τοῦ γάμου γνῶναι καλῶς, εἰς κοινωνίαν αὐτοῦ ἔρχεσθαι. Β', Ἀναλογίσασθαι πρότερον τὸ βάρος, καὶ ἐπιστῆσαι σπουδαίως τὸν νοῦν, εἰ ἱκανὸς βαστάσαι. Γ', Τὸ ἐπὶ γνώμῃ ἀγαθῇ καὶ

Digitized by Google

ἀρετῇ ἀνυποκρίτῳ ἐγνωσμένον, καὶ πρὸς τὴν ἑαυτοῦ τάξιν καὶ τὸ ἔργον προσῆκον μᾶλλον αἱρεῖσθαι. Δ', Ἐν τῇ αἱρέσει μέτρον τηρεῖν τὸ μεταξὺ ἐλαφρίας, καὶ τῆς ἄγαν μικρολόγου παρατηρήσεως. Οὐδέ ποτε δὲ μεγάλα προσδοκᾷν· ἔστι γὰρ καὶ μένει ἀεὶ ἄνθρωπος τὸ τῆς συζυγίας πρόσωπον, καὶ οὐδεὶς ὑπὸ τὸν ἥλιον ἐλλείψεως χωρὶς εὑρεθήσεται, ἀλλ' ἐν τῷ μᾶλλον, ἢ ἧττον ἀγαθῷ ἡ διαφορὰ ὑφίσταται. Ε', Μηδέποτε πράγματι οὕτω σπουδαίῳ ἀβούλως ἐπιχειρεῖν, ἀλλὰ συμβουλεύεσθαι πιστοῖς καὶ χρηστοῖς ἀνδράσι, τοῖς καλῶς γινώσκουσι καὶ σὲ αὐτὸν, καὶ ὃ διανοεῖσαι ὁμόζυγον ἐλέσθαι, καὶ πάντα τὰ κατὰ σὲ, καὶ συμβουλεύειν σοι τὰ βέλτιστα αἱρουμένοις. ς', Ἐν τῇ ἐκλογῇ φυλάξασθαι ἀπὸ τῆς ὀρέξεως τῶν ἐπιθυμιῶν, καὶ ἀπὸ τῆς ψευδοῦς ἐπιφανείας, ἥτις ταχέως παρέρχεται. « Ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ, φοβουμένη κύριον, αὕτη ὑμνηθήσεται » (α). Ὅλως δὲ ἐν τῇ συζύγου αἱρέσει τὴν ἐφ' ἡσυχίας σκέψιν μᾶλλον, ἢ τὴν φαντασίαν τε καὶ τὴν φιληδονίαν ἐνεργὸν εἶναι δεῖ. Ἵνα δὲ ὁ γάμος κύριός τε καὶ τέλειος ᾖ, ἀπαιτεῖται ά, μηδὲν τῶν τοῦ γάμου κωλυμάτων παρεῖναι· β', ἡ τῶν γονέων, καὶ ἐν τοῖς ὀρφανοῖς καὶ ἀνηλίκοις ἡ τῶν κηδεμόνων αὐτῶν συναίνεσις· γ', ἄδεια παρὰ τῆς ἐκκλησιαστικῆς ἀρχῆς· δ', ἡ ἱερατικὴ εὐλογία. Τῶν δὲ τὸν γάμον διαλυόντων κυριώτατά εἰσι ά, ἡ λαγνεία· β', ἡ τῆς κοινῆς περιουσίας ἄλογος διασπάθησις· γ', ἡ πρὸς τὴν μέθην, ἢ ἄλλην τινὰ τῶν φαύλων ἕξεων ῥοπή· δ', τὸ ἰσχυρόγνωμον, καὶ τὸ σκαιὸν, καὶ τὸ ψεῦδος, καὶ ἡ δυσπιστία, καὶ ἡ ζηλοτυπία· ε, ἡ φανερὰ καὶ ἐλευθέρα συνδιαγωγὴ ἑτερογενέσι πρωσώποις, καὶ αἱ μυστικαὶ συνεννοήσεις καὶ συν-

(α) Παροιμ. κθ'. 30.

Digitized by Google

ναντήσεις κ.τ.λ. πολλάκις δὲ καὶ δυσμενῶν ἀνθρώπων φλυαρίαι καὶ συκοφαντίαι· πάντα γὰρ ταῦτα ἀφορμὴν πολλάκις παρέχουσιν εἰς διαφωνίας καὶ ἔριδας, καὶ ἀποστροφὴν πρὸς ἀλλήλους, καὶ ψυχρότητα, καὶ μῖσος καὶ πικρίαν καὶ κάκωσιν, καὶ τὴν τοῦ γάμου εὐδαιμονίαν ἀφανίζουσι, καὶ ταῦτα, ὅταν ἔνθεν μὲν ἡ ἀγαθὴ προαίρεσις τοῦ ἀνελεῖν τὰ τοιαῦτα, ἐκεῖθεν δὲ ἡ διάκρισις καὶ ἡ συγκατάβασις καὶ ἡ ὑπομονὴ ἐλλείπωσι.

§. 22. *Περὶ τῆς διαζεύξεως.*

Τὸν κατὰ νόμους τελεσθέντα γάμον ἀχώριστον δεῖ καὶ ἀδιάζευκτον διὰ τέλους μένειν κατὰ τὸν κανόνα· « ἃ γάρ, φησιν, ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω » (α). Ἀλλ' ὅμως συμβαίνει ἐνίοτε τὸν χωρισμὸν οὕτως ἀναγκαῖον εἶναι, ὥστε χωρὶς αὐτοῦ ἀμφότερα τὰ μέλη τῆς συζυγίας εἰς ὄλεθρον καὶ ἀπώλειαν περιστῆναι κινδυνεύουσιν ὑπὸ τῆς διαφωνίας. Ὅταν γὰρ ἅπαξ ὁθενδήποτε εἰς τοῦτο χωρήσωσιν, οὐδὲν ἕτερον ὑπολείπεται, ἢ καρτερία καὶ ὑπομονὴ ἰώβειος, ἢ χωρισμὸς τέλειος ἀπ' ἀλλήλων· καὶ τοῦτο ἄρα ἐστὶ τὸ λυπηρότατον ἀλέξημα τῆς ἐν τῷ γάμῳ ἐπιγενομένης διαφωνίας, πλὴν ἀλλ' ὅμως οὐκ ἔξεστι χωρεῖν ἐπ' αὐτό, εἰ μὴ ἐν τῇ ἐσχάτῃ ἀνάγκῃ, καὶ ἐπεὶ παντὶ τρόπῳ πρότερον πάντα τὰ ἄλλα πρὸς τὴν ἀπρκατάστασιν τῆς συμφωνίας φροῦδα καὶ ἀτελεσφόρητα ἐδείχθη. Διττῶς δὲ γένοιτ' ἂν ὁ χωρισμός, ἢ πρὸς καιρὸν, ἢ διὰ παντός· τὸ μὲν, ἵνα πείρα γένηται, μὴ κατὰ μικρὸν, τῆς διαφωνίας καὶ τῆς ὀργῆς λωφησάσης, πρὸς τὴν ἕνωσιν αὖθις διατεθῶσι· καὶ οὗτος ἀπὸ κλίνης καὶ τραπέζης κα-

(α) Ματθ. ιθ'. 6.

Digitized by Google

λεῖται χωρισμός· ὁ δὲ διὰ παντὸς, ἐπειδὰν τελεία ἡ διάζευξις, καὶ τῆς κατὰ τὸν γάμον σχέσεως ἀναίρεσίς τε καὶ διάλυσις διὰ παντὸς τοῦ βίου. Πότε δὲ, καὶ ὁποτέρῳ τούτων χρῆσθαι δέον, ὑπὸ τοῦ κανονικοῦ δικαίου διδάσκεται. Οὐδέποτε δὲ ἐπιχειρεῖν ἔξεστι τοῖς συζύγοις χωρισμῷ ἀφ' ἑαυτῶν, χωρὶς τῆς προσηκούσης ἀρχῆς, ἥτις ἐπιμελῶς πρότερον ἐξέτασιν ποιεῖται, πρὶν ἢ πρᾶξη τι ὡρισμένον περὶ αὐτῆς, ὡς γὰρ ἱερὰν τὴν τοῦ γάμου σχέσιν, καὶ ἀσφαλῆ δεῖ εἶναι, καὶ τῇ ἑκάστου γνώμῃ μὴ ἀφίεσθαι. Οὐδ' αὐτὴ δὲ ἡ ἀρχὴ, μὴ ζητηθείσης τῆς διαζεύξεως ὑπὸ τοῦ ἑτέρου, ἢ καὶ ὑπ' ἀμφοτέρων τῶν μερῶν, διαζεῦξαί τινα δύναται. Εἴ τις οὖν οἴεται δικαιοῦσθαι τὸν χωρισμὸν αἰτεῖν, ἀπὸ τῆς ἀρχῆς αἰτείτω μετ' ἐπιεικείας, καὶ συγκαταβάσεως, καὶ μὴ ἐν τῇ ὁρμῇ τῆς ὀργῆς, ἵνα μὴ κίνδυνον τῷ ἀνθρώπῳ, ἢ τῇ δικαιοσύνῃ καὶ τῇ χρηστότητι ἐπαγάγῃ.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

§. 23. *Περὶ τῶν ἀμοιβαίων καθηκόντων ἀ, τῶν γονέων πρὸς τὰ τέκνα, β', καὶ τῶν τέκνων πρὸς τοὺς γονεῖς.*

Τοῖς γονεῦσιν, ὡς κοινῇ ἀμφοτέρων γνώμῃ εἰς τὸ εἶναι τὰ τέκνα παράγουσι, καθῆκον αὐτοῖς καὶ ἐπιμελεῖσθαι, ὅπως ἡ δοθεῖσα αὐτοῖς ὕπαρξις ἀληθὴς γένηται εὐεργεσία, καὶ μὴ ἄχθος λυπηρόν· οὐ μόνον δὲ καθῆκον, ἀλλὰ καὶ δίκαιον καὶ φιλάνθρωπον. Ἀναγγέλλει δὲ τοῦτο ἡ ἄπλαστος φυσικὴ ὁρμὴ, ἧς τὴν φωνὴν καὶ οἱ ἄγριοι συνίασιν· ἀντιλαμβάνονται γὰρ κἀκεῖνοι τῶν γεννωμένων, καὶ τρυφερῶς περιθάλπουσι καὶ τρέφουσι, μέχρις οὗ ἀντιλήψεως καὶ τροφῆς δέονται, πόσῳ δὴ μᾶλλον προσ-

Digitized by Google

ήκει τοῖς ἐν πολιτείᾳ καὶ ἡμερότητι βίου ζῶσι προσέχειν ταύτῃ καὶ ἀκολουθεῖν, ἐν οἷς καὶ ὑπὸ τοῦ λόγου ὑποστηρίζεταί τε καὶ κανονίζεται; Καὶ ἔγνωσαν μὲν πάντες ἄνθρωποι ἀπ' ἀρχῆς καὶ ὡμολόγησαν τὸ καθῆκον τοῦτο, ἀλλὰ καὶ ὁ θεῖος λόγος τρανώτατα τὴν ἐκτέλεσιν αὐτοῦ διακελεύεται, καὶ ἡ φυσικὴ τῶν παίδων ἀσθένεια τὴν ἀνάγκην αὐτοῦ ἀποδείκνυσι· πάντων γὰρ μάλιστα ἐν ἀρχῇ τῆς ζωῆς δέονται τὰ τοῦ ἀνθρώπου τέκνα τῆς παρὰ τῶν ἄλλων θεραπείας καὶ ἀντιλήψεως, ὡς πάντων ἀσθενέστερα τῶν κτισμάτων βοηθεῖν ἑαυτοῖς, καὶ πλείονα χρόνον ἐν αὐτῇ διαμένοντα. Ὡς τοιαῦτα οὖν τῆς ἀνθρωπότητος μέλη, δικαίως τε καὶ εὐλόγως πάνυ τῆς παρὰ τῶν ἄλλων βοηθείας τε καὶ ἀντιλήψεως τῇ ἀκουσίᾳ αὐτῶν ἀσθενείᾳ ἀντιποιοῦνται, καὶ οὐδενὶ ἄλλῳ τὸ καθῆκον ἐπίκειται τῆς ἀντιποιήσεως ταύτης ἐπακούειν καὶ τὸ ἱκανὸν ποιεῖν, ἢ τοῖς γονεῦσιν αὐτοῖς τοῖς τὸ πρῶτον τῆς ζωῆς σπέρμα· οἰκείᾳ βουλήσει καταθεμένοις. Καὶ τὸ μὲν καθῆκον παρὰ πάντων γινώσκεται καὶ ὁμολογεῖται, ζητεῖται δὲ μόνον ἡ περίληψις αὐτοῦ. Πρὸς τοῦτο τοίνυν φαμὲν, ὅτι ὀφείλεται τοῖς τέκνοις ἀ, ἡ συντήρησις· β', ἡ τροφή· γ', ὁ ἱματισμός· δ', ἡ ἀναγκαία θεραπεία· ε, ἡ τοῦ ὅλου διάπλασίς τε καὶ διαμόρφωσις, ἵνα καὶ σῶμα καὶ πνεῦμα, ὅπερ δεῖ καὶ ὥρισται γενέσθαι, ἀναδειχθῶσιν, ἢ συντομώτερον φάναι, ὀφείλεται τοῖς τέκνοις ὑπὸ τῶν γονέων ἡ ἀνατροφή· αὕτη γὰρ πάντων τῶν εἰρημένων περιληπτική· καὶ ταύτης δὲ τὸ μὲν φυσικὸν, τὸ δὲ ἠθικὸν, εἴποι δ' ἄν τις καὶ πολιτικὸν καὶ θρησκευτικόν· τέλος δ' αὐτῇ τὸ τῇ ἀνθρωπότητι μέλη χρήσιμα περιποιῆσαι, καὶ τὸ ἐν αὐτῇ θεῖον ἀφομοίωμα ἀνακαινίζειν. Καὶ ὁ καιρὸς δ' αὐτῆς, κατὰ τὴν τῆς παιδαγωγίας ἐπιστήμην, διαιρεῖται, ὅπως κατὰ τὴν χρείαν τῶν ἀνατρεφομένων, ὅτε μὲν τοῦ φυσικοῦ

Digitized by Google

μᾶλλον, ὁτὲ δὲ καὶ τοῦ ἠθικοῦ, ἔτι δὲ καὶ τοῦ πολιτικοῦ καὶ θρησκευτικοῦ ἐπιμέλωνται. Καὶ πρῶτον μὲν καιρὸν τῆς ἀνατροφῆς λογίζονται, τὸν ἀπὸ τῆς πρώτης αὐτῶν ὑποστάσεως, μέχρις οὗ οἱ παῖδες λαλεῖν ἄρξωνται. Ἐν τούτῳ δὲ τῷ χρόνῳ καθῆκόν ἐστι τῶν γονέων ἁ, προσέχειν καὶ φυλάττεσθαι ἀπὸ πάντων, ὅσα ἂν αὐτοὺς ἀνεπιτηδείους καταστῆσαι δύναιντο εἰς τὴν γέννησιν βρεφῶν ὑγιῶν τε καὶ ῥωμαλαίων καὶ εὖ πεπλασμένων· τοιαῦτα δ' εἰσὶν αἱ σφοδραὶ παθήσεις καὶ ἐρεθισμοὶ τῆς ψυχῆς ὑπὸ θυμοῦ καὶ ὀργῆς καὶ λύπης καὶ τῶν τοιούτων, αἱ πολυφαγίαι καὶ πολυποσίαι, ἡ ἐκ τῆς περὶ τὰ ἀφροδίσια ἀκρασίας ἐξάντλησις τῶν κρατίστων τε καὶ εὐγενεστάτων χυμῶν καὶ δυνάμεων, τὰ δυστοκίαν ἐμποιοῦντα, καὶ ἐν τῷ τόκῳ, ἢ μετὰ τὸν τόκον, κίνδυνον τῇ ὑγιείᾳ ἢ τῇ ζωῇ ἐπάγοντα· β', ἐπιμελεῖσθαι πάντων τῶν πρὸς τὴν χρείαν καὶ τὴν ἀνάπαυσιν τῶν βρεφῶν ἀναγκαίων, οἷον κοιτίδος καθαρᾶς, τροφῆς ὑγιεινῆς τε καὶ προσφόρου, θερμάνσεως κ.τ.λ. περὶ τούτων διδάσκει εἰς πλάτος ἡ παιδαγωγία. Δεύτερος δὲ καιρὸς ὁρίζεται, ἀφ' οὗ ἂν οἱ παῖδες ἄρξωνται νοῦν ἴσχειν, καὶ τῷ λόγῳ χρῆσθαι, μέχρις ἂν εἰς τελείαν καὶ ἀνεξάρτητον χρῆσιν αὐτοῦ ἀφίκωνται. Κατὰ δὲ τὸν καιρὸν τοῦτον σύμμικτον εἶναι δεῖ τὴν ἀνατροφὴν, ἤτοι φυσικὴν καὶ ἠθικὴν, καὶ νῦν μὲν ταύτης, νῦν δ' ἐκείνης μᾶλλον ἐπιμελητέον κατὰ τὴν χρείαν. Οὐ καλὸν δὲ ῥᾳδίως χερσὶν ἀλλοτρίαις ἐπιτρέπειν τὰ τέκνα, ἀλλ' αὐτοὺς, εἰ δυνατὸν, ὁδηγεῖν καὶ μορφοῦν· εἰ δὲ μὴ, προνοεῖν γοῦν ἐπιμελῶς περὶ τοῦ σπουδαιοτάτου τούτου πράγματος· ἐκ γὰρ τῆς κατὰ τὸν χρόνον τοῦτον ὁδηγίας τε καὶ διευθύνσεως, ἥ τε πρόσκαιρος καὶ ἡ αἰώνιος αὐτῶν εὐδαιμονία ἤρτηται· ἐν ἀρχῇ γὰρ ἅμοιρα ὅλως εἰσὶ τὰ τέκνα μορφώσεως καὶ βίου ἀνθρωπίνου, καὶ οὐδένα κανόνα ἔχουσι φυλάττειν, οὐδὲ κίνδυνον εἴδασι φεύγειν, ἀλλὰ τῇ

Digitized by Google

συνετῇ ὁδηγίᾳ, καὶ τῇ διηνεκεῖ ἐπιστασίᾳ, καὶ διορθώσει κατὰ μικρὸν, εἰς ὃ προώρισται, προβαίνει. Τίς δ' ἂν ἄλλος βουληθείη μᾶλλον, ἢ δυνηθείη παρασχεῖν ταῦτα πάντα τοῖς παισὶν, ἢ οἱ γονεῖς αὐτῶν; τοῖς γὰρ ἀλλοτρίοις πολλάκις μὲν ἐλλείπει ἡ ἱκανότης καὶ ἡ ἀναγκαία γνῶσις, πολλάκις δὲ καὶ ἡ ἀγαθὴ θέλησις· διὸ καὶ οὐ χωρὶς ἀνάγκης ἐπιτρέπειν δεῖ ἄλλοις τὴν τῶν ἰδίων τέκνων ἀγωγὴν, οὐδ' οὕτω παντελῶς, ὥστε μὴ καὶ αὐτοὺς συνεργεῖν τι.

§. 24. *Συνέχεια τοῦ αὐτοῦ.*

Ἐν μὲν οὖν τούτῳ τῷ χρόνῳ προσέχειν δεῖ μάλιστα, ἵνα μακρὰν τῶν παίδων ἀπελαύνωσι πᾶν τὸ τὴν ὑγιείαν, ἢ τὴν ζωὴν, ἢ τὸ σῶμα αὐτῶν βλάψαι δυνάμενον, παρέχωσι δὲ τὰ πρὸς ὑγιείαν, καὶ ἄσκησιν, καὶ εὐκαμψίαν τοῦ σώματος ἐπιτήδεια, καὶ τὰ πᾶσαν αὐτοῦ τὴν οὐσίαν εἰς ἐνέργειαν καὶ ἐπιμέλειαν κινοῦντα. καὶ ὅλως ἐν τῇ ἀγωγῇ ἀεὶ δεῖ τὴν μέσην βαδίζειν, μήτε πρὸς τὴν μικρολόγον στενοχωρίαν ἀποκλίνοντας, μήτε πρὸς τὴν τελείαν ἀμεριμνίαν, καὶ μήτε πρὸς τὴν ἄγαν μαλθακότητα, μήτε πρὸς τὴν σπαρτιατικὴν αὐστηρότητα, ἀλλ' ἀνάλογον ταῖς δυνάμεσι, καὶ τῇ ἡλικίᾳ, καὶ τοῖς πνευματικοῖς χαρίσμασι, καὶ σταθερὰν, καὶ ὁμαλὴν, καὶ κανόσι διδοκιμασμένοις ἐπερειδομένην εἶναι δεῖ τὴν δίαιταν καὶ ἀγωγήν. Ἅμα δὲ δεῖ καὶ, τῆς ἡλικίας συγχωρούσης, διδάσκεσθαι τοὺς παῖδας οὐ μόνον τὰ τῇ ὑγιείᾳ τοῦ σώματος καὶ τῇ προσκαίρῳ αὐτῶν εὐτυχίᾳ ἐπιτήδεια, ἀλλὰ καὶ τὰ πρὸς τὴν κρείττονα κλῆσιν αὐτῶν φέροντα. Πρὸς ταῦτα πάντα συνεχῶς δεῖ τρέπειν τὴν προσοχὴν αὐτῶν, καὶ ἐν καιρῷ ἐθίζειν αὐτὰ καὶ φρονεῖν καὶ πράττειν κατὰ κανόνας, εἰ καὶ κατ' ἀρχὰς, οὐ συνίασι τὸν λόγον, δι' ὃν οὕτω δεῖ φρονεῖν καὶ πράττειν· κατὰ μικρὸν γὰρ,

Digitized by Google

ἀναπτυσσομένου τοῦ λογικοῦ, τὸ μηχανικῶς πράττειν παρέρχεται, ἡ δὲ περὶ τὸ λογίζεσθαι καὶ πράττειν εὐθύτης, ἔργον οὖσα πρότερον τυφλῆς συνηθείας, τῆς κατὰ γνώμην καὶ προαίρεσιν ἐνεργείας ὕστερον γίνεται. Καὶ ἐθίζειν δὲ χρὴ τοὺς παῖδας ἐν ἀρχῇ ὀρθῶς χρῆσθαι ταῖς εὐγενεστέραις τῶν αἰσθήσεων, οἷον τῇ ὁράσει, τῇ ἀκοῇ, καὶ τῇ γεύσει· οὕτω γὰρ ἡ ἀντίληψις καὶ ἡ προσοχὴ καὶ ἡ διάκρισις ὀξύνεται καὶ ἀκονᾶται· καὶ τούτων τῇ ἀσκήσει ἀποχρώντως ἠκονημένων, καὶ τὰς τῶν πραγμάτων ὁμοιότητας καὶ διαφορὰς διακρίνειν, τῶν δὲ καθ' ἑκάστην ὁρωμένων, ἢ ἀκουομένων, καὶ τῶν λεγομένων, ἢ πραττομένων, κατὰ μικρὸν ὀρθὴν τὴν γνῶσιν κτᾶσθαι, ὅπερ δὴ μεγάλην ἔχει ῥοπὴν πρὸς ὅλον τὸν βίον καὶ πρὸς τὴν τοῦ πνεύματος ἀνάπτυξιν καὶ τὴν τάσιν, πρὸς ἣν ὕστερον τείνει. Ἔτι δὲ δεῖ ἐν καιρῷ καὶ εἰς ἑαυτὰ καὶ εἰς τὴν ἰδίαν αὐτῶν αὐτενέργειαν τρέπειν τὴν τῶν παίδων προσοχὴν, ὥστε μανθάνειν κατὰ μικρὸν καὶ λέγειν καὶ πράττειν κατά τινας δεδοκιμασμένας καὶ ἀσφαλεῖς ἀρχάς· καὶ ἀνακρίνειν δ' αὐτοὺς περὶ τῶν λόγων, οὓς προφέρουσι, καὶ περὶ τῶν πράξεων, ἃς πράττουσιν, οἵαι δήποτ' ἂν ὦσιν, ἵνα γνῷ τις, εἰ ἀποχρώντως τὰ λεγόμενα καὶ πραττόμενα γινώσκουσιν, ἢ οὔ, καὶ ποῖα ταῦτα, ἵνα καὶ διορθοῦν ἔχῃ τὰ διορθώσεως δεόμενα, καὶ ὁδηγεῖν αὐτοὺς εἰς τὴν φρόνησιν καὶ τὴν παραδοχὴν ὑγιεστέρων ἀξιωμάτων· οὕτω γὰρ καὶ τὸ ὑγιὲς φρόνημα αὐτῶν ὑπὲρ τῆς ἀληθείας καὶ κατὰ τοῦ ψεύδους, ὑπὲρ τοῦ δικαίου καὶ κατὰ τοῦ ἀδίκου, ὑπὲρ τοῦ εὐπρεποῦς, καὶ κατὰ τοῦ ἀπρεποῦς, ὑπὲρ τῆς ἀρετῆς καὶ τῆς εὐγενείας τοῦ ἤθους ἐγείρεται καὶ κρατύνεται. Ἀσκεῖσθαι τοίνυν δεῖ, καὶ μάλιστα καθ' ὅσον εἰς τὴν τοῦ λογικοῦ χρῆσιν προβαίνουσιν, ἐν τῇ ὀρθῇ πάντων τούτων τιμῇ καὶ διακρίσει· χωρὶς γὰρ τῆς τοιαύτης ἀσκήσεως, οὐδ' ἑαυτοῖς ἐν τῷ βίῳ

Digitized by Google

ἔσονται χρήσιμοι, ὅτι ἡ γνῶσις μόνη φυσιοῖ κατὰ τὸν μακάριον Παῦλον.

§. 25. Ἔτι δὲ πρὸς τούτοις καὶ διδάσκειν αὐτοὺς χρὴ τοὺς λόγους δι' οὓς οὕτω καὶ οὐκ ἄλλως δεῖ καὶ φρονεῖν καὶ πράττειν, ὅτι οὐ τὸ πρόσκαιρον συμφέρον, οὐδὲ τὸ σωματικὸν ὄφελος, οὐδὲ τὴν ἐφετὴν ἡμῖν ἡδονὴν εἶναι δεῖ τὸ κινοῦν ἡμᾶς ἀφορᾶν πρὸς τὴν ἀλήθειαν, καὶ τὸ δίκαιον, καὶ τὸ πρέπον ἐν τῷ διανοεῖσθαι καὶ λέγειν καὶ πράττειν, ἀλλὰ τὸ τῆς ἡμετέρας λογικῆς φύσεως ἀξίωμα, καὶ ὁ ὕψιστος ἡμῶν προορισμὸς, εἰς ὃν δεῖ ἐπείγεσθαι πάντας ἡμᾶς· καὶ ὅτι ἐν πάσῃ ἀρετῇ ἐξομοιοῦσθαι δεῖ ἐπὶ μᾶλλον καὶ μᾶλλον τῷ πατρὶ ἡμῶν τῷ ἐν τοῖς οὐρανοῖς, ὁ δ' ἀπολειπόμενος τούτου, καὶ μὴ προβαίνων καθ' ἑκάστην πρὸς τὸ τέρμα, μεγίστην ἑαυτὸν ζημιοῖ ζημίαν εἰς τὸν αἰῶνα. Ταῦτά εἰσι τὰ πρὸς τὴν δικαιοσύνην καὶ τὴν ἠθικότητα ἀληθῆ καὶ ἀσφαλῆ ἀξιώματα, ἐφ' οἷς οὐδέποτέ τις ἐρυθριάσει, ἀλλ' ἀεὶ καὶ πανταχοῦ φανεροῦν καὶ ὁμολογεῖν αὐτὰ δύναται, ὡς διατηροῦντα πανταχοῦ τὴν ἰσχὺν καὶ σταθερότητα αὐτῶν, αἰώνια καὶ ἀναλλοίωτα ὄντα, καθάπερ καὶ ἡ τοῦ Θεοῦ οὐσία καὶ ἡ ἀνθρωπίνη φύσις, ἐξ ὧν λαμβάνονται. Ἀναγκαῖον δὲ τῇ χρηστῇ καὶ ἠθικῇ τῶν παίδων ἀγωγῇ συνεῖναι ἀχώριστον καὶ τὴν θρησκευτικήν, ὡς ἐκ τῶν εἰρημένων δηλοῦται· χρηστότης γὰρ καὶ ἠθικότης, χωρὶς θρησκείας, οὐδέν εἰσιν, ἢ λέξεις κεναὶ χωρὶς ἐννοίας τε καὶ σημασίας. Ἐπεὶ δὲ ὁ Θεός ἐστιν ἀεὶ καὶ μένει τῆς ἀνθρωπίνης γνώσεώς τε καὶ ἀγάπης κυριωτάτη ὑπόθεσις, ἀναγκαῖον καὶ τοὺς παῖδας ἐν καιρῷ μανθάνειν, κατὰ τὸ δυνατὸν, γινώσκειν τὸν Θεὸν, καὶ οἰκειοῦσθαι αὐτῷ, ὡς πανσόφῳ καὶ παναγάθῳ πατρὶ, τὰ πάντα γινώσκοντι, καὶ περὶ πάντων προνοοῦντι, καὶ πανταχοῦ τὸ ἄριστον διατάττοντι· ὑπὸ γὰρ τὴν εἰκόνα ταύτην ῥᾷστά τε καὶ ἀσμένως ἀντιλαμβάνονται καὶ οἱ παῖδες τῆς τοῦ Θεοῦ

Digitized by Google

ἰδέας, καὶ κατὰ πᾶσαν πεῖραν, καλλίστην τε καὶ σωτήριον ἔχει ροπὴν αὕτη εἰς πάντας ἀνθρώπους, ὡς ἐμποιοῦσα ἀ, σέβας καὶ φόβον υἱοῦ πρὸς αὐτόν· β', πεποίθησιν σταθεράν· γ', ἀγάπην ζωηρὰν καὶ προσκόλλησιν ἐνδόμυχον εἰς αὐτόν, καὶ ὅλως ὅλον τὸ τοῦ ἀνθρώπου φρόνημα μέγα καὶ κράτιστον ζωοποιοῦσα. Διὰ τοῦτο καὶ γνωρίζειν ἐν καιρῷ τοῖς παισὶ τὴν τοῦ Θεοῦ ἰδέαν, καὶ προσοικειοῦν αὐτῇ αὐτοὺς ὀφείλουσι, καὶ διδάσκειν τὰ πάντα εἰς αὐτὸν ἀναφέρειν, καὶ πάντα ἐξ αὐτοῦ παράγειν, καὶ θεωρεῖν αὐτὸν, καὶ λατρεύειν, ὡς ἀόρατον μὲν αὐτὸν ὄντα, ὁρῶντα δὲ πάντα καὶ ἀνταμείβοντα· ἐν γὰρ τῷ Θεῷ μόνῳ εἴη ἂν καὶ χρηστότης ἀσφαλής τε καὶ μόνιμος, χωρὶς δ' αὐτοῦ, οὔτε μέτρον αὐτῆς ἀσφαλὲς, οὔτε αἴτιον ζωοποιοῦν, οὔτε τέλος καὶ ὄφελος αὐτῆς μέγα ὑπάρχει. Τὸ δὲ κατὰ τὴν θρησκείαν, ἐπιμελεῖσθαι δεῖ αὐτῶν ἐξ ἀρχῆς, ὅπως τὸ πρᾶγμα αὐτὸ ἀπὸ τοῦ ἁπλοῦ τύπου, καὶ τὴν οὐσίαν ἀπὸ τῆς ψευδοῦς ἐπιφανείας, διακρίνειν ἔχωσι· πάντα γὰρ δεῖ ἐν τῷ ἀνθρώπῳ περιλαμβάνειν τὴν θρησκείαν καὶ ζωοποιεῖν, καὶ φρόνημα καὶ πρᾶξιν ἐν πᾶσιν ὁρίζουσαν, καὶ τὴν τοῦ Θεοῦ ἰδέαν ἐν πᾶσιν εἶναι τῷ ἀληθινῷ προσκυνητῇ τοῦ Θεοῦ καὶ ἀρχέτυπον καὶ σκοπόν· τὸ γὰρ ἦθος καὶ ἡ χρηστότης τοῦ ἀληθινοῦ προσκυνητοῦ ἐν τούτῳ μάλιστα φανεροῦται, ἐν τῷ σπουδάζειν, ἵνα, ἣν ἔχῃ περὶ Θεοῦ ἰδέαν, ὡς τῆς ὑψίστης σοφίας καὶ ἀγαθότητος καὶ δικαιοσύνης καὶ ἁγιωσύνης, ταύτην ἐν τῷ πρακτικῷ βίῳ, ὅσον ἐφικτὸν, δηλοῖ. Καὶ τὸ φύσει δ' αὐτῶν φιλομαθὲς ἀναγκαῖόν ἐστιν ἐν τῷ χρόνῳ τούτῳ διατρέφειν καὶ ὑποθάλπειν, οὐ μέν τοι πλέον τοῦ προσήκοντος τοῖς τηλικούτοις, οὐδ' ἀποστοματισμοῖς μακροῖς καὶ συνεχέσιν ἐπιβαρύνειν αὐτούς· οὐδὲν γὰρ ὄφελος τῶν ἀδιανοήτων αὐτοῖς λέξεων, ἀλλ' ἡ οὕτω περιποιηθεῖσα ἐ-

Digitized by Google

πιστήμη χωρὶς πνεύματος καὶ ζωῆς ἐστί. Καὶ τούτῳ δὲ μάλιστα δεῖ προσέχειν ἐν τῇ τῆς θρησκείας διδασκαλίᾳ· ἡ γὰρ τοιαύτη ἀμεθοδία ἀηδίαν κοινῶς πρὸς αὐτὴν ἐμποιεῖ, καὶ προσκυνητὰς ψυχροὺς καὶ ὑποκριτὰς ἀποφαίνει τοὺς παῖδας, πολλάκις δ' ἐπὶ τέλους, καὶ μῖσος ἐντίκτει, καὶ καταφρόνησιν τῆς θρησκείας.

§. 26. Καὶ τηρεῖν δὲ ἐν τῷ χρόνῳ τούτῳ τοὺς παῖδας δεῖ, πρῶτον μὲν, ἀπὸ τῶν φυσικῶν τῆς ὑγιείας καὶ εὐεξίας τοῦ σώματος κινδύνων, εἶτα δέ, καὶ ἀπὸ τοῦ τῆς ἠθικῆς διαφθορᾶς μιάσματος· τὸ γὰρ φιλομαθὲς καὶ φύσει μιμητικὸν ζωηρότατον πέλει τοῖς τηλικούτοις, καὶ ῥᾷστα, ἃ ἂν βλέπωσι καὶ ἀκούωσι, μανθάνουσί τε καὶ μιμοῦνται· ὅπερ ἔχει μέν τι καὶ ἀγαθοῦ, ἔχει δ' ὅμως καὶ κίνδυνον οὐ μικρόν· εἰ μὲν γὰρ ἐν χρηστοῖς τε καὶ ἀγαθοῖς ἀνθρώποις διάγουσι, ταχέως αὐτοὺς εἰς μόρφωσιν ἄγει· ἐὰν δὲ φαῦλα ἀκούωσι καὶ ὁρῶσι, τάχιστα καὶ διαφθείρονται. Τὸν δὲ κίνδυνον ἐπάγει τοῖς τηλικούτοις μάλιστα ἡ τῶν ἀῤῥένων καὶ θηλέων ἀφύλακτος συναναστροφὴ, ἡ μετ' ἀλλήλων ἢ μετὰ τῶν θεραπόντων συγχοίμησις, αἱ τῶν σκαιῶν καὶ φαύλων ἀνθρώπων ἄσεμνοι καὶ αἰσχραὶ ὁμιλίαι καὶ τὰ παραδείγματα, καὶ αἱ τῶν ἐνηλίκων ἐλεύθεραι ἐπὶ παιδιᾷ ἀναστροφαὶ, αἱ δημόσιαι ὀρχήσεις, ὑπὸ τῶν παίδων θεωρούμεναι, καὶ τελευταῖον λόγοι καὶ ἔργα ἀσεβείας καὶ αἰσχρότητος ἄλλων. Οὐκ ἀδιάφορον δὲ πρὸς τὴν πλάσιν τοῦ ἤθους καὶ ἡ τῆς ἀγωγῆς μέθοδος· εἰ μὲν γὰρ ἐκ τῆς ἀρχῆς τοῦ ὠφελίμου καὶ τιμίου ὁρμᾶται καὶ διευθύνεται, χρήσιμοι μὲν καὶ δραστήριοι ἀποβαίνουσιν οἱ οὕτως ἀνατρεφόμενοι, οὐχὶ δὲ καὶ ἀγαθοὶ ἄνθρωποι, ὥστε τἀγαθὸν αἱρεῖσθαι ἀεὶ καὶ πανταχοῦ, κἂν μὴ ὑπ' ἄλλων θεωρῶνται, ἀλλὰ μόνην τὴν ἑαυτῶν συνείδησιν καὶ τὸν Θεὸν μάρτυρα τῶν πράξεων αὐτῶν ἔχωσιν. Εἰ δέ τις τῇ ἀρχῇ

Digitized by Google

τῆς εὐδαιμονίας πρὸς τὴν ἀγωγὴν χρήσαιτο, μαλθακὴ τότε γίνεται, καὶ τὸ μὲν σῶμα ἐξασθενεῖ, τὸ δὲ πνεῦμα διαστρέφει, καὶ ὅλον τὸν ἄνθρωπον ἀνεπιτήδειον ἀποφαίνει εἰς τὸ ἐνεργεῖν τὰ τῆς ἀρετῆς καθήκοντα, ἢ ἀναλαμβάνειν καὶ βαστάζειν βαρέα καὶ διαρκῆ ἔργα. Ἡ δ' ἀρετὴ δι' ἀγῶνος κατορθουμένη, θάῤῥους δεῖται, καὶ ἰσχύος, καὶ καρτερίας, ἅπερ οὐκ ἔνεστι τῷ ἐν μαλθακότητι κατὰ τὸ θέλημα τῆς σαρκὸς τραφέντι καὶ αὐξηθέντι.

§. 27. *Περὶ τοῦ τρίτου χρόνου τῆς ἀγωγῆς.*

Ὁ χρόνος οὗτος ἄρχεται μὲν ἀπὸ τῆς τελείας χρήσεως τοῦ λογικοῦ τῶν παίδων, λήγει δὲ, ὅταν ὅλως τῆς πατρικῆς ἐξουσίας τε καὶ κηδεμονίας ἀπολυθῶσιν. Ὅσον δ' ἐν τούτῳ τῷ χρόνῳ εἰς ἡλικίαν καὶ ἀληθῆ μόρφωσιν προκόπτουσι, τοσοῦτον καὶ τὴν τῆς ἀγωγῆς μέθοδον χρὴ μετριάζειν, καὶ φιλικὸν ὕφος ἀναλαμβάνειν, μηδ' ἀπαιτεῖν ἔτι παρὰ τῶν παίδων, ὡς ἐν τῷ προτοῦ χρόνῳ, ὑπακοὴν αὐστηρὰν, ἀλλὰ πολλὰ καὶ τῷ λογισμῷ καὶ τῇ διακρίσει αὐτῶν ἐᾷν, ἵνα καὶ ἰδεῖν ἔχῃ τις, πῶς ἂν ἐν ταῖς διαφόροις περιστάσεσι πολιτεύσαιντο. Καὶ εἰ μὲν ἴδοιεν, ὅτι οὐ καλῶς, οὐδ' ὡς προσεδόκησαν, ὁδηγεῖν αὐτοὺς χρὴ καὶ διευθύνειν, οὐ μὴν ἔτι ὡς ἐξουσίαν ἔχοντας δεσποτικὴν, ἥκιστα δὲ ἀπειλαῖς τε καὶ ῥαβδισμοῖς, ἀλλὰ νουθεσίαις τε καὶ παραινέσεσιν. Οὕτω τοῦ πράγματος ἡ φύσις ἀπαιτεῖ· ὡς γὰρ λογικοὶ, καὶ τὴν ἑαυτῶν συνειδότες ἀξίαν, καὶ λογικῶς ὁδηγεῖσθαι βούλονται· πρὸς δὲ τὸν βίᾳ καὶ αὐστηρότητι ἀναγκάζοντα βιαίως ἐπανίστανται. Ἐν μὲν οὖν τούτῳ τῷ χρόνῳ οὐκ ἄνευ ἀνάγκης πρὸς βίαν δεῖ τοῖς παισὶ χρῆσθαι· εὐερέθιστοι γὰρ οἱ τηλικοῦτοι, καὶ ῥᾳδίως κατεξανίστανται· ἐὰν δὲ καὶ βίᾳ χρήσασθαί ποτε ἀναγκαῖον δοκῇ πρὸς τοὺς τηλι-

Digitized by Google

κούτους, μετὰ καταστολῆς φανερᾶς τοῦ πάθους γινέσθω, μηδαμῶς τῆς τε ἐπιεικείας, καὶ τῆς δικαιοσύνης, καὶ τῆς ἀνθρωπίνης ἀξίας παρορωμένης· οὐδὲν γὰρ ἄλλο τοσοῦτον ἰσχύει, ὡς ἡ πεῖρα διδάσκει, ἀπεῶσαι πᾶσαν ἀγάπην καὶ σέβας ἀπὸ τῆς ψυχῆς τῶν παίδων, ὅσον τὸ τοὺς ἑαυτῶν γονεῖς ὁρᾶν, κακῶς αὐτοῖς καὶ μετ' ὀργῆς χρωμένους, καὶ οὐκ ἔτι διὰ παντὸς τοῦ βίου τῆς ὕβρεως ἐπιλανθάνονται, ἀλλὰ δυσπιστία τις καὶ ἀποστροφὴ, καὶ καταφρόνησις ἀνεξάλειπτος ἐμφύεται αὐτῶν τῇ ψυχῇ. Ἀλλ' οὐδ' αὖ ἀνέτους παντάπασιν ἐᾶν ἐχ συγκαταβάσεως καὶ ἁπλότητος δεῖ, ἀλλ' ἐπαγρυπνεῖν ἐπὶ τὰς ἐπιθυμίας, καὶ τὰ ἔργα, καὶ τοὺς λόγους αὐτῶν, καὶ ἐπὶ τὰς φιλίας καὶ τὰς συνηθείας, καὶ μηδαμῶς ἀπολείπεσθαι τοῦ κατέχειν αὐτοὺς ὑπὸ ἐπιστασίαν τινὰ καὶ τάξιν.

Πάντα οὖν ταῦτα ὀφείλονται τοῖς τέκνοις ὑπὸ τῶν γονέων, διά τε τὴν ὑψηλὴν ἀξίαν καὶ τὴν κλῆσιν τοῦ ἀνθρώπου ἐν γένει, καὶ διὰ τὸ φύσει ἀδύνατον τῶν παίδων, ἄνευ τῆς λογικῆς ἀγωγῆς, εἰς αὐτὴν ἀφικέσθαι. Συνάπτοντες γὰρ προαιρετικῶς οἱ γονεῖς τὸν γάμον, ὁμολογοῦσι τοῖς ἔργοις, ὅτι τῇ αὐξήσει καὶ τῇ συντηρήσει τῆς ἀνθρωπότητος συντελέσουσιν, ὅπερ οὐκ ἂν ἄνευ τῆς τῶν εἰρημένων καθηκόντων ἐκτελέσεως γένοιτο· τὸ γὰρ γεννᾶν, χωρὶς τοῦ τρέφειν τὰ γεννηθέντα, οὐδὲν ὠφελεῖ, ἀλλ' οὐδὲ τὸ τρέφειν, ἄνευ τοῦ περιποιεῖσθαι αὐτὰ διὰ τῆς λογικῆς ἀγωγῆς. Διὰ τοῦτο καὶ ὁ τῆς φύσεως δημιουργὸς τηλικαύτην ἐνέσταξε ταῖς τῶν γεννητόρων ψυχαῖς πρὸς τὰ τέκνα στοργὴν καὶ κλίσιν, συνωθοῦσαν αὐτοὺς εἰς τὴν τῶν εἰρημένων καθηκόντων ἐκτέλεσιν, εἰ μὴ βιαίως ἀνθίστανται· ἀλλὰ καὶ τοῖς τέκνοις ἰσχυρὰν ἐνέβαλε τὴν κλίσιν πρὸς τοὺς ἑαυτῶν γονεῖς· καὶ αὕτη ἡ ἀμοιβαία σφοδρά τε καὶ τρυφερὰ

Digitized by Google

κλίσις τὸν ἥδιστον καὶ εὐποιητικώτατον ἀποτελεῖ σύνδεσμον, ὃς συνέχει τούς τε γονεῖς πρὸς τὰ τέκνα, καὶ ταῦτα πάλιν πρὸς ἐκείνους, ὥστε θηριωδία ὀρθῶς νομίζεται ἡ τοῦ συνδέσμου τούτου διάλυσις. Καθάπερ δὲ ἐν ἀρχῇ εἴρηται, καὶ ὑπὸ τοῦ ἀνθρώπου ἀνωμολόγηται, καὶ ὑπὸ τοῦ θείου λόγου κεκύρωται ταῦτα τὰ τῶν γονέων πρὸς τοὺς ἑαυτῶν παῖδας καθήκοντα· « Παίδευε υἱόν, καὶ ἀγαπήσει σε, καὶ δώσει κόσμον τῇ σῇ ψυχῇ » (α), « Οἱ πατέρες, φησὶ, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου » (β). Ὁ δὲ σοφὸς Σειρὰχ ἀποφαίνεται οὕτω, « Κρεῖσσον εἷς υἱὸς δίκαιος, ἢ χίλιοι ἀσεβεῖς· κρεῖσσον ἄτεκνον θανεῖν, ἢ ἀσεβῆ τέκνα ἔχειν » (γ). Καὶ ἐκ τῶν νόμων ἄρα τῆς φύσεως, καὶ ἐκ τῶν λόγων τοῦ Θεοῦ δηλοῦται τρανῶς τὸ τῶν γονέων πρὸς τὰ τέκνα καθῆκον, ὅτι οὐκ ἀρκεῖ μόνον τῆς ζωϊκῆς ἀνατροφῆς ἐπιμελεῖσθαι, ἀλλὰ καὶ τῆς λογικῆς ἀγωγῆς τῆς τῇ ἀξίᾳ καὶ τῇ κλήσει αὐτῶν προσηκούσης, καὶ τοῦτο πράττειν, μέχρις ἂν δυνηθῶσι δι' αὐτῆς, καὶ φρονεῖν, καὶ λέγειν, καὶ πράττειν ἀφ' ἑαυτῶν κατὰ τὴν ἀξίαν καὶ τὴν κλῆσιν τοῦ ἀνθρώπου, καὶ πρὸς τὸ κράτιστον τέλος προβαίνειν τε καὶ προσεγγίζειν. Διὸ καὶ οὐχ ὅλον ἐπράχθη τὸ καθῆκον, ἐὰν φροντίζωσι μόνον, ὅπως φιλόπονά τε καὶ ἐπιτήδεια ἐν τῷ παρόντι βίῳ καὶ τῇ πολιτείᾳ γένωνται, καὶ ἄφθονον αὐτοῖς περιουσίαν καταλίπωσιν, ἀλλὰ καὶ περαιτέρω δεῖ προβαίνειν τὴν τοῦ ἀνθρώπου ἀγωγὴν, ἵνα κρείττων ᾖ τῆς τῶν κτηνῶν, καὶ τῇ ἀνθρωπίνῃ φύσει ἐντελῶς ἁρμόττουσα· ὁ γὰρ ἄνθρωπος, ὡς ἐκ ψυχῆς τε καὶ σώματος συνιστάμενος, ἔστι μὲν αἰσθητικὸν, ἔστι δ' ὅμως καὶ λογι-

(α) Παροιμ. κθ'. 17. (β) Ἐφ. ς', 4. (γ) Σειρ. ις'.

Digitized by Google

κὸν ζῶον, καὶ ἐτέθη ἐπὶ τῆς γῆς, οὐχ ἵνα, διαμείνας ὀλίγον χρόνον ἐπ᾽ αὐτῆς, ὕστερον εἰς τὸ μηδὲν ἐπανέλθοι, ἀλλ᾽ ἵνα, ὡς ἀφθάρτου τε καὶ ἀθανάτου φύσεως μετειληφὼς, εἰς ἀφομοίωμα τοῦ Θεοῦ καὶ πατρὸς γίγνοιτο, καὶ διὰ πάσης τῆς αἰωνιότητος τὴν τῆς θείας εἰκόνος ἀνάπτυξίν τε καὶ διαμόρφωσιν προάγοι· τῆς δ᾽ ἐπιτυχίας τοῦ κρατίστου τούτου τέλους τὴν ἀγωγὴν χρὴ ποιῆσαι τὴν ἀρχὴν καὶ τιθέναι τὸν θεμέλιον. Τοῦτο οὖν ἔργον ἐστὶ τῶν γονέων τὸ κυριώτατον, τὰ δ᾽ ἄλλα πάντα ἐπουσιώδη, καὶ οἱονεὶ βοηθήματα πρὸς αὐτό.

§. 28. *Καθήκοντα τῶν παίδων πρὸς τοὺς γονεῖς.*

Ὥσπερ τοῖς γονεῦσι πρὸς τὰ τέκνα, οὕτω πάλιν καὶ τοῖς τέκνοις πρὸς τοὺς ἑαυτῶν γονεῖς εἰσιν ἴδιά τινα καθήκοντα, ἐκ τῆς πρὸς ἀλλήλους αὐτῶν σχέσεως καὶ ταῦτα γεννώμενα. Κυριώτατα δὲ τούτων εἰ ι, ά, σέβας ἴδιον καὶ τιμὴ πρὸς αὐτούς· β, ἀγάπη θερμὴ καὶ προσκόλλησις σταθερὰ πρὸς αὐτούς· γ, ἑκούσιος καὶ πρόθυμος ὑπακοὴ τῷ θελήματι αὐτῶν· δ, εὐγνωμοσύνη ζωηρὰ καὶ ἐνεργός. Ἐν τούτοις ἔνεστι πᾶν, ὅπερ οἱ μὲν γονεῖς αἰτεῖν παρὰ τῶν τέκνων δικαιοῦνται, τὰ δὲ τέκνα τοῖς γονεῦσι παρέχειν προθύμως τε καὶ ἀγογγύστως ὀφείλουσι· τοῖς πᾶσι μὲν γὰρ πάντα ἄνθρωπον, διὰ τὴν αὐτοῦ ἀξίαν, σέβεσθαι καὶ τιμᾷν καθῆκόν ἐστι, τὸ δὲ πρὸς τοὺς γονεῖς σέβας καὶ τὴν τιμὴν ἐξαίρετα καὶ ἱερώτατα καὶ ἀπαραβίαστα εἶναι δεῖ, διὰ τοῦτο, ὅτι γονεῖς, καὶ ὅτι τὸν πλεῖστον τοῦ βίου καταναλίσκοντες, περὶ τῆς προσκαίρου καὶ αἰωνίου εὐδαιμονίας τῶν τέκνων μεριμνῶσι καὶ μοχθοῦσιν. Ἐκ τούτου καὶ ἡ θεία ἐντολὴ, « Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου » ἣ προστίθησιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς « ὁ κα-

Digitized by Google

κολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω » (α)· ἔτι δὲ μᾶλλον ὁ καὶ πλέον τι καταφρονῶν ἢ ἀτιμάζων αὐτούς. Καὶ ἡ μὲν τιμὴ ἐν τῇ πάντων τῶν ἀποφατικῶν καθηκόντων ἐκτελέσει δηλοῦται, τὸ δὲ σέβας, ὡς τιμῆς κρεῖσσον, προσήκει μὲν πᾶσι, τὸ δὲ τῶν τέκνων πρὸς τοὺς γονεῖς ἐστιν ἡ εὐλάβεια καὶ προσοχὴ εἰς τὸ ἀπέχειν πάντων, ἃ ἂν ὀχληρά πως αὐτοῖς ᾖ, ἢ ὄνειδος φέρῃ. Ἡ δὲ ἀγάπη ἐν τῷ ἐπιτελεῖν πάντα τὰ καταφατικὰ καθήκοντα μετὰ χαρᾶς δείκνυται· σπουδὴ γάρ ἐστι τοῦ πράττειν πάντα τὰ τοῖς γονεῦσιν ἀρεστά· καὶ ζωηρὰ δὲ καὶ τρυφερὰ λέγεται, ὅταν ἐξ εὐνοίας, καὶ μετὰ φιλοφροσύνης καὶ προθυμίας ἐνεργῇ ταῦτα, καὶ προλαμβάνῃ, ἐρευνῶσα καὶ ἀνιχνεύουσα τὰς ἐκείνων ἐπιθυμίας, καὶ μὴ ἐπιταγὰς καραδοκοῦσα, ἵνα τι τῶν ἐφετῶν αὐτοῖς πράξῃ. Καὶ ἡ ὑπακοὴ δὲ εἰς τὰς παραινέσεις καὶ συμβουλὰς τῶν γονέων περὶ τῆς χρηστῆς διαγωγῆς, καὶ περὶ τῆς κατ' οἶκον εὐταξίας τε καὶ φιλοπονίας, ἀναφέρεται. Δεῖ δὲ ταύτην πρόθυμον καὶ ἀγόγγυστον, καὶ ἀκριβῆ, καὶ καρτερικὴν εἶναι, ἵνα μὴ ἀφορμὴν λύπης παρέχωσι τοῖς γονεῦσιν. Οὕτω διακελεύεται ὁ θεῖος Παῦλος, « Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον ἐν Κυρίῳ » (β). Ὁ δὲ Θεὸς καὶ σωτὴρ ἡμῶν τῷ ἰδίῳ μᾶλλον παραδείγματι, ἢ τοῖς λόγοις τὸ καθῆκον τοῦτο συνέστησε, « Καὶ ἦν, φησιν, ὑποτασσόμενος τοῖς γονεῦσιν αὐτοῦ » (γ). Φησὶ δὲ καὶ ὁ Σολομῶν περὶ τούτου, « Ἄκουε υἱὲ παιδείαν πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ, καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ. Υἱέ! μή σε πλανήσωσιν ἄνδρες ἀσεβεῖς, μηδὲ βουληθῇς, ἐὰν παρακαλέσωσί σε λέγοντες, ἐλθὲ μεθ' ἡμῶν

(α) Ματθ. ιέ Α. (β) Κολ. γ'. 30. (γ) Λουκ. β'. 51.

Digitized by Google

κοινώνησον αἵματος, κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, καταπίωμεν δὲ αὐτὸν, ὥσπερ ᾅδης, ζῶντα... τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα, πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων, τὸν δὲ σὸν κλῆρον βάλε ἐν ἡμῖν, κοινὸν δὲ βαλάντιον κτησώμεθα πάντες, καὶ μαρσίπιον ἓν γενηθήτω ἡμῖν κ.τ.λ. Υἱέ μου! μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν, ἔκκλινον τὸν πόδα σου ἐκ τῶν τρίβων αὐτῶν· οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι, καὶ ταχινοί εἰσι τοῦ ἐκχέαι αἷμα. Αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες, θησαυρίζουσιν ἑαυτοῖς κακὰ, ἡ δὲ κατστροφὴ ἀνδρῶν παρανόμων κακή (α).» Κορωνὶς δὲ πάντων τῶν πρὸς τοὺς γονεῖς καθηκόντων τυγχάνει ἡ εὐγνωμοσύνη, προθυμία τις οὖσα ἐνεργὸς καὶ δραστήριος τοῦ ἀνταποδοῦναι καλὰ τοῖς γονεῦσι τροφεῖα, ἐφ' οἷς τοσοῦτον ἐμόχθησαν ἐν ἀγάπῃ καὶ στοργῇ πρὸς τὰ τέκνα. Ἄρχεσθαι δὲ δεῖ ταύτην εὐθὺς ἀπὸ τῆς ἀρχῆς τῆς τῶν παίδων ἐνηλικιώσεως, καὶ διὰ παντὸς τοῦ βίου διαμένειν, ἔργοις τε καὶ λόγοις πρὸς τοὺς γονεῖς, μέχρις ἂν οὗτοι ἐν τῷ βίῳ διατελῶσι, δεικνυομένην, μάλιστα δὲ τῇ προθύμῳ βοηθείᾳ, ἐὰν ἐκ τοῦ γήρως, ἢ ἐκ πενίας καὶ ἄλλων δυστυχημάτων, χρήζωσι ταύτης οἱ γονεῖς, ἔτι δὲ καὶ τῷ πιστεύειν ἀδόλως τοῖς γονεῦσι, καὶ συμβουλεύεσθαι εἰλικρινῶς ἐν τοῖς σπουδαιοτάτοις μετ' αὐτῶν, κἂν ἀπηλλαγμένοι ὦσιν ἤδη τῆς πατρικῆς ἐξουσίας, καὶ τῷ συμμετέχειν αὐτοῖς τῶν τε ἡδέων καὶ τῶν λυπηρῶν ἐπίσης, καὶ ἀνέχεσθαι συγκαταβατικῶς, ἐὰν ὑπὸ τοῦ γήρως δυσκόλως τε καὶ ἀσθενῶς ἔχωσιν. Ὑπόδειγμα δὲ καὶ τούτου, καθάπερ καὶ πασῶν τῶν ἄλλων ἀρετῶν, ἔδωκεν ἡμῖν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὃς κἂν τῇ ἐσχάτῃ ὥρᾳ καὶ ἐπὶ τοῦ Σταυροῦ προσηρτη-

(α) Παροιμ. ζ'. 7—18.

Digitized by Google

μένος, ἐφρόντιζε περὶ τῆς μητρός (α). Τὸ δὲ πρὸς τοὺς γονεῖς ὀφειλόμενον σέβας καὶ ἡ ἀγάπη καὶ ὑπακοὴ καὶ πρὸς τοὺς πάππους, καὶ τοὺς ἄλλους προγόνους, καὶ παιδαγωγοὺς καὶ διδασκάλους καὶ κηδεμόνας, ἐὰν ὦσι τοιοῦτοι, ὀφείλονται. Ὅλως δ' εἰπεῖν, εἴτι μέλλοι ἀγαθὸν ἔσεσθαι ἐκ τῶν τέκνων, ἀναγκαῖον ἐπιμελεῖσθαι σπουδαίως τοὺς γονεῖς ἐν καιρῷ, μηδὲν παραλείποντας τῆς τῶν παίδων ἀγωγῆς καὶ παιδείας, ἀλλ' ὅμως καὶ τὰ τέκνα ὀφείλουσι προθύμως ὑπακούειν, καὶ μηδὲν παραλείπειν τῶν, ἃ ἂν ῥᾴδιον καὶ εὐμαρὲς τὸ τῆς ἀγωγῆς πολύμοχθον ἔργον καθιστῶσι· ταῦτα δ' εἰσί, μετὰ τῶν ἀνωτέρω εἰρημένων καθηκόντων, καὶ ἡ προθυμία καὶ ἡ φιλοπονία· οὕτω γὰρ ἡ ἀμοιβαία καὶ τῶν γονέων καὶ τῶν τέκνων εὐδαιμονία προάγεται, ἡ ἐν τῷ παρόντι βίῳ ἐφικτὴ, καὶ ἡ μακαρία ἐλπὶς τῆς αἰωνίου σωτηρίας γεννᾶται καὶ στηρίζεται.

§. 29. *Περὶ τῆς τοῦ οἰκοδεσπότου καὶ τῶν οἰκετῶν σχέσεως, καὶ τῶν ἐξ αὐτῆς ἀμοιβαίων καθηκόντων.*

Ἡ τῶν οἰκετῶν καὶ τοῦ οἰκοδεσπότου σχέσις, καί τοι κοινοτάτη, οὐχ οὕτως οἰκεία καὶ σταθερὰ εὑρίσκεται, ὥσπερ ἡ ἐκ τοῦ γάμου. Καὶ οἰκοδεσπότης μέν ἐστιν ὁ πατὴρ, ἡ δὲ μήτηρ οἰκοδέσποινα, οἰκέται δὲ πάντες οἱ διὰ ῥήτρας, ἢ συμβολαίου ἐπὶ χρόνον ὡρισμένον, ἢ καὶ ἀόριστον τὴν θεραπείαν τοῦ οἴκου ἀναδεχόμενοι. Καὶ ἐκ ταύτης οὖν τῆς σχέσεως δικαιώματά τε καὶ καθήκοντα ἀμφοτέροις, τοῖς τε κυρίοις, φημὶ, καὶ τοῖς οἰκέταις, γεννῶνται, ἀνάλογα ταύτῃ ἀκριβῶς κατὰ τὴν ῥήτραν ἢ τὸ συμβόλαιον. Καὶ τοῦ μὲν οἰκοδεσπότου καθήκοντα τὰ

(α) Ἰωαν. ιθ'. 26. 27.

Digitized by Google

κυριώτατα εἰσι ά, ἡ τῶν προσώπων ἐκλογή· β', τὸ συμβάλλεσθαι αὐτοῖς· γ', τὸ χρῆσθαι μέχρις ἂν παρ' αὐτῷ διαμένωσι κατὰ τὴν ῥήτραν καὶ τὸ συμβόλαιον. Καὶ ἐν μὲν τῇ ἐκλογῇ, τοὺς δεδοκιμασμένους ἐπὶ χρηστότητι τοῦ ἤθους, καὶ δεξιότητι καὶ προθυμίᾳ τοῦ ἐπιτελεῖν τὰ ἐπιτρεπόμενα αὐτοῖς ζητεῖν· εἰ γὰρ μὴ ὁ οἰκοδεσπότης ἐπιβλέποι ταῦτα, οὐ μικρὸς ὁ κίνδυνος, μὴ καὶ τὰ τέκνα καὶ οἱ λοιποὶ τῶν οἰκείων, ἐκ τῆς διαφθορᾶς τοῦ ἀχρείου δούλου μιανθῶσιν, ἢ καὶ κινδυνεύει ἀποβαλεῖν τοὺς παραληφθέντας πρὸ καιροῦ, διὰ τὸ ἀνεπιτήδειον αὐτῶν καὶ τὸ ἀπρόθυμον εἰς τὴν ὑπηρεσίαν, ὅπερ καὶ τῷ οἰκοδεσπότῃ ὀχληρὸν, καὶ τῷ οἰκέτῃ πολλάκις ἐπιζήμιον, καὶ ἀμφοτέροις λυπηρὸν ἀποβαίνει. Ἐν δὲ τοῖς συμβολαίοις, καθῆκόν ἐστι, ά, ἀναλογίαν τινα σταθερὰν τῆς ἀντιμισθίας πρὸς τὰ ἔργα, ἃ ἐπιτρέπεται τῷ οἰκέτῃ, τηρεῖν· β', μὴ ὑπὲρ τὸ δέον ἀναγκάζειν τοὺς ἐπὶ μισθῷ οἰκέτας εἰς εὐτελῆ ἀντιμισθίαν· γ', ἐμμένειν πιστῶς τῇ ἐπαγγελίᾳ, καὶ πλέον τι τοῦ ἐπηγγελμένου ποιεῖν, ἐὰν οἱ ὑπόμισθοι προθύμως τε καὶ πιστῶς τὰ ἑαυτῶν χρέη ἐπιτελῶσι· δ', μὴ πρὸ τοῦ ὁρισθέντος καιροῦ, χωρὶς ἀποχρῶντος λόγου, τοὺς ἅπαξ παραληφθέντας ἀπολύειν. Ταῦτα δεῖ ἐν τοῖς συμβολαίοις τηρεῖσθαι. Ἄλλως δὲ ἀκουέτωσαν τῆς θείας φωνῆς διακελευομένης οὕτως: « Οὐκ ἀποστερήσεις μισθὸν πένητος καὶ ἐνδεοῦς ἐκ τῶν ἀδελφῶν σου, ἢ ἐκ τῶν προσηλύτων τῶν ἐν ταῖς πόλεσί σου· αὐθημερὸν ἀποδώσεις τὸν μισθὸν αὐτοῦ· οὐκ ἐπιδύσεται ὁ ἥλιος ἐπ' αὐτῷ, ὅτι πένης ἐστὶ, καὶ ἐν αὐτῷ ἔχει τὴν ἐλπίδα » (α), ἀλλὰ καὶ ἀπειλούσης τοῖς ἀπειθέσιν οὕτως, « Ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ἀφ' ὑμῶν, κράζει, καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου

(α) Δευτερ. κδ'. 15.

Digitized by Google

Σαβαὼθ εἰσεληλύθασιν » (α). Ἔτι δὲ καὶ ἐν τῇ χρήσει τῶν οἰκετῶν κατὰ τὸν καιρὸν τῆς ὑπουργίας, οὐδέποτε ἐπιλανθάνεσθαι χρὴ τοὺς δεσπότας, ἀ, ὅτι ἄνθρωποι καὶ οἱ οἰκέται εἰσί, καὶ ὡς τοιούτοις χρῆσθαι μετὰ φειδοῦς καὶ ἀγάπης ὡς ἐν Χριστῷ ἀδελφοῖς, καὶ τὸν αὐτὸν Θεὸν καὶ πατέρα ἐν οὐρανοῖς ἔχουσιν, ὃν καὶ αὐτὸς ὁ οἰκοδεσπότης. Ἔτι δὲ, β', μηδὲν αὐτοῖς φαῦλον, ἢ κακόηθες ἐπιβάλλειν, ἀλλὰ μηδὲ παροράν μηδενὸς, ἐκ τῆς ἄγαν πραότητος ἢ ὑπεροψίας, ἐν τῇ οἰκίᾳ, ἢ ἐκτὸς τῆς οἰκίας, ὑφ' οὗ ἂν εἰς πειρασμὸν ἐμπέσοιεν· γ', καὶ παρέχειν δὲ, κατὰ τὴν ῥήτραν καὶ τὸ συμβόλαιον, τήν τε τροφὴν καὶ τὴν ἀντιμισθίαν ἐν τῷ ὡρισμένῳ χρόνῳ, καὶ προσεπιχορηγεῖν δέ τι εὐγνωμόνως, ἕνεκα τῆς χρηστῆς αὐτῶν διαγωγῆς καὶ τῆς πίστεως καὶ τῆς φιλοπονίας, εἰ τοιοῦτοι ἐφάνησαν· δ', καὶ τὴν εἰρήνην δὲ ἐν τοῖς οἰκέταις, ἐὰν πλείους ὦσι, διατηρεῖν, καὶ προνοεῖν, ὅπως μηδεὶς ὑπὸ τοῦ ἑτέρου ἐκ δυσμενείας, ἢ δόλου καὶ πανουργίας, λυπῆται· ἑ, μὴ ἐπιτιθέναι αὐτοῖς ἔργα ὑπὲρ δύναμιν, μηδὲ εἰς κίνδυνον τῆς ζωῆς καὶ τῆς ὑγιείας ἐμβάλλειν αὐτοὺς, μᾶλλον δὲ, καὶ ἀσθενούντων πατρικῶς ἀντιλαμβάνεσθαι, καὶ περὶ τῆς ἰάσεως αὐτῶν προνοεῖν, κατὰ τὸ παράδειγμα τοῦ ἐν εὐαγγελίοις ἑκατοντάρχου (β)· ς', τελευταῖον δὲ, καὶ φροντίζειν περὶ τῶν οἰκετῶν, μάλιστα δὲ, εἰ πολὺν χρόνον διετέλεσαν ὑπηρετοῦντες πιστῶς καὶ εὐσυνειδήτως, ὅπως τὰ κατ' αὐτοὺς βελτίω καὶ εὐδαιμονέστερα γένηται. Πάντα ταῦτα τὰ καθήκοντα τοῦ οἰκοδεσπότου πρὸς τοὺς οἰκέτας τῇ τε φιλανθρωπίᾳ καὶ τῇ δικαιοσύνῃ, ἔτι δὲ καὶ τῇ ἰδιαιτέρᾳ σχέσει αὐτῶν ἐπερείδονται, διὸ καὶ ὁ θεῖος λόγος παραγγέλλει, « Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες, ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν

(α) Ἰακωβ. ε. 4. (β) Ματθ. η. 5—13.

Digitized by Google

Οὐρανοῖς » (α). ὁ δὲ σοφὸς Σειρὰχ παραινεῖ λέγων, « Μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ, μηδὲ μίσθιον διδόντα τὴν ψυχὴν αὐτοῦ. Οἰκέτην συνετὸν ἀγαπάτω σου ἡ ψυχὴ, μὴ στερήσῃς αὐτὸν ἐλευθερίας » (β). Τῶν δὲ οἰκετῶν πρὸς τοὺς οἰκοδεσπότας καθήκοντά εἰσι ταῦτα· ά, σέβεσθαι καὶ τιμᾶν τοὺς ἑαυτῶν κυρίους ἐν πάσῃ αὐτῶν τῇ διαγωγῇ· β', ὑπακούειν αὐτοῖς κατὰ πάντα, οἷς ἑκουσίως συνεφώνησαν· γ', ἐπιτελεῖν πιστῶς καὶ προθύμως τὰ παραγγελλόμενα· δ', μηδὲν ὑφαιρεῖν τῶν τοῖς κυρίοις, ἢ τοῖς συνδούλοις προσηκόντων, μηδὲ φθείρειν δι' ἀσωτίαν, ἢ δι' ὀλιγωρίαν καὶ ἀχηδίαν, καὶ ζημιοῦν οὕτω τὸν πλησίον· ε, μηδὲν τῶν ἰδίων μυστικῶν, ἢ ἐλαττωμάτων τῶν κυρίων, ἢ τῶν συνδούλων πρὸς τοὺς ἔξω ἐκφέρειν· ς', εἰρηνεύειν δὲ καὶ ὁμονοεῖν πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ πρὸς τὸ ἀγαθὸν, καὶ τὰς μυστικὰς συμπεριφορὰς φεύγειν καὶ τὸν φθόνον καὶ τὴν ὑπεροψίαν. Ταῦτα τοίνυν τὰ καθήκοντα ἐκ τῆς σχέσεως τῆς πρὸς τοὺς κυρίους αὐτῶν γεννῶνται, καὶ τῇ φιλανθρωπίᾳ καὶ δικαιοσύνῃ καὶ ταῦτα ἐπερείδονται, καὶ ὑπὸ τοῦ θείου λόγου δι' αὐτὸ παραγγέλλονται· « Οἱ δοῦλοι, φησιν, ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα, μετὰ φόβου καὶ τρόμου, ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ. Μὴ κατ' ὀφθαλμοδουλίαν ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, μετ' εὐνοίας, δουλεύοντες τῷ Κυρίῳ, καὶ οὐκ ἀνθρώποις, εἰδότες, ὅτι ὃ ἂν ἕκαστος ποιήσῃ ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος, εἴτε ἐλεύθερος » (γ)· καὶ πάλιν « δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθὴν, ἵνα τὴν διδασκαλίαν τοῦ

(α) Κολ. δ'. 1. (β) Σειραχ. ζ'. 22—23. (γ) Ἐφ. ς'. 5—9.

Digitized by Google

σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν. (α)» Εἰσὶ δὲ καὶ ἕτερα πρὸς τοῖς εἰρημένοις καθήκοντα τῶν διὰ τῆς ὑπηρεσίας ζητούντων τὴν ἑαυτῶν συντήρησιν καὶ τὸν ἄρτον· οἷον ά, Τὸ τοιαύτας ὑπηρεσίας ζητεῖν, ἐν αἷς ἐπ' ἐλάχιστον κινδυνεύει ἡ τοῦ ἤθους χρηστότης καὶ ἡ ἀρετὴ, καὶ ἐλάσσονα ἀπαντῶνται κωλύματα εἰς τὰ τῆς χριστιανικῆς πίστεως ἔργα, εἰς τὴν παράστασιν κατὰ τὴν θείαν λατρείαν· τὸ γὰρ τῆς πνευματικῆς ὠφελείας καταφρονεῖν διὰ τὸ πρόσκαιρον κέρδος, οὐ καλὸν οὐδ' ὠφέλιμον κρίνεται· β', Ἐν τῇ ὑπηρεσίᾳ αὐτῶν ποιεῖν ἀκριβῶς τὰ καθήκοντα, οὐ μόνον τῆς μικρᾶς ἀντιμισθίας ἕνεκα, ἀλλὰ καὶ πιστῶς καὶ εὐσυνειδήτως πρὸς τέλος κρεῖττον· γ', Εὐχαρίστως τὸν βίον διάγειν, τὴν ἑαυτῶν στέργοντας τύχην, σεβομένους τὴν πάνσοφον καὶ πανάγαθον τοῦ Θεοῦ πρόνοιαν, τὴν οὕτω κληρώσασαν αὐτοὺς, καὶ ἐκ τῆς ταπεινότητος αὐτῶν ταύτης ὠφελουμένους, τὴν χρηστότητα καὶ ὁσιότητα μᾶλλον ἀσκεῖν· δ', Ἐθίζεσθαι ἀπὸ τῆς νεότητος κατατιθέναι ἀεὶ τὸ ἐκ τῆς ὑπηρεσίας αὐτῶν γινόμενον, οἰκονομοῦντας φρονίμως, καὶ τὴν ματαιότητα καὶ τὴν ἐν τῇ περιβολῇ πολυτέλειαν, καὶ τὴν λιχνείαν ἐν τῷ βίῳ φεύγοντας, ἵνα εἰς τὰς ἀναγκαίας χρείας τῆς προβεβηκυίας αὐτῶν ἡλικίας μὴ μένωσιν ἐν ἀπορίᾳ καὶ ἀμηχανίᾳ· ε, Ἐπιμελεῖσθαι δὲ καὶ τῆς ἕξεως περὶ τὰ ἔργα τῆς τάξεως αὐτῶν, καὶ μηδὲν ἐπιχειρεῖν, ὃ ἂν μῶμον ἢ ἐλάττωσιν τοῦ ἀγαθοῦ ὀνόματος αὐτῶν φέρῃ. Τοῖς καθήκουσι τούτοις τῶν τε οἰκοδεσποτῶν καὶ τῶν οἰκετῶν ἀντιπαράκειται καὶ δικαιώματα, περὶ ὧν περιττὸν ἂν εἴη νῦν λέγειν κατὰ μέρος· πρόδηλα γὰρ ἐξ ἑαυτῶν, μετὰ τὴν γνῶσιν τῶν καθηκόντων. Ὅτι δὲ ἐκ τῆς πιστῆς τῶν καθηκόντων τούτων ἐκτελέσεως, καὶ τῆς φρονίμου χρή-

(α) Τιτ. β'· 9.

Digitized by Google

σεως τῶν ἀντιπαρακειμένων δικαιωμάτων, μέγα καὶ κοινὸν τοῖς ἀνθρώποις ἀγαθὸν προέρχεται, οὐδὲ ὑπομνῆσαι ἀναγκαῖον· οἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων οὐκ ἄνευ τοιαύτης σχέσεως διατελοῦσι.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ πολιτείας καὶ τῆς ἐν αὐτῇ σχέσεως τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων.

§. 30. *Ἰδιότης καὶ τέλος τῆς ἐν τῇ πολιτείᾳ σχέσεως.*

Πολιτεία ἐστὶν ἀνθρώπων πλειόνων κοινωνία, ὑπὸ μίαν νόμιμον ἡγεμονίαν καὶ κυριότητα ἡνωμένων, ὅπως ἀσφαλέστερον καὶ πρὸς ἀλλήλους, καὶ ἀπὸ τῶν ἔξωθεν ἐπερχομένων προσβολῶν, κατὰ πάντα τὰ ἑαυτῶν διάγωσιν. Ἐντεῦθεν οὖν καὶ τὸ ἴδιον καὶ τὸ τέλος τῆς τοιαύτης σχέσεως καταφαίνεται· τὸ μὲν γὰρ, ὅτι πλῆθος ἀνθρώπων ὑπὸ μίαν καὶ μόνην νόμιμον ἡγεμονίαν ἥνωται, τὸ δὲ τέλος ἡ πάντων τῶν κατ' αὐτοὺς ἀσφάλεια, οἷον τῆς ζωῆς, τῆς τοῦ σώματος ἀκεραιότητος, τῆς ἐλευθέρας χρήσεως καὶ ἐφαρμογῆς πασῶν τῶν ὑπαρχόντων αὐτοῖς· εἰ γὰρ καταμόνας ἔζων, οὐκ ἂν τοιαύτης ἀσφαλείας ἐτύγχανον· διὸ καὶ συνενοῦνται καὶ συμπαραμένουσιν· ἡ δὲ συνένωσις πάλιν καὶ συμπαραμονὴ οὐκ ἂν εἴη διαρκὴς, εἰ μὴ καὶ νόμιμος παρείη ἀρχὴ καὶ ἡγεμονία, ᾗ χρὴ πείθεσθαι τοὺς πάντας. Ἵνα δὲ ὄντως τὴν εἰρημένην ἀσφάλειαν διατηρῇ ἡ ἀρχὴ, ἀνάγκη περιλαμβάνειν ἐν ἑαυτῇ τριττήν τινα ἐξουσίαν, τὴν τοῦ νομοθετεῖν, τὴν τοῦ κρίνειν τὰς συμπιπτούσας διαφορὰς, καὶ τὴν τοῦ ἐκτελεῖν τὰ νενομισμένα. ἢ σαφέστερον φάναι, τῇ νομίμῳ ἀρχῇ ἀναγκαία ὑπάρχει ἡ νομοθετικὴ

Digitized by Google

ἐξουσία, ἡ δικαστικὴ, καὶ ἡ ἐκτελεστική· ἡ δὲ τριττὴ αὕτη ἐξουσία δύναται μὲν καὶ ἐν ἑνὶ μόνῳ προσώπῳ συνεῖναι, δύναται δὲ καὶ μεταξὺ πολλῶν διηρῆσθαι οὕτως, ὥστε τοῖς μὲν τὸ νομοθετεῖν μόνον προσήκειν, τοῖς δὲ τὸ κρίνειν, ἑτέροις δὲ τὸ ἐκτελεῖν τὰ νενομισμένα. Καὶ οἱ μὲν τὴν ἐξουσίαν ταύτην περιβεβλημένοι ἄρχοντες καλοῦνται καὶ ἡγεμόνες, ἀρχόμενοι δὲ, ἢ ὑπήκοοι οἱ ὑπὸ τὴν ἀρχὴν ἡνωμένοι.

§. 31. *Περὶ τῶν ὑπὸ τοῦ θείου λόγου παραγγελλομένων κατὰ τὴν πολιτικὴν σχέσιν.*

Ὑπὸ τοῦ θείου λόγου σαφῶς διδασκόμεθα ἀ, ὅτι ἡ πολιτικὴ κοινωνία, καὶ ἡ ἐν τῇ κοινωνίᾳ ταύτῃ νόμιμος ἀρχὴ καὶ ἐξουσία θείας ἐστὶ προνοίας καὶ διατάξεως· διὸ καὶ σέβειν αὐτὴν καὶ τιμᾶν χρὴ προσηκόντως· β', ὅτι τοὺς ἡγεμόνας, ὡς Θεοῦ διακόνους τε καὶ ἐπιτρόπους ἐπὶ τῆς γῆς δεῖ λογίζεσθαι· γ', ὅτι ταῖς αὐτῶν νομίμοις διαταγαῖς ὑπακούειν χρὴ εὐσυνειδήτως τε καὶ μετ' ἀγαθῆς θελήσεως· δ', ὅτι τοῖς ἡγεμόσιν ὀφείλεται παρὰ τῶν ὑπηκόων τέλος, τιμὴ, καὶ σέβας. Ἐν τούτοις οὖν πάντα τὰ τῶν ἀρχομένων καθήκοντα πρὸς τοὺς ἄρχοντας συνοπτικῶς περιέχονται, καὶ τῷ ἀρχικῷ τέλει τῆς πολιτικῆς κοινωνίας ἐρείδονται, καὶ τῇ ἰδίᾳ συμφωνίᾳ τῇ μεταξὺ ἡγεμόνων τε καὶ ὑπηκόων. Οἱ δὲ λόγοι τῆς θείας Γραφῆς, ἐν οἷς ταῦτα διδάσκεται, εἰσὶν οὗτοι «Ἀπόδοτέ, φησιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ (α). » Καὶ τῷ ἰδίῳ δὲ παραδείγματι τὴν ἐντολὴν ἐκράτυνε, τελέσας αὐτὸς ὑπὲρ ἑαυτοῦ καὶ ὑπὲρ τῶν ἑαυτοῦ μαθητῶν φόρον

(α) Ματθ. κβ'. 21.

Digitized by Google

τοῖς τοῦ Καίσαρος. Ὁ δὲ μακάριος Πέτρος «τὸν Θεόν, φησι, φοβεῖσθε, τὸν βασιλέα τιμᾶτε.»(α) Ἐν τῷ Καίσαρι δὲ καὶ τῷ βασιλεῖ ἐννοοῦνται πάντες οἱ ἡγεμόνες, ὅπως ἂν καλῶνται. Τοῦτο ἐκ τῶν τοῦ θείου Παύλου τρανῶς διασαφεῖται λέγοντος· «Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω· οὐ γάρ ἐστιν ἐξουσία, εἰμὴ ἀπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν· ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν, οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρίμα λήψονται· οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς. Θεοῦ γὰρ διάκονός ἐστιν εἰς τὸ ἀγαθόν. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ. Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι· διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργὴν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμὴν, τὴν τιμήν. (β)» Χωρὶς νόμου καὶ δίκης, οὐδεὶς ἂν ἐν τῷ κόσμῳ βιώη. Τοῖς δ' εἰρημένοις προστίθησι καὶ τοῦτο τὸ καθῆκον ὁ θεῖος Παῦλος «Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχὰς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων, ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἥρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι (γ)». Κἀκεῖνο δὲ ἀναντίῤῥητον, ὅτι τοσοῦτος ὀφείλεται τοῖς βασιλεῦσι φόρος παρὰ τῶν ἀρχομένων, ὅσος ἐπαρκεῖ τῷ ἀξιώματι αὐτῶν πρὸς τὴν ἀνάλογον θεραπείαν καὶ σιτισμὸν, καὶ εἰς διατήρησιν τηλικαύτης δυνάμεως, ὅση ἀναγκαία ὑ-

(α) Πετρ. 6'. 17. (β) Ῥωμ. ιγ'. 1—7. (γ) Β'. Τιμ. 6'. 1,2.

Digitized by Google

πάρχει αὐτοῖς, ἵνα τὴν κοινὴν ἀσφάλειαν καὶ τάξιν διατηρῶσι, καὶ τὴν πολιτείαν ἅπασαν ἀπὸ τῶν ἔξωθεν ἐπιβουλῶν τε καὶ προσβολῶν κραταιῶς προστατεύωσιν. Εἰς δὲ τὴν ματαίαν πολυτέλειαν καὶ ἀσωτείαν καὶ ἀλαζονείαν οὐδὲν οἱ ἀρχόμενοι κατὰ συνείδησιν ὀφείλουσι.

§. 32. *Περὶ τῶν καθηκόντων τοῖς πολίταις πρὸς τὴν πατρίδα καὶ τοὺς ἑαυτῶν συμμάχους.*

Κυριώτατα τῶν τοιούτων καθηκόντων εἰσὶ τὰ ἑπόμενα ἀ, Ἐξ ἀγάπης καὶ τιμῆς πρὸς τὴν πατρίδα φεύγειν ἕκαστον πάντα ἐπιμελῶς τὰ δυνάμενα βλάψαι, ἢ φθεῖραι τὸ κοινὸν, ἢ τὸ ἴδιον ἀγαθὸν, μᾶλλον δὲ καὶ ἀγωνίζεσθαι ἕκαστον, ὅσον οἷόν τε, ἀπελαύνειν ταῦτα τῆς χώρας, ὑπ' ἀλλοτρίων σκοπούμενά τε καὶ ἐνεργούμενα. β', Αἱρεῖσθαι ἕκαστον τάξιν τινὰ, ἐν ᾗ δύναται ὠφέλιμος εἶναι τῇ πατρίδι, πάσαις αὐτοῦ ταῖς δυνάμεσι σωματικαῖς τε καὶ πνευματικαῖς πρὸς τοῦτο χρώμενος, ἄλλως δὲ ἀγαπᾷν ὃν ἔλαχε παρὰ τῆς προνοίας κλῆρον· γ', Τὸν ἀδόλως τὴν πατρίδα φιλοῦντά τε καὶ τιμῶντα, ὡς προσήκει, μηδέποτε μετὰ δόλου καὶ ῥᾳδιουργίας ὑπουργίαν θηρεύειν· κληθέντα δὲ παρὰ τῆς ὑπερτάτης Ἀρχῆς οἰκονομεῖν καὶ διοικεῖν ἐπιμελῶς πάνυ καὶ δικαίως τὰ ἐπιτετραμμένα, καὶ μηδενὸς πόνου φείδεσθαι, ἵνα ἔνδοξον τὴν πατρίδα ἐπὶ τῇ πίστει καὶ τῇ χρηστότητι διατηρῇ τὸ καθ' ἑαυτὸν· δ', Μηδένα μέν τοι ἐπὶ τοσοῦτον τὴν πατρίδα φιλεῖν τε καὶ σέβεσθαι, ὥστε καὶ ἄδικα, ἢ ἀθέμιτα πρὸς τοὺς ξένους ὑπὲρ αὐτῆς πράττειν, μᾶλλον δὲ εἰδέναι καὶ λογίζεσθαι χρὴ σπουδαίως, ὅτι ἅπαν τὸ ἀνθρώπινον γένος μίαν καὶ μόνην ἀποτελεῖ οἰκογένειαν, καὶ ἑνός τινος καταφρονουμένου, ἢ ἀδικουμένου, ὁποῖος δήποτ' ἂν ᾖ, αὐτὴ ἡ τῆς ἀνθρωπίνης φύσεως ἀξία ὀλιγωρεῖται καὶ καταφρο-

Digitized by Google

νεῖται. ε, Ἐπεὶ δὲ πάσης εὐδαιμονίας ὁ θεμέλιος, καὶ τῆς πατρίδος ἡ δόξα καὶ ὁ στέφανός ἐστιν ἡ χριστιανικὴ θρησκεία καὶ ἡ ἀρετὴ, ἀμφότερα ταῦτα προστατεύειν καὶ προάγειν λόγῳ καὶ ἔργῳ, ἤτοι τῷ οἰκείῳ παραδείγματι, ὅσον οἷόν τε, μετὰ διακρίσεως, καὶ χωρὶς παραβάσεώς τινος τῶν πρὸς τὴν ἀνθρωπότητα καθηκόντων. ς', Ἔτι φιλοφρονητικώτερον χρῆσθαι τοῖς ἑαυτοῦ συμπολίταις, ἢ τοῖς ξένοις, καὶ ἀγωνίζεσθαι ἐντιμοτέραν καθιστάναι τὴν πατρίδα τῇ καλλιτεχνίᾳ καὶ τῇ βιομηχανίᾳ, καὶ τῇ πρὸς ἕκαστον χρηστῇ διαγωγῇ. Πάντα οὖν ταῦτα δεῖ ἕκαστον τηρεῖν, οὐ μόνον διὰ τὸ πρόσκαιρον κέρδος, ἀλλὰ διότι δίκαια καὶ καθήκοντα· διὰ τούτων γὰρ οὐ μόνον ἡ κοινὴ εὐτυχία αὔξει καὶ πληθύνεται, ἀλλὰ καὶ ἡ ἠθικὴ μόρφωσις ἀνυψοῦται. Ἁμαρτάνουσιν ἄρα μεγάλως οἱ κατεσθίειν καὶ παχύνεσθαι μόνον ἀπὸ τοῦ λίπους τῆς ἑαυτῶν πατρίδος βουλόμενοι, μηδεμίαν ἀποφέροντες αὐτῇ ὠφέλειαν, ἀλλ' εἰς ἔργα καὶ ἐπιτηδεύματα μηδενὸς ἄξια ἀσχολούμενοι, περὶ δὲ τοῦ ἀγαθοῦ τῆς πατρίδος ὅλως ἀμεριμνοῦντες. Ἔτι δὲ μᾶλλον ἁμαρτάνουσιν οἱ πρὸς πάντα ἐθισμὸν, τὰ μὲν τῶν ξένων τεχνουργήματα καὶ κατασκευάσματα περὶ πλείστου ποιούμενοι, τῶν δὲ τῆς πατρίδος καταφρονοῦντες, καὶ ἀπορρίπτοντες καὶ χρῆσθαι οὐκ ἀξιοῦντες. Ἀλλ' οὐχ ἧττον ἁμαρτάνουστ καὶ οἱ τοῖς ἀλλοδαποῖς ὑπερηφάνως ἐντυγχάνοντες, καὶ ἐν ἀλαζονείᾳ καταφρονοῦντες αὐτῶν, δι' οὐδὲν ἄλλο, εἰμὴ, διότι ἀλλοδαποί· πάντα γὰρ ταῦτα πρὸς τὸ κοινὸν σέβας καὶ τὴν ἀγάπην τὰ πρὸς τὸν πλησίον, ὡς κατ' εἰκόνα Θεοῦ ὄντα, ὀφειλόμενα διαμάχονται, καὶ σκαιόν τι καὶ ἀπάνθρωπον δεικνύουσι.

Digitized by Google

§. 33. *Περὶ τῶν κυριωτέρων τοῖς ἡγεμόσι καθηκόντων.*

Ἐπειδὴ δὲ οἱ τῶν ἐθνῶν καὶ τῶν πολιτειῶν ἡγεμόνες, ὑπηρέται εἰσὶ καὶ διάκονοι ἔξοχοι τοῦ Θεοῦ, καὶ ὡς τοιούτους δεῖ λογίζεσθαι καὶ τιμᾷν κατὰ τὴν θείαν διδασκαλίαν, διὰ τοῦτο καὶ καθῆκον δήπου αὐτοῖς, ά, Ἐν τῇ τοῦ ὑψηλοῦ αὐτῶν ἀξιώματος οἰκονομίᾳ, κατὰ τὸ θέλημα καὶ τὴν ἐντολὴν τοῦ Θεοῦ πολιτεύεσθαι, τοῦτο ἀδιαλείπτως λογιζομένους, ὅτι καὶ οὗτοι ὀφείλουσί ποτε δοῦναι λόγον ἀκριβῆ τῷ Θεῷ, περὶ πάσης αὐτῶν τῆς ἐν τῇ οἰκονομίᾳ τοῦ ἀξιώματος διαγωγῆς· ὑπὸ γὰρ τοῦ Θεοῦ εἰς τὸ ὑψηλὸν αὐτῶν ἀξίωμα ὁρισθέντες πρὸς τὴν ἀσφάλειαν καὶ τὸ ἀγαθὸν τῆς ἀνθρωπότητος, καὶ ἰδίως προνοεῖν περὶ τούτων καὶ ἀγρυπνεῖν ἐπ᾽ αὐτὰ ὀφείλουσι· β΄, Ἐπιμελεῖσθαι παντὶ σθένει, μηδενὸς φειδομένους πόνου, ὅπως οἱ χρηστοὶ καὶ τίμιοι τῶν πολιτῶν ἀεὶ καὶ πανταχοῦ ἰσχυρῶς προστατεύωνται, καὶ τὰ τῶν διεφθαρμένων ἀνθρώπων μηχανήματα ἀποθῶνται, καὶ μάταια ἀποβαίνωσιν, ἡ δὲ τῶν ἐπιτετραμμένων αὐτοῖς λαῶν εὐδαιμονία αὔξῃ καὶ κρατύνηται, καὶ ἐν τούτῳ μάλιστα πᾶσαν αὐτῶν τιθέναι τὴν δόξαν, ἀλλ᾽ οὐχὶ ἐν τῇ περὶ αὐτοὺς ματαίᾳ λαμπρότητι καὶ μεγαλοπρεπείᾳ· γ΄, Ἐν ἑκάστῳ τῶν ὑπηκόων καὶ τῷ ἐλαχίστῳ τὴν τοῦ ἀνθρώπου ἀξίαν τιμᾷν, καὶ τῶν δικαίων αὐτοῦ προίστασθαι, καθάπερ καὶ τῶν τοῦ πλουσίου καὶ πολυκτήμονος, μεμνημένους ἀεί, ὅτι ἀνθρώπων ἄρχουσιν, ὡς ἄνθρωποι· δ΄, Πατέρας εἶναι ἀληθεῖς καὶ ἀπροσωπολήπτους τῶν ὑπηκόων, καὶ οὕτω χρῆσθαι αὐτοῖς, ὥστε μηδεμίαν ἑαυτοῖς συγχωρεῖν αὐθαιρεσίαν, ἢ δεσποτισμὸν, ἢ ἄλλην τινὰ δυσκολίαν, ἀλλ᾽ ὡς οἰκονόμους καὶ διακόνους πιστοὺς τοῦ Θεοῦ ἐπὶ τῆς γῆς ἀγωνίζεσθαι ἐν τῇ κυβερνήσει

Digitized by Google

αὐτῶν προσεγγίζειν, ὅσον οἷόν τε, τῇ τοῦ Θεοῦ ἁγίᾳ τε καὶ δικαίᾳ κυβερνήσει· έ, Ἰδίως δὲ καθῆκον τῶν ἡγεμόνων ἐστὶ τὸ φροντίζειν, ὅπως μηδεμία γίνηται τοῦ δικαίου, οὔτε τοῦ ἰδίου, οὔτε τοῦ κοινοῦ ἀθέτησίς τε καὶ καταπάτησις, τῆς δὲ ὅπως ποτὲ γενομένης ἀδικίας ἐξέτασιν ἀκριβῆ ποιεῖσθαι, ὅπως οἱ ἀδικήσαντες φανεροὶ γένωνται, καὶ φανερωθέντες εἰς τὴν ἀπότισιν τοῦ δικαίου ἀναγκάζωνται, καὶ προσηκόντως τῇ ἀδικίᾳ αὐτῶν καλάζωνται· ς', Ἐγκαθιστᾷν πανταχοῦ τῆς πολιτείας τοὺς τῷ πλήθει καὶ τῇ ἐκτάσει τῆς χώρας ἀναγκαίους διακόνους τῆς δικαιοσύνης· ζ', Διανέμειν προσηκόντως τὰ τῆς δημοσίου ὑπηρεσίας, ἐπιτρέποντας αὐτὴν τοῖς χρηστοτέροις καὶ δοκιμωτέροις τῶν ἀνδρῶν, μηδέποτε εἰς πρόσωπον ἀποβλέποντας, καὶ ἐπὶ τοὺς καταστάντας εἰς τὰς ἀρχὰς ἐπαγρυπνεῖν, ὅπως μὴ ἀμελῶς ἔχωσι περὶ τὰ ἔργα τῆς διακονίας αὐτῶν, μηδὲ τῇ ἐξουσίᾳ καταχρῶνται· ή, Μόνον τὸν ἀναγκαῖον κατὰ νόμον φόρον καὶ τὴν ἄλλην ὑπουργίαν ἐπιβάλλειν τοῖς ἀρχομένοις, καὶ τοῦτον κελεύειν μετὰ μετριότητος καὶ οἰκονομίας εἰσπράττεσθαι, κατὰ λόγον τῆς ἑκάστου περιουσίας καὶ τῶν ἄλλων περιστάσεων· θ', Μόνα τὰ δίκαια καὶ τῷ κοινῷ ὠφέλιμα κελεύειν, καὶ τὰ διατεταγμένα ἐντόνως διακατέχειν, καὶ ἐμμένειν αὐτοῖς, καὶ μηδὲν τούτων χωρὶς ἀνάγκης οὕτω ῥᾳδίως μεταβάλλειν· ἥκιστα δὲ συγχαταβαίνειν τισὶ, μὴ ἀκριβῶς τὰ |τεταγμένα ἐπιτελοῦσιν, εἰ μὴ τὸ κοινὸν ἀγαθὸν, ἢ ἄλλο ἰσχυρὸν αἴτισν τοιαύτην συγκατάβασιν ἀπαιτοῖ· ί, Προνοεῖν καὶ ἐπιμελεῖσθαι περὶ τῆς διαδόσεως καὶ τῆς προόδου τῶν ἐπιστημῶν, καὶ τῆς στερεώσεως τῶν εἰς κρείττονα μόρφωσιν συντελούντων καθιδρυμάτων, καὶ τῶν εἰς περίθαλψιν καὶ διατροφὴν καὶ παραμυθίαν τῶν ἐνδεῶν καὶ πασχόντων, ἔτι δὲ καὶ μὴ κωλύειν, ἀλλὰ μᾶλλον ἀγωνί-

Digitized by Google

ζεσθαι ὑπὲρ τοῦ αὐξάνειν τὴν τῶν ἀρχομένων εὐπορίαν, εὐκολίαν τῇ βιομηχανίᾳ καὶ τῇ γεωργίᾳ, καὶ τῷ ἐμπορίῳ παρέχοντας· ιά, Οὐχ ἥκιστα δὲ τὴν ἀσωτείαν, καὶ τὴν πομπώδη περὶ τὰ ἐνδύματα καὶ θεάματα πολυτέλειαν καὶ ἐν ἑαυτοῖς καὶ ἐν τοῖς ἀρχομένοις περιστέλλειν.

§. 35. Πρὸς δὲ τὰς ἄλλας πολιτείας καθήκοντα τῶν ἡγεμόνων εἰσὶ ά, Μηδὲν ἄδικον ἐπιχειρεῖν αὐτοὺς πρὸς τὴν γείτονα πολιτείαν, μηδὲ πρός τινα τῶν ἐκείνης πολιτῶν, μηδ' ἀνέχεσθαι, ἢ συγχωρεῖν πράττεσθαί τι τοιοῦτον παρὰ τῶν ἀρχομένων· β', Καὶ πραχθὲν δὲ, ὡς τάχιστα ἱκανοποιεῖν τοὺς ἀδικηθέντας, καὶ οὐ μόνον δικαίους, ἀλλὰ καὶ ἐπιεικεῖς καὶ ἐλευθερίους φαίνεσθαι πρὸς τὰς γείτονας πολιτείας καὶ τοὺς αὐτῶν πολίτας, καὶ ἐν ἰδίαις ἀνάγκαις μὴ ἀποποιεῖσθαι τὴν ἀναγκαίαν συνδρομὴν καὶ βοήθειαν· γ', Διατηρεῖν παντὶ τρόπῳ τὴν εἰρήνην καὶ τὴν φιλίαν μετὰ τῶν ξένων πολιτειῶν, κἂν δέποτε διαφωνίαι καὶ διαφοραὶ συμβῶσιν, ἐπιμελεῖσθαι ὡς τάχιστα καὶ καλῶς καταπαύειν αὐτὰς, καὶ μηδέποτε πόλεμον βίαιον ἐγείρειν, χωρὶς τῆς ἐσχάτης ἀνάγκης, καὶ ἀφ' οὗ πρότερον πάντα τὰ πρὸς διαλλαγὴν εἰρηνικὰ ἐπιχειρήματα ἀνωφελῆ καὶ μάταια ἐδείχθη· δ', Καὶ πολέμου δὲ γενομένου ἐν τοῖς ἡγεμόσι τῶν πολιτειῶν, πάλιν ἑτοίμως ἔχειν δεῖ αὐτοὺς καὶ προθύμως ἐν παντὶ καιρῷ πρὸς τὴν εἰρήνην, καὶ συνθήκαις δικαίαις ἀσφαλίζειν αὐτήν· τὰς δὲ ἅπαξ γενομένας συνθήκας ἀπαραβάτως ὡς ἱερὰς τηρεῖν μετὰ δικαιοσύνης καὶ συνειδήσεως ἀγαθῆς. Εἰ οὖν τὰ εἰρημένα καθήκοντα προθύμως καὶ πιστῶς ὑπὸ τῶν ἀρχόντων καὶ ὑπὸ τῶν ἀρχομένων ἀμοιβαίως ἐτηροῦντο, πάντως ἂν ηὔξανε καὶ προήγετο ἡ κοινὴ εὐδαιμονία· ἀγάπη δὲ ἀμοιβαία καὶ εἰρήνη καὶ ὁμόνοια ἐπλήρου πᾶσαν καρδίαν, καὶ οὐδεὶς ἂν γογ-

Digitized by Google

γυσμὸς τὴν τῶν ἐθνῶν ἡσυχίαν ἐτάραττε. « Καὶ νῦν Βασιλεῖς σύνετε! παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν, δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ· δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος. »

ΤΕΛΟΣ.

4 JY 68

Digitized by Google

ΦΙΛΟΜΟΥΣΟΙ
ΣΥΝΔΡΟΜΗΤΑΙ

Ἀττικῆς.

Ἡ Κυβέρνησις τῆς Αὐτοῦ Μεγαλειότητος τοῦ Βασιλέως. Σώμ. 200
Ὁ παρὰ τῇ αὐτοῦ Ἑλληνικῇ Μεγαλειότητι Πρέσβυς τῆς Αὐτοῦ αὐτοκρατορικῆς Μεγαλειότητος τοῦ Αὐτοκράτορος τῶν Ῥωσσιῶν, Ἐξοχώτατος Κύριος Ἰωάννης Περσιάννης. » 10
Ἡ ἐκλαμπροτάτη Δομνίτζα Ῥαλλοῦ Μουρούζη. » 3
Ὁ υἱὸς αὐτῆς κύριος Κωνσταντῖνος Κ. Μουρούζης. » 3
Ὁ Σεβασμιώτατος ἐπίσκοπος Εὐβοίας Νεόφυτος Πρόεδρος τῆς Ἱερᾶς Συνόδου. 2
Ὁ Σ. Σάμου Κύριλλος. » 1
Ὁ Σ. Ἀττικῆς Νεόφυτος. » 1
Ὁ Σ. Δαμαλῶν Ἰωνᾶς » 1
Ὁ Σ. Τριφυλίας Παΐσιος. » 1
Ὁ Κύριος Θεόκλητος Φαρμακίδης. » 2
Ὁ Ἀρχιμανδρίτης τῆς Ῥωσσικῆς Ἐκκλησίας Πολύκαρπος. » 1
Ὁ Ἱεροδιάκονος τῆς αὐτῆς Ἐκκλησίας Ἀμβρόσιος. » 1
Ὁ Πρωτοσύγκελλος Χρύσανθος Κωνοφάσς. » 2
Κωνσταντῖνος Κοντογόνης Καθηγητὴς τῆς Θεολογίας. » 1
Νικόλαος Ἰ. Σαρίπολος Καθηγητὴς ἐν τῷ τοῦ Ὄθωνος Πανεπιστημίῳ. 3
Πέτρος Ἠπίτης Ἰατρός. » 1
Ἀνανίας Ἱερομόναχος Μενιδιώτης ἐκ τῶν κλειστῶν. » 1
Φιλόθεος Οἰκονομόπουλος. » 2
Κύριλλος Χαιρωνίδης. » 1
Κωσταντῖνος Γ. Βραχνός. » 1
Γεώργιος Γεννάδιός Γυμν. » 1
Ὁ αὐτὸς διὰ τὸν Δημήτριον Καραστάθην. » 1
Νικόλαος Χορτάκης. » 1
Ἰωάννης Ψαρᾶς. » 1
Χρῆστος Βάφας. » 1
Κωσταντῖνος Παπαῤῥηγόπουλος. » 1
Γεώργιος Ν. Οἰκονομίδης. » 1
Λύθος θεολ. καὶ φιλ. Δόκτωρ. » 1
Ἰ. Βλάκ. » 1
Ἀχελωΐδης Ἰατρός. » 1
Α. Καγκελλάρης. » 1
Νικόλαος Χαρμούκης. » 1
Ἠλίας Γ. Λύτσικας Ἱερεύς. » 1
Π. Λιβαδᾶς. » 1

Digitized by Google

Διονύσιος Χουντουμάδης. 1
Ἱερομόναχος Μακάριος Σώμ. παπᾶ Δημητρίου. » 1
Νικόδημος Ῥωμανίδης Ἀρχιμανδρίτης. » 1
Ἰωάννης Ἱερεύς Καραβέλας. » 1
Ἰωσὴφ Ταμπακόπουλος. » 1
Δημήτριος Κωνοφάος. » 1
Γεώργιος χ. Δημητρίου. » 1
Κ. Τ. Οἰκονομίδης. » 1
Δημήτριος Παντζῆς. » 1
Ἰωάννης Ν. Βάθης. » 1
Γρηγόριος Παπαδόπουλος. » 1
Ἰωάννης Ν. Κολέας ἐκ Βερατίου. » 1
Ἰωάννης Δ. Κρεμίτσου ἐκ Κυνουρίας. » 1
Ἰωάννης Πολίτης. » 1
Ἀθανάσιος Ἱερεὺς εἰς Δῆμον Λαυρίου. » 1
Ἰωάννης Ἱερεύς. » 1
Ἠλίας Ψαρᾶς Δημοδιδάσκαλος. » 1
Ἰωάννης Ἀναγνώστου. » 1
Γεώργιος Μ. Ἀνδρέου. » 1
Δημήτριος Ἰω. Σίνη. » 1
Ἀναστάσιος Ἱερεὺς ἐκ χωρίου Κουβαρᾶ. » 1
Ἰωάννης Ἱερεύς. » 1
Θ. Καισάμβας » 1
Ἐμμ. Δ. Καλέργης. » 1
Νικόλαος Παναγόπουλος » 1
Εὐγένιος Ῥωμανός. » 1
Ἀδριανὸς Γ. Βελίνης. » 1
Παναγιώτης Παπασπυρίδωνος. » 1
Δημήτριος Παππόπουλος. » 1
Κοσμᾶς Ν. Σιατήρης. » 1
Σπυ. Καλογερόπουλος Γερουσιαστής. » 1
Ν. Ῥενιέρης Γερουσιαστής· Σώμ. 1
Γ. Αἰνιάν Γερουσιαστής. » 1
Γ. Ψύλλας Γερουσιαστής » 1
Κ. Καστόρχης Ἱεροκῆρυξ. » 1
Πρωτοσύγκελλος Ἀμβρόσιος Φραντσῆς. » 1
Δανιὴλ Γεωργόπουλος Ἱεροκῆρυξ. » 1
Εὐγένιος Διογενίδης Σχολάρχης Τριπόλεως, » 1
Προκόπιος Οἰκονόμου Σχολάρχης Δημητσάνης. » 1
Ζ. Μαθᾶς Ἀρχιμανδρίτης. » 1
Ἀμφιλόχιος Γαρδέλης Ἱεροδιάκονος. » 1
Λύσανδρος Καυταντσόγλους. » 1
Ἄγγελος Δ. Καππώτας. » 1
Ῥήγας Κουρόπουλος. » 1

Οἱ Διδασκαλισταί.

Δῆμος Κωνσταντινίδης Εἰδυλλιεύς. » 1
Ἀθ. Φιλιππόπουλος. » 1
Χ. Παππαγεωργακόπουλος. » 1
Ἰω. Ἀντιβάσας Λάκων. » 1
Θεόδ. Παππαδόπουλος Δωριεύς. » 1
Σωτήριος Κούστας Νυμφάσιος. » 1
Γ. Πελέκης Θηρεύς. » 1
Ἐμμ. Γεωργιάδης Κρής. » 1
Ἰω. Σταγόπουλος. » 1
Θ. Βακαλόπουλος. » 1
Δ. Γιαννακόπουλος Μεσσήνιος. » 1
Εὐστ. Δημητριάδης. » 1
Δημ. Παναγόπουλος. » 1
Παναγ. Σπεράντσας, Σίφνιος. 1
Χρ. Α. Τριανταφύλλου Αἰ-

Digitized by Google

τωλός. Σώμ. 1
Ἰω. Βλαβιανὸς Ἀμοργῖνος. » 1
Παναγ. Παππακωνσταντίνου. » 1
Ἰω. Καρελᾶς Λάκων. » 1
Γεώργιος Βάος Μήλιος » 1
Ἀντ. Καμπάνης. » 1
Δημ. Ῥαβανόπουλος. » 1
Δ. Α. Χαριτόπουλος Ἠλεῖος. » 1
Κ. Δημητριάδης. » 1
Ν. Σταμπουλῆς. » 1
Τρ. Μανταφούνης. » 1
Γ. Λογοθέτου. » 1
Ἰω. Λαουτάρης. » 1
Ἀντ. Ῥεκλίτης. » 1
Ἰω. Ξυδάκης. » 1
Δημ. Ζαχαράκης. » 1
Γεώ. Καμπάνης Ἄνδριος. » 1
Γ. Παππακωνσταντίνου Θηβαῖος. » 1
Ἰω. Χρυσικόπουλος » 1
Γ. Κυριαζόπουλος. » 1
Γ. Κηρύκου. » 1
Μ. Σακόρραφος. » 1
Δ. Κορομβόκης. » 1
Γ. Σακελλαρίου. » 1
Ν. Δούκας, Λάκων » 1
Θ. Ν. Θεοδωρακόπουλος. » 1
Ν. Ἡλιόπουλος. » 1
Κωνστ. Πεπονόπουλος. » 1
Δημ. Ἀγγέλου Θηβαίου. » 1
Γεώ. Στάμου Διστομίτης. » 1
Ἰω. Γ. Παππαδόπουλος » 1
Νικ. Παππαμενουδάκης Μεσσήνιος. » 1
Γεώρ. Βλάχος. » 1
Θεόδωρος Σταθόπουλος. » 1
Π. Σεργάκης. » 1
Γοργίας Λάμπρου ἐξ Ἀταλάντης. » 1
Ἰω. Σωτηρόπουλος ἐξ Αἰτωλικοῦ. Σώμ. 1

Περικλῆς Κωνσταντινίδης. » 1
Συμεὼν Γεωργίου Ἱερεύς. » 1
Ἱερεύς Σταμάτιος Λίτσας. » 1
Παναγ. Κυλαβόπουλος. » 1
Χ. Βασιλειάδης. » 1
Μαρία Βοζάρδη. » 1
Κωνσταντῖνος Δημητρίου Δημοδιδάσκαλος Φυλῆς. » 1
Παντολέων Φελουζάκης Κρής. 1
Ἰω. Ἱερέως Ἰσιδώρου. » 1
Ἐμμ. Μανιτάκης. » 1
Θεόδωρος Κομνηνός. » 1
Δ. Σκαλιστήρης. » 1
Ι. Σισίνης. » 1
Π. Κάλκος. » 1
Θεόδωρος Κ. Παναγιώτου. » 1
Νικόλαος Δελιγιάννης. » 1
Γεώργιος Τζατύλας. » 1
Σ. Η. Μπαρότσης. » 1
Γ. Δούκας. » 1
Δημήτριος Παππαχιλάκης » 1
Π. Γ. Μέγκλης ἐξ Ἄστρους. » 1
Ἰω. Τρίμης Ἀθηναῖος » 1
Α. Ζ. Μάμουκας. » 1
Ἰωάννης Π. Κοκκώνης. » 1
Ν. Φλογαΐτης. » 1
Ι. Π. Γκινάκας. » 1
Π. Κλάδος, » 1
Νικόλαος Βαρούχας Κρής. » 1
Παρθένιος Περίδης. » 1
Στέφανος Βεριβιάδης. » 1
Ἰωάννης Μοάτσος. » 1
Ἀναγνώστης Ἀργυρίδου. » 1
Πορφύριος Ἱεροδιάκονος Νικολαΐδης. » 1
Εὐστράτιος Ι. Κλεόβουλος. » 1
Παΐσιος Ζ. Ἰωαννίτης. » 1

Digitized by Google

Στυλιανὸς παππᾶ Ἰωάννου. Σώμ. 1
Βαρθολομαῖος Σώτηριάδης. » 1
Ἀθανάσιος Κωνσταντίνου Σκαγιανόπουλος. » 1
Ἰωακεὶμ Μερσιάδης Ἱεροκῆρυξ. » 1
Ἀλέξανδρος Γ. Λυκούργου Σάμιος. » 1
Ἄνθιμος Ὀλύμπιος. » 1
Κυριακὸς Ἀλεξάνδρου Δημοδιδ. Πειραιῶς. » 1
Μαριγῶ Ἐμμ. Μαραντή. » 1
Παππᾶ Χαρίσης ἐφημέριος. » 1
Γεράσιμος Θεσσαλός. » 1
Ἄνθιμος ἱερομόναχος Χῖος. » 1
Γεράσιμος ἱερομόναχος ἐφημέριος. » 1
Κ. Δ. Ἀλεξανδρίδης. » 1
Παῦλος Σταυρόπουλος. » 1
Α. Θεοχάρης. » 1
Διὰ τὴν Βιβλιοθήκην Πειραιῶς. » 1
Α. Κοντοσταύλου. » 1
Γεώργιος Τριανταφύλλου δημοδ. Μεγάρων. » 1
Ἀντώνιος Α. Θηβαίου. » 1
Ἀναγνώστης Γαβρίλης ἐκ Διστόμου. » 1
Νικ. Παππαδόπουλος Δημοδ. Χαιρωνείας. » 1
Ἰωάσαφ Στάμου ἡγούμενος τῆς Μονῆς Μακαριωτίσσης τῆς ἐπαρχ. Θηβῶν. » 1
Δημήτριος Χληρὸς δημοδ. Θίσβης. » 1

Εὐβοίας.

Γεννάδιος Εὐσταθίου ἡγούμενος τῆς μονῆς Καρυῶν. » 1

Ναθαναὴλ Ἰωάννου. Σώμ. 1
Κωνσταντῖνος Α. Γουναρόπουλος. » 1
Παναγῆς Ἰωάννου Βιολίτου. » 1
Ἰωάννης Χ. Νικολάου. » 1
Γεώργιος Ἰωάννου Μαρῖνος Κυμαῖος. » 1
Ἰωάννης Μαῦρος. » 1
Νικόλαος Δημ. Νικολαΐδης » 1
Γεώργιος Π. Ῥοόνδος. » 1
Βελισσάριος Νικολαΐδης. » 1
Τὸ Δημοτικὸν Σχολεῖον Πολιτικῶν Χαλκίδος. » 1
Ἐμμ. Ἰ. Κριεζῆς δημοδ. Πολιτικῶν. » 1
Ἰωάννης Χρήστου Πιλιαφόπουλος. » 1
Μεθόδιος Δημου Χαλᾶς Ἱερομόναχος. » 1
Νεκτάριος Πασχάλης Ἱερομόναχος » 1
Γαβριὴλ Ἀρνάρης Ἡγούμενος. » 1
Παναγιώτης Χριστοδούλου. » 1
Ἰωσὴφ Μαῦρος σχολάρχης Χαλκίδος. » 1
Ι. Κ. Κοτζιᾶς- » 1
Ι. Χ. Μαδεμοχωρίτης. » 1
Χρ. Μυριανθούσης. » 1
Δ. Κωνσταντινίδης. » 1
Γεώργιος Ἰ. Μαντᾶς. » 1
Ἰωάννης Στυλιανιώτης. » 1
Μιχαὴλ Βοναφᾶς Δημοδιδάσκαλος. « 1
Γεώργιος Μανοῦσος Δημοδιδάσκαλος. » 1
Θ. Ἰ. Μαρίνου. » 1
Γεώργιος Ζαχαρόπουλος. » 1
Γεώργιος Ἀθανασιάδης ἐκ Ξηροχωρίου. « 1

Digitized by Google

Δημ. Κοντονικολάου. Σώμ. 1
Νικόλαος Γ. Δικαιοφύλακος Δημοδιδ. Αἰγαίων. » 1
Ἀναγνώστης Γεωργίου. » 1
Ν. Καραπιπέρης Δημοδιδ. Κονιστρῶν. » 1
Χ. Ν. Λιανόπουλος ὑπολοχαγός. » 1
Παπᾶ Ἰωάννης Π. Λουκᾶ. » 1
Δ. Κανελόπουλος δημοδιδ. Βασιλικοῦ. » 1
Κωνσταντῖνος Ἱερεὺς Σταματιάδης. » 1
Ιω. Στάμου δημοδ. Αὐλωναρίου. » 1
Παππᾶ Παναγιώτης Παππᾶ Ἀναστασίου. » 1
Παππᾶ Ἀναστάσιος Παππᾶ Βελισσαρίου. » 1
Ι. Τριανταφυλλίδης Δημοδ. Χαλκίδος. » 1

Φθιωτιδοφωκίδος.

Χ. Ἰακωβίδης Δημοδιδ. Ἀντικύρρας. » 1
Ἀθανάσιος Γ. Σῶπος Δημοδ. Κρίσσης. » 1
Δ. Χ. Πρίμας Δημοδ. Τολοφῶνος τῆς Δωρίδος. » 1
Τηλέμαχος Α. Σταθοτόπουλος. » 1
Ἰωάννης Ἀναγνωστόπουλος ἐκ Παλαιοσταρίου. » 1
Παναγιώτης Μανδανόπουλος. » 1
Κουμῆς Κωνσταντίνου. » 1
Δημ. Ἀθανασόπουλος ἐκ Περεθηωτίσσης. » 1
Ν. Ἀγκυστριώτης Δημοδ. Φαλάρων. » 1
Ν. Παππαθανασίου Δημοδ. Ὑπάτης. Σώμ. 1
Δημ. Οἰταιοκαρίδης. » 1
Γιαννούλης Πολυμερόπουλος. » 1
Κωνσταντῖνος Γεωργιάδης Δημοδ. Κρεμ. Λαρίσσης. » 1
Κώνστας Ν. Στάμος στρατιώτης τοῦ Δ' λόχου τοῦ Γ' τάγμ. τῶν ὁροφυλάκων. » 1
Κωνσταντῖνος Τσούκας ὡσαύτως. » 1
Π. Δαμισύνας ἐξ Ἴου. » 1
Ἰω. Ἀν. Βασιλειάδης ἐπιλοχίας τοῦ Γ' ἐλαφροῦ τάγμ. τῆς ὁροφυλακῆς. » 1
Χ. Α. Χατσόπουλος Δημ. Παρνασσίων. » 1
Δ. Θεοδωρόπουλος Δημοδ. Ἀμαλιοπόλεως. » 1
Ι. Καλαμίδας. » 1
Μαριγὼ Κουμπαρούτσου δημοδιδάσκαλος. » 1
Χριστοφ. Ἀλεξάνδρου εἰς Ἄμφισσαν. » 1
Δῆμος Κερκυραῖος. » 1
Ἀλέκος Σ. Δούκας. » 1
Γ. Τατήκας. » 1
Ζήσης Σκουμβουρδῆς. » 1
Ἀνδ. Φαρδῆς. » 1
Γεώργιος Κρίτσας, » 1

Λοκρίδος.

Ὁ Μητροπολίτης Λοκρίδος Ἀγαθάγγελος. » 1
Δημ. Τσαμόπουλος. » 1
Ὁ ἔπαρχος Λοκρίδος Ν. Π. Νάκος. » 1
Δημήτριος Καλογερόπου-

Digitized by Google

λος Γραμμ. τοῦ Δήμ. Λαρύμνης. Σώμ. 1
Ἰω. Σακελλαριάδης Δημοδ. » 1
Παππᾶ Γιάννης Σπεγκαίου. » 1
Παππᾶ Γκίκας Νικολάου. » 1
Σπυρίδων Κοντογεωργίου δημοδ. Αἰγιτίου. » 1

Αἰτωλακαρνανίας.

Γεώργιος Καβαδίας Δημοδ. Ναυπάκτου. » 1
Σπῦρος Παππαναστασίου Δημοδ. Ἀπεραντίων. » 1
Λουκᾶς Π' Ἰγγλέσης Δημοδ. Μεσολογγίου. » 1
Χρῆστος Μακρυνιώτης. » 1
Δ. Ζαννάτος ἐκ μεγάλης Λομποτινῆς. » 1
Παππᾶ Γεώργιος Γεδεὼν Δημοδ. Ἀρακυνθίων. » 1
Ἰω. Ἀθανασίου Οἰκονόμου Δημοδ. Θέρμου. » 1
Δημήτριος Δημητριάδου. » 1
Ἀναγνώστης Ἰωαννίδης. » 1
Σωτήριος ἱερεὺς Δημητριάδης. » 1
Δανιὴλ Γκολφῖνος. » 1
Ἰω. Χ. Γεωργόπουλος. » 1
Κωνσταντῖνος Μοτσορόπουλος. » 1
Κωνσταντῖνος ἱερεὺς Παππᾶ Σωτηρόπουλος. » 1
Δημήτ. Ν. Μπούας Δημοδ. Αἰτωλικοῦ. » 1
Δῆμος Ἀμπελογιάννης Ἱερεύς. » 1
Ἰωάννης Μακούλας Ἱερεύς. » 1
Ζαννέτος Σταμάτη ἔμπορος. » 1
Σπυρίδων Μπούας δημοδ. Ἀμβρακίας. Σώμ. 1
Νικόλαος Ἀθανασιάδης δημοδ. Καρπενησίου. » 1
Δ. Γαληνὸς δημοδ. εἰς Κρικέλλον. » 1

Ἀργολίδος.

Ἰωάν. Ἀξελός. » 1
Ἀ. Τζάννης Ἀντισυνταγματάρχης. » 1
Ἰ. Ἀ. Σκῆνος. » 1
Δ. Μακρογιάννης. » 1
Σ. Κυδωνάκης. » 1
Ἀ. Βαλῆς. » 1
Ἐλευθέριος Σχινᾶς ταγματάρχης. » 1
Γ. Κακαναράκης. » 1
Γ. Συναδινός. » 1
Ἰ. Κυμηνός. » 1
Ν. Ῥώμας. » 1
Ἰω. Κ. Τσάτσος. » 1
Ἰω. Γ. Γλαράκης. » 1
Ε. Φοντάνας Συνταγματάρχης. » 1
Π. Βασιλείου. » 1
Δ. Τριγγέττας. » 1
Σ. Μανούσης. » 1
Δ. Πονηρόπουλος. » 1
Γ. Μομφεράτος λοχαγός. » 1
Δ. Α. Π. Κλάδος. » 1
Βότζαρης. » 1
Βασιλικὴ Χ. Σισίνη. « 1
Ν. Μαράτος. » 1
Κ. Πετσάλης. » 1
Ε. Λουριώτης. » 1
Γ. Στεφανόπουλος. » 1
Λ. Λαμπρινός. » 1
Δελιγιάννης. » 1
Στ. Παππαδόπουλος ταγματάρχης. » 1

Digitized by Google

Κλεώπας.	Σώμ.	1	
Ι. Δαλλονᾶς.	»	1	
Α. Ῥικάκης.	»	1	
Θ. Μιχαλίδης.	»	1	
Π. Α. Κυπαρίσσης.	»	1	
Λυκούδης.	»	1	
Ἐλ. Πλατύκας.	»	1	
Σ. Β. Βασιλειάδης.	»	1	
Νικόλαος Ζανέζιος.	»	1	
Ἰ. Σ. Καλογερόπουλος.	»	1	
Β. Σαπουντζάκης ταγματάρχης.	»	1	
Ι. Γερανιώτης.	»	1	
Π. Κιάππας.	»	1	
Χ. Ζυμβρακάκης.	»	1	
Γεώργιος Ἰ. Κόντης.	»	1	
Σακελλάριος Μαγουλᾶς.	»	1	
Γρηγόριος Ἱερεὺς, Λευϊτικά.	»	1	
Σακελλίων Ῥώτας.	»	1	
Παππᾶ Ἀναστάσιος Ῥώτας.	»	1	
Ζωὴ Σακελλίωνος διδάσκαλος.	»	1	
Ἀθ. Γ. Δαῤῥωνᾶς ἐκ Μιδείας.	«	1	
Σύγγελος Διονύσιος Κρομμύθης.	»	1	
Παππᾶ Λουκᾶς Στρῖγγος.	»	1	
Παππᾶ Ἰωάννης Ῥομπότσης.	»	1	
Παππᾶ Γεώργιος ἐκ χωρίου Φοῦρνοι.	»	1	
Λουκᾶς Δ. Λουκᾶ.	»	1	
Γεώργιος Θεοδοσιάδης δημοδ. Σικυῶνος.	»	1	
Γεώργιος Ἐμμανουὴλ δημοδ. Ταινίας.	»	1	
Γεώργιος Νικολάου Ἱερεύς.	»	1	
Ἱερεὺς Ἀνδρέας Οἰκονόμου ἐν Ζαχόλῃ.	»	1	
Βησσαρίων Εὐσταθιάδης.	Σώμ.	1	
Σ. Δ. Ψάῤῥος.	»	1	
Νικόλαος Κυριακόπουλος.	»	1	
Ἱερεὺς Μενιτζέλος Κούστης.	»	1	
Μῆτρος Ἰω. Δοῦλκος.	»	1	
Ἱερεὺς Βασίλειος Μενιτζελίδης.	»	1	
Ἀθ. Παναγιωτόπουλος.	»	1	
Ἰω. Γ. Κυριακόπουλος.	»	2	
Ἀπόστολος Γεωργαντόπουλος.	»	1	
Χρ. Σ. Καλογερόπουλος.	»	1	
Ἀναγνώστης Κάσιος.	»	1	
Δ. Καλκάνης.	»	1	
Ἀθ. Δ. Πύῤῥου, δημοδ. Πυργέλας Ἄργους.	»	1	
Παππᾶ Γεώργης, Ἐφημέριος Πυργέλας.	»	1	
Δ. Μαριγὼ Φουντουλάκη, δημοδ. Ἄργους.	»	1	
Φηφὶ Δ. Καλλέργη.	»	1	
Εὐφ. Δ. Δεσύλλα.	»	1	
Ἰω. Ζουλουφιάδης.	»	1	
Ἀγγελικὴ Σ. Τσόκρη.	»	1	
Εὐστάθ. Νικολαΐδης.	»	1	
Νικόλαος Βουζιοῦκος δημοδ. Γλυπίας.	»	1	
Ἀναγνώστης. Κυριακόπουλος.	»	1	
Ἀναγνώστης Καλπέρης.	»	1	
Ἰω. Στ. Ναύτης.	»	1	
Κων. Ζαννιάδης δημοδ. Προνοίας.	»	1	
Σ. Καραγιαννακίδης Λέσβιος.	»	1	
Ἰω. Δ. Πάνος ἐξ Ἀγχιστρίου δημοδ. Κρανειδίου.	»	1	
Γεώργιος Νικολαΐδης.	»	1	
Σπυ. Καρασσόπουλος.	»	1	
Εὐθύμιος Βρυζάκης.	»	1	

Digitized by Google

Μ. Λύρης Δήμαρχος Μινώας. Σώμ. 1
Κυριακὸς Σγουρὸς. » 1
Ἐμμ. Παππαδάκης δημοδ. Μινώας. » 1
Γ. Πρωτοπαππᾶς. » 1
Ματθαῖος Ἱερεὺς Ματθαιουδάκης. » 1
Μάξιμος Ἱερομόναχος Παλαμιδίου. » 1
Ἰ. Κ. Σαρίδης δημοδ. Περαχώρας τῆς Κορινθίας. » 1
Ἰ. Παππαντωνίου Κοτσάκης. » 1
Σπυρίδων Ἀναζηρόπουλος. » 1
Ἐλευθέριος Παππᾶ Δημητρίου δημοδ. εἰς Κατούναν. » 1
Βενετσάνος Ἰατρίδης δημοδ. Λενιδίου. » 1
Μιχαὴλ Τροχάνης. » 1
Πανταζῆς Δολιανίτης. » 1

Ἀχαΐας καὶ Ἤλιδος

Ἡ τοῦ μεγάλου Σπηλαίου Μονή. » 1
Ὁ Καθηγούμενος Ἀρσένιος. » 1
Ὁ Προηγούμενος Δαμασκηνός. » 1
Ὁ Προηγούμενος Ἱερόθεος. » 1
Ὁ Προηγούμενος Γερμανὸς Περλέγκας. » 1
Ὁ Προηγούμενος Γεράσιμος. » 1
Ὁ Προηγούμενος Ἰωνᾶς. » 1
Ὁ Προηγούμενος Σαμουήλ. » 1
Σωφρόνιος ἐκ Ζαρούχλας. » 1
Διονύσιος Διαμαντάκης. » 1
Παφνούτιος Κορίνθιος Ἱερολοχίτης, » 1
Χρύσανθος Ῥηγόπουλος. » 1
Βησσαρίων Ἀγγελίδης. » 1
Γαβριὴλ Καρυτινός. Σώμ. 1
Γρηγόριος Καρζάκος ἐκ Περιστερᾶς. » 1
Στέφανος Ψίλος Σολεώτης » 1
Ἰωάσαφ Πνευματικός. » 1
Κοσμᾶς Πανάγου ἐξ Ἀνδρούσης. » 1

Πατρῶν.

Λάμπρος Γεωργακόπουλος. » 1
Μουτερίζης Γεώργιος. » 1
Ἀνδρέας Ῥηγόπουλος. » 1
Κωνσταντῖνος Παππάζογλους. » 1
Ἀριστείδης Κασημάτης. » 1
Α. Ῥαδινός. » 1
Γεώργιος Ἀθ. Γεράκης. » 1
Σ. Σταθόπουλος. » 1
Ἀριστοτέλης Τσάτσος. » 1
Ἰ. Ἀθ. Οἰκονομίδης. » 1
Σ. Πετζάλης. » 1
Θεμιστοκλῆς Οἰκονόμου. » 1
Μ. Βαχατόρης. » 1
Εὐστ. Παλαμᾶς. » 1
Χ. Ἀργυρόπουλος. » 1
Ἀνδ. Φακίρης. » 1
Ζαχαρίας Ἀναγνώστου. » 1
Δημοσθένης Γ. Γεωργίου. » 1
Θεόδωρος Ζίνης. » 1
Γ. Τριανταφυλλόπουλος. » 1
Πέτρος Δόξας. » 1
Θ. Χάμπας. » 1
Σ. Μ. Σβορῶνος. » 1
Ἐπαμ. Σπηλιωτόπουλος. » 1
Νικόλαος Ἰ. Τέκτων. » 1
Κωνσταντῖνος Στροῦμπος. » 1
Χαράλαμπος Γκίκας. » 1
Σ. Ἰ. Κασιμάτης, » 1
Γ. Σ. Οἰκονομόπουλος. » 1

Digitized by Google

Σ. Βλασόπουλος. Σώμ. 1
Εὐστ. Τσίπηρας. » 1
Γ. Α. Σακελλόπουλος. » 1
Κωνσταντῖνος Ν. Λάππας. » 1
Σ. Γερούσης. » 1
Κωνσταντῖνος Πατρινός. » 1
Νικόλαος Ἰ. Θαλασσινός. » 1
Δ. Γ. Ἀντωνόπουλος. » 1
Κωνσταντῖνος Παππασπυρίδης. » 1
Δημήτριος Μητσόπουλος Δημ. Πατρῶν. » 1
Πριντζόφιλος. » 1
Ἀγάπιος Παππᾶ Ἀποστόλου Δημοδ. Παρασκευῆς Αἰγίου. » 1
Πέτρος Ἱερεὺς Παππᾶ Χριστοδούλου. » 1
Ἀντώνιος Βασιλειάδης Δημοδ. Καλαβρύτων. » 1
Γεώργιος Σόλων Διδάσκαλος. » 1
Γεώργιος Σπηληωτόπουλος Διδάσκαλος. » 1
Δανιὴλ Λαυριώτης. » 1
Μακάριος Παππᾶ Δημητρίου Δημοδ. Ψωρίδος. » 2
Ἀναγνώστης Σακελλαρόπουλος. » 1
Καλλίνικος Ἡγούμενος τῆς Ἱερᾶς μονῆς Λαύρας. » 1
Ὁ Προηγούμενος Θεοφάνης. » 1
Ἀμβρόσιος Ἀθανασίου Ἱερομόναχος. » 1
Σαμουὴλ Μοναχός. » 1
Προκόπιος Παππᾶ Νικολάου. » 1
Ἀντώνιος Ἀντωνόπουλος Δημοδ. Κερτέζης. Σώμ. 1
Ἀναγνώστης Α. Σελλόπουλος. » 1
Ἰω. Δ. Πρινόπουλος. » 1
Σταμάτιος Ἱερεὺς Οἰκονόμος Λυκουρίας Δήμ. Κλείτωρος. » 1
Γ. Κωνστάκης. » 1
Σ. Ῥοδόπουλος. » 1
Ἀν. Κολιόπουλος. » 1
Θεόδωρος Ἱερεύς. » 1
Θεοδωράκης Κωνσταντόπουλος. » 1
Γεώργιος Κρόμμας. » 1
Κωνστ. Μακρόπουλος. » 1
Μῆτρος Μπουγιούκας. » 1
Ἀναγνώστης Παππαγγελόπουλος. » 1
Πᾶνος Ἀθανασίου. » 1
Γ. Παππαθανασόπουλος δημοδ. Λετρίνων. » 2
Κωνστ. Γιαννόπουλος » 1
Γεωρ. Νικολόπουλος δημοδ. Νωνάκριδος. » 1
Παναγιώτης Καρῖκος. « 1
Σωτήριος Πρινόπουλος δημ. Λαμπείας. » 1

Λακεδαίμονος.

Κωνσταντῖνος Στεφανίδης » 1
δημοδ. Σπάρτης. » 1
Ἠλίας Κοπανίτζας. » 1
Νικηφόρος Ἱερομόναχος. » 1
Εὐσάθιος Δ. Μαρκόπουλος. » 1
Νικόλαος Δοντόπουλος. » 1
Γ. Κριτσιλάκος δημοδ. Ἀρεοπόλεως. » 1
Δημ. Μ. Παππαδόπουλος Δημοδ. Βοιῶν. » 1
Παν. Ὀρφανὸς Δημοδ. Φά-

Digitized by Google

ριδος εἰς Παλαιοπαναγιάν. » 1
Ναθαναὴλ Ἱερομόναχος. » 1
Μιχαὴλ Π. Μωϋσάκης. » 1
Ἀθανάσιος Ἀδαμαντόπουλος. » 1
Γ. Θεοφιλάκης. » 1
Παΐσιος Ἱερομόναχος ἐκ τῆς μονῆς Ζερμπίτζας. » 1
Χρ. Κουμουτσίδης δημοδ. Ἀβίας. » 1
Ν. Παντόπουλος δημοδ. Βορδωνίας, » 1

Μαντινείας.

Καλλίνικος ἡγούμενος τῆς μονῆς Κανδύλας. » 2
Ὁ Δημοδ. Κανδύλας Γεώργιος Φουμάκης. » 1
Σπυρίδων Ἱερεὺς ἐκ τῆς Κανδύλας. » 1
Παν. Ἀναγνωστόπουλος. » 1
Σπυ. Σακελλαράκης δημοδ. Κολλίνων. » 1
Γεώργιος Ἱερεὺς Οἰκονόμου ἐκ Κολλίνων. » 1
Νικ. Ἱερεὺς Σταματόπουλος ἐκ Κολλίνων. » 1
Δημ. Ἰ Φιλάρετος δημοδ. Τεγέας. » 1
Κωνς. Ν. Μιχόπουλος δημοδ. Ὀρχομενοῦ τῆς Μαντινείας. » 1
Ἰ. Εὐς. Σπηλιόπουλος Γραμ. τῆς Ἐπαρχ. Γορτυνίας. » 1
Δημή. Χρυσαφόπουλος Κρής Οἰκονομ. Ἐφορ. τῆς Ἐπαρ. Γορτυνίας. » 3
Φώτιος Δάρας Ταμίας Γόρτυνος. » 2
Μιχαὴλ Ἀ. Ἰωαννίδης. » 1
Πουλίτζα Α. Δαρειώτου ἐκ Κορώνης. Σώμ. 1
Εὐς. Σπυράκης Δημοδ. Γόρτυνος. » 1
Πέτρος Παπαηλιόπουλος ἐκ Γρανίτσης τῆς Γορτυν. » 1
Παναγ. Ἀθ. Τσεκούρας δημοδ. Κλειτορίας τῆς Γορτ. » 1
Πολυχρόνιος Ἱερεὺς Πολυχρονόπουλος. » 1
Κωνσταντῖνος Ἱερεὺς Ἀναστασόπουλος. » 1

Μεσσηνίας

1. Γ. Μητρόπουλος δημοδ. Πύλου. » 1
Ἀθ. Κωσταντινίδης. » 1
Ἀδαμ. Ἰωαννίδης Δημοδ. Παμίσου. » 1
Εὐς. Ἱερεὺς Πρωτοπαππᾶς. » 1
Βησσαρίων Ἱερομόναχος. » 1
Νικ. Κ. Μουσχούλης ἐξ Ἀγουλινίτσης τῆς Ὀλυμπίας. » 1
Νικ. Δ. Μουσχούλας. » 1
Γ. Ἀποστολίδης Δημοδ. Ἀνδριτσαίνης. » 1
Π. Κ. Σαρδέλης ὡσαύτως. » 1
Γιαννάκα Ν. Τσανέττου. » 1
Γ. Ἀδαμίδης. » 1
Πέτρος Κανελλόπουλος » 1
Γεώργιος Χριστόπουλος. » 1
Φώτιος Πητήρης. » 1
Δημ. Α. Μοσχούλας. » 1
Κ. Κανελλόπουλος δημοδ. Μεθώνης. » 1
Γεώ. Παπαντωνίου Κωτσιάκης δημοδ. Οἰχαλίας. » 1
Παναγ. Παππασαραντόπουλος. » 1
Μ. Πολυμενάκης δημοδ.

Digitized by Google

Εὔας. Σώμ. 1
Ἰ. Παππατσόνης. » 1
Παππᾶ Εὐστάθιος. » 1
Φωτεινὸς Κωσταντόπουλος. » 1
Παναγ. Παππᾶ Βασιλείου. » 1
Πολυξένη Λυκάκη, δημοδ. Καλαμῶν. » 1
Χρῆστος Νικολάου. » 1
Ἀ. Μαυρομιχάλης. » 1
Παναγ. Δ. Ἀλούπης. » 1
Θ. Μαρκόπουλος. » 1
Γ. Μιχᾶλος. » 1
Β. Καπετανάκης. » 1
Πανάρετος Ἀγγελόπουλος. » 1
Στ. Καπετανάκης. » 1
Γεώρ. Π. Καπετανάκης. » 1
Ἀγγελικὴ Α. Ἀναγνωσταρᾶ. » 1
Καλλιῤῥόη Ἰ. Κυριακοῦ. » 1
Τὸ Δημοτικὸν σχολεῖον Καλαμῶν. » 1
Δ. Γιάννουκλας, δημοδ. Καλαμῶν. » 1
Ν. Ἰ. Παππαμανόλης. » 1

Σύρου.

Ὁ Σεβασμ. Μητροπολίτης Κυκλάδων Κ. Δανιὴλ. » 15
Δανιὴλ Ἀστράγαλος. » 1
Μ. Καλλιάρχης. » 1
Π. Γεώργιος Γρυπάρης. » 1
Ἄνθιμος Καλογιάννης » 1
Σεραφὶμ Λευκόκυλος. » 1
Γεδεὼν Μενεάκης. » 1
Θεοφάνης Πολεάνης. » 1
Μιχαὴλ ἱερεὺς Χειμώνας. » 1
Δανιὴλ Χ. Θεοφίλου. » 1
Φιλόθεος Εὐθυμίου. » 1
Γρηγόριος Βαρούχας. » 1
Ἀρχιμανδρίτης Ἄνθιμος. » 1
Πρωτοπαππᾶς Μυκόνου Αὐξέντιος. 1
Παππᾶ Ζαχαρίας Καραγιαλῆς. Σώμ. 1
Μάξιμος Ἱερομόναχος. » 1
Σακελλίων Ἀγάπιος. » 1
Νεόφυτος Φωκᾶς. » 1
Ἀρχιμανδρίτης Διονύσιος Παρίσης ἐκ Τήνου. » 1
Α. Τριαντάφυλλος Δημοδ. Ὑρίας ἐν Νάξῳ. » 1
Ν. Χ. Ἰωάννου Δημοδ. Σκύρου. » 1
Γεώργιος Σουρίας Καθηγ. ἐν τῷ γυμνασίῳ Σύρου. » 1
Γ. Σερούϊος Γυμνασιάρχης Σύρου. » 1
Ἴλνερ. » 1
Ι. Ν. Βαλέτας. » 1
Π. Ἐφραιμίδης. » 1
Ν. Φαρδούλης Καθηγητής. » 1
Θ. Μαισχίνης. » 1
Κ. Χαρίλαος. » 1
Δημ. Δούκα. » 1
Σολομῶν Νικολαΐδης Κύπριος. » 1
Δημήτριος Δουραμάνης. » 1
Ι. Γ. Καράλης. » 1
Ἐμ. Α. Στεφανάκης. » 1
Δημ. Στεργίου. » 1
Ἐμ. Μαγκάκης. » 1
Θεμ. Καλομενόπουλος. » 1
Γεώργιος Φραγγούλης. » 1
Ι. Κ. Βλαστός. » 1
Ἑλένη Δημητριάδου Δημοδιδ. Σύρου. » 1
Ἀργυρῆ Ἀναγνωστάκη. » 1
Γ. Ῥοδίτης δημοδ. Κωμιακῆς τῆς Νάξου. » 1
Ἰωάν. Ν. Ὀλύμπιος δημοδ. Πάρου. » 1

Digitized by Google

Φ. Λιμπρίτης δημοδ. Ἰου. Σώμ. 1
Δ. Βενέρης Πρωτοσύγγελος. » 1
Α. Σομαρήπας ὑγειονομολιμενάρχης Ἴου. » 1
Ζαχαρίας Σαλουστρίδης. » 1
Δ. Ἰ. Ἀγγελόπουλος δημοδ. Καλλίστης ἐν Θήρᾳ. » 1
Ἄγγελος Ν. Ἀγγέλου. » 1
Γ. Ζανάκης δημοδ. Καλλίστης ἐν Θήρᾳ. » 1
Ἰγνάτιος Ἱερομόναχος Πρωτοσύγγελος. » 1
Κύριλλος Ἱερομόναχος Ἰακώβου Μπάλμπας. » 1
Ἰωάννης Ἀσημῆς δημοδ. Θήρας » 1
Ζάννης Δεϊμέζης. » 1
Γάσπαρος Συρῖγος. » 1
Κωνσταντῖνος Πετρακάκης δημοδ. Κορθίου τῆς Ἄνδρου. » 1
Π. Γεωργαντόπουλος δημοδ. Πανόρμου τῆς Τήνου. » 1
Λάζαρος Παλαμάρης ἱερεύς. » 1
Νικόλαος Λούβαρης δημοδ. Τήνου. » 1
Α. Βουρδουμπάκης δημοδ. Κέας. » 1
Μαριγὼ Ν. Πλέκα. » 1
Ἰ. Χωματιανὸς δημοδ. Ὕδρας. » 1
Ἀναστάσιος Κ. Ταπεινός. » 1
Ζωήτσα Ἰ. Γκίκα δημοδ. Ὕδρας. » 1
Παῦλος Πέππας δημοδ. Αἰγίνης. » 1
Οἰκονόμος Τήνου Φιλόθεος. » 1
Διονύσιος Ἱερομόναχος Κεῖος. » 1
Εἰρήνη Μοσχάτου. » 1
Ἰωσὴφ Πλυτᾶς. » 1
Γεώ. Βασιλείου Ψάλτης. Σώμ. 1
Ἱερεὺς Ἀνδρέας Σοφιανός. » 1
Ἀθαν. Παππᾶ Κώστας δημοδ. Σκιάθου. » 1
Δημ. Κυδωνιώτης δημοδ. Σκοπέλου. » 1
Ὁ Πρώην Σάμου Θεοδόσιος. » 1
Εὐσ. Πετρίδης Ἔπαρχος Σκοπέλου. » 1
Νικόλαος Σταγειρίτης ὑγειονόμος Σκοπέλου. » 1
Κυριακὸς Κωνσταντίνου. » 1
Γρηγόριος Μίτας Ἱερομόναχος Ἑλληνοδιδ. » 1
Δημή. Ἀποστολόπουλος. » 1
Δαμασκηνὸς Ἱερομόναχος. » 1
Πολυμ. Εὐσ. Παππαδόπουλος, δημοδ. εἰς Καινούριον τοῦ δήμου Θρονίου τῆς Λοκρίδος. » 1

Πόρου.

Τὸ Μοναστήριον τῆς Ζωοδόχου Πηγῆς. » 2
Ὁ Ἡγούμενος Ἰγνάτιος Ἱερομόναχος. » 1
Ὁ Προηγούμενος Νικηφόρος. » 1
Πελάγιος Ἱερομόναχος. » 1
Νεῖλος Μοναχός. » 1
Ἀθανάσιος Ἱερεὺς Σακελλίων. » 1
Εὐγένιος Ἱερομόναχος ἐκ τῆς ἐν Ἄνδρῳ μονῆς. » 1
Βασίλειος Ἱερεὺς Σακελλαρίδης. » 1
Παρθένιος Ἱερομόναχος Τσεβαΐρης Ἀθηναῖος » 1
Χριστόδουλος ἱερεὺς παππᾶ Δημητρίου. » 1
Γεώργιος Σπυρίδων Κριεζῆ. » 1

Digitized by Google

Γεώργιος Πτ. Κυριακοῦ. Σώμ. 1
Χ. Ἰ. Δροσινὸς Ἰατρός. » 1
Δημήτριος Στ. Οἰκονόμου. » 1
Κων. Λογοθέτης Δουζίνας. » 1
Ἀναγ. Δ. Λογοθέτου. » 1
Γεώργιος Στ. Θεοφάνη. » 1
Π. Ἀνδριανόπουλος γραμ. τοῦ Εἰρηνοδ. Πόρου. » 1
Δ. Παππαδῆμος. » 1
Κ. Κασινάρης. » 1
Κ. Στ. Οἰκονόμου. » 1
Κ. Γ. Δουζίνας. » 1
Νικολαΐδης δημοδ. Τροιζῆνος. » 1
Ἰάκωβος Ἰωαννίδης δημοδ. » 1
Παρασκευὴ Ν. Πραγματάρη δημοδ. Τροιζῆνος. » 1
Ἀθανάσιος Παππᾶ Χριστοδούλου δημοδ. Δρυόπης » 1
Ἀντώνιος Ψαρουδάκης, φαρμακοποιός, » 1
Κ. Κιζάννης, φαρμακοποιός. » 1
Ὁ Πλοίαρχος Ἰωάννης Νικοδήμου. » 1
Νικόλαος Πιπίνου. » 1
Ἀναστάσιος Β. Ἀντωνάκης. » 1
Βασίλειος Σούρμπας. » 1
Δ. Ἰ. Κιζάνης· » 1
Α. Δουζίνας Κυριακούλης. » 1
Α. Παππᾶ Σωτηριάδης. » 1
Δ. Χούντας ἐκ Μεθάνων. » 1
Κων. Οἰκονομίδης. » 1
Ἀναγν. Πτ. Ἀντωνίου Χῖος. » 1
Ἀ. Ἰω. Δ. Παναγιώτου. » 1
Πέτρος Γ. Πρωτοπαππᾶ. » 1
Ἀνδρέας Δερβενιώτης. » 1
Ἀναγν. Πτ. Ἀντωνίου. » 1
Νικόλαος Κοφινᾶς· » 1
Ἀνδρέας Μάνεση. » 1
Μάνθος Μάνεση. » 1

Κρήτης.

Ὁ Θεοφ. Ἐπίσκοπος Κυδωνίας καὶ Κισάμου Κ. Κάλλιστος. Σώμ. 3
Ὁ Πρωτοσύγγελος αὐτοῦ Νικόδημος. » 1
Ἡ ἐφορεία τῶν Ἐκπαιδ. καταστημάτων. » 3
Ὁ Σχολάρχης τῆς Ἑλλ. Σχολῆς Μ. Οἰκονομίδης. » 1
Ὁ Διδάσκαλος τῆς Ἑλλ. Σχολῆς Ν. Μαραθάκης. » 1
Ὁ Δημοδ. Γ. Χ. Ψαρουδάκης. » 1
Ἡ Διδάσκαλος Κυρία Ἀσπασία Γεωργίου. » 1
Ὁ ἐξ. Ἰ. Ζερβάκης Ἰατρὸς ἔφορος. » 2
Ἐμμ. Κασιμάτης ἔφορος. » 1
Ἀνδρέας Ἀνδρουλινάκης ἔφορος. » 1
Ἀλέξιος Ἀθανασίου ἔφορος. » 1
Ἰω. Μπογιατσόγλου. » 1
Γεώργιος Φουλάκης. » 1
Ἐμμ. Μοάτσος. » 1
Σόλων Ἀποστολίδης. » 1
Ἀθαν. Γ. Πλοῦμ. » 1
Ἰω. Α. Μαυρουλιανός. » 1
Γεώργιος Ἰω. Ῥενιέρης. » 1
Ἀναστασία Γερακάκη. » 1
Κωνστ. Σπανούδης. » 1
Χ. Παπαδάκης. » 1
Γεώργιος Πλατύ. » 1
Ἀδελφοὶ καὶ Σιδηράκη. » 1
Κωνστ. Μαλτσάκης. » 1
Ἀλέξιος Ψαρουδάκης. » 1
Ἰωάννης Περοκίδης. » 1

Digitized by Google

Χριστόφορος Παπαδάκης. Σώμ. 1
Χ. Θεόδωρος Μαρκίδης. » 1
Μερκούριος Μαλατάκης. » 1
Ἰω. Γ. Μιτσοτάκης. » 1
Γεώργιος Ἀλφιέρης. » 1
Ἰω. Παπαδάκης. » 1
Ἀναγν. Γ. Μαρκίδης. » 1
Ἀναγν. Σταυρούδης. » 1
Ὁ Ἡγ. τῆς μονῆς τῆς Ἁγ. Τριάδος Συμεών. » 1
Ὁ Κ. Ἀνανίας. » 1
Ὁ Κ. Δαμασκηνὸς διδάσκαλος. » 1
Ὁ Κ. Γεράσιμος Ἱερομόναχος. » 1
Ὁ Κ. Ζαχαρίας διδάσκαλος. » 1
Ὁ Ἡγ. τῆς Ζωοδόχου Πηγῆς Ἄνθιμος. » 1
Θ Ἡγ. τῆς μονῆς Γουβερνέτου Ἰωσήφ. » 1
Ὁ Προηγούμενος Χρύσανθος. » 1
Ὁ Κ. Παρθένιος Φιλιππίδης. » 1
Ὁ τῆς ἁγίας Μονῆς προηγούμενος Στέφανος. » 1
Τὸ μοναστήριον τῆς ἱερᾶς μονῆς Γωνίας. » 2
Παρθένιος Προηγούμενος. » 1
Νεόφυτος Ἱερομόναχος Σελινιώτης. » 1
Μισαὴλ Ἱερομόναχος. » 1
Σεραφὶμ Ἱερομόναχος. » 1
Μελέτιος Ἱερομόναχος. » 1
Δωρόθεος Μουσικός. » 1
Στέφανος Ι. Ψαρουδάκης. » 2
Γεώργιος Μεσαρχάκης. » 1
Ὁ Θεοφιλ. Ἐπίσκ. Ῥεθύμνης καὶ Αὐλοποτάμου Κύρ. Καλλίνικος. Σώμ. 3
Τὸ Ἑλλ. Σχολεῖον Ῥεθύμνης. » 1
Ὁ Σχολάρχης αὐτῆς Δωρόθεος. » 1
Ὁ ἀλληλοδιδ. αὐτῆς Μ. Χ. Πετυχάκης. » 1
Κ. Μαρουλιανός. » 1
Ν. Χ. Κωνσταντίνου. » 1
Ἰωάννης Δροσάκης. » 1
Ζωρζάκης Παπαδάκης. » 1
Ὁ Σκευοφύλαξ Γεράσιμος. » 1
Ὁ Ἡγούμενος Δαμιανός. » 1
Συμεὼν Ἱερομόναχος. » 1
Ἰάκωβος Ἱερομόναχος. » 1
Μελέτιος Ἱερομόναχος. » 1
Νέστωρ Ἱερομόναχος. » 1
Μελέτιος Ἱερομόναχος. » 1
Ὁ Ἡγούμενος Μελέτιος. » 1
Ἀνδρέας Σεγουντσῆς. » 1
Ν. Πιστάκης » 1
Γεώργιος Σαριδάκης. » 1

Κύπρου.

Ὁ Μακαριώτατος Ἀρχιεπίσκοπος Κ. Ἰωαννίκιος. » 2
Ὁ Πανιερ. Μητρ. Πάφου Κ. Χαρίτων. » 1
Ὁ Πανιερ. Μητρ. Κιτίου Κ. » 1
Ὁ Πανιερ. Μητρ. Κυρηνίας Κ. Χαρίτων. » 1
Ὁ Σ. Ἀρχιμανδρίτης τῆς Ἀρχιεπισκοπῆς Κύπρου. » 1
Μάρκος Περιστιάνης Πρόξενος τῆς Σουηκίας. » 1
Γεώργιος Γλυκὺς Ἀρχιδημογέρων Κύπρου. » 1

Digitized by Google

Ὁ Ἑλλ. Διδ. Κ. Ὀνούφριος. Σώμ. 1
Παῦλος Βαλσαμάκης Ἰατρός. » 1
Γεώργιος Τελεβάντος. » 1
Δημήτριος Θεμιστοκλῆς. » 1
Λογιζῆς Κραμβῆς. » 1
Π. Παῦλος Βενδιτσιάνος. » 1
Νικόλαος Δ. Φραγκούδης. » 1
Δημήτριος Πιερίδης. » 1
Κυπριανὸς Οἰκονομίδης. » 1
Ἰωάννης Ἰατωνίδης. » 1
Γεώργιος Σιβιτανίδης. » 1
Ἀδελφοὶ Λογίζου καὶ Σα. » 1
Γεώργιος Πελαβάκης. » 1
Ἀλέξ. Γ. Κυλβελίδης. » 1

Κεφαλληνίας.

Ὁ Πανιερ. Μητρ. Κεφαλ. Κ. Σπυρίδων καὶ ἔξαρχος. » 2
Ν. Ἱερεὺς Μαντσαβῖνος Ἱερογραμματεύς. » 1
Παναγῆς Ἱερεὺς Ματσούκης. » 1
Γεράσιμος Ἀρχιδ. Μαντσαβῖνος. » 1
Χρύσανθος Ἱερομ. Ῥαζῆς Σακελλίων. » 1
Γεράσιμος Ἱερεὺς Σιμάτος. » 1
Χρύσανθος Ἱερομ. Βαλσάμος. » 1
Ἰωάννης Δ. Χωραφᾶς. » 1
Κωνστ. Εὐσταθιάδης Μεταξᾶς. » 1
Γεράσιμος Τυπάλδος Μαράτος. » 1
Γεώργιος Ἱερεὺς Χωραφᾶς Ῥακαντσῆς. » 1
Ἰω. Ἄννινος. » 1
Βασίλειος Δ. Πανᾶς. » 1

Ἠλίας Ῥαζῆς Λουκάτος. Σώμ. 1
Ε. Χουρμουζιάδης. » 1
Δημ. Μιλλιαρέσης. » 1
Δημ. Πινιατόρος. » 1
Κωνστ. Μ. Φωκᾶς. » 1
Νικόλαος Μεταξᾶς Τσανάτης. » 1
Μιχαὴλ Τυπάλδος Ξυδιᾶς. » 1
Παναγῆς Λουβέρδος Ασκαράτος. » 1
Διονύσιος ἱερεὺς Λουβέρδος. » 1
Γεράσιμος Λουβέρδος Δοτοράτος. » 1
Ἠλίας ἱερεὺς Ἀλιπράντης. » 1
Διονύσιος Ἱερομ. Δελλαπόρτας. » 1
Νικόλαος Α. Κοντομίχαλος. » 1
Ἰωάννης Μεταξᾶς Ἱερομόναχος. » 1
Χριστόδουλος Ἱερομόναχος Μηνιάτης. » 1
Ἀγάπιος Ἱερομόναχος ὁ Μήλας. » 1
Σπυρίδων Ἱερομόναχος ὁ Βεργοτῆς. » 1
Παρθένιος Ἱερομόναχος ὁ Καλλιγᾶς. » 1
Βασίλειος Ἱερομόναχος ὁ Σάρλος. » 1
Παρθένιος Ἱερομόναχος ὁ Μηχαλιτζιάνος. » 1
Γεώργιος Ἱερεὺς ὁ Ῥυζάντιος. » 1
Παναγῆς Ἱερεὺς ὁ Ματζούκης. » 1
Εὐαγγελινὸς Ἱερεὺς ὁ Ποταμιάνος. » 1
Μαρῖνος Ἱερεὺς ὁ Βάργας. » 1
Μιχαὴλ Ἱερεὺς ὁ Κούπας. » 1
Γεράσιμος Ἱερεὺς ὁ Πανᾶς. » 1

Digitized by Google

Ἀνδρέας Ἱερεὺς ὁ Βέλσης. Σώμ. 2
Παῦλος Ἱερεὺς ὁ Σβορῶνος. » 2
Παναγῆς Ἱερεὺς ὁ Σβορῶνος. » 1
Σπυρίδων Ἱερεὺς ὁ Φασώης. » 1
Γεώργιος Ἱεροδιάκονος ὁ Καλλιγᾶς. » 1
Γεώργιος Ἱεροδιάκονος ὁ Σάρλος. » 1
Θωμᾶς Ἱεροδιάκονος ὁ Ῥουμβάτος. » 1
Ἰωάννης Ἱεροδιάκονος ὁ Κατζαΐτης. » 1
Διονύσιος Ἱεροδιάκονος ὁ Ζακυνθινός. » 1
Γεράσιμος Ἀναγνώστης Μαράτος. » 1
Παναγῆς Ἀναγνώστης Πυλαρινός. » 1
Διονύσιος Κονιδάρης. » 1
Γεώργιος Π. Μοντεσάντος. » 1
Βίκτωρ Σ. Χοϊδᾶς. » 1
Νικόλαος Α. Μελισσινὸς Λάσκαρης. » 1
Εὐαγγέλης Τυπάλδος Δοτοράτος. » 1
Φώτιος Χ. Μουδηλᾶς. » 1
Γεράσιμος Φωκᾶς Πε· Θεοδώρου. » 1
Σπυρίδων Ι. Κομποθέκρας. » 1
Σταῦρος Μ. Ἰγγλέσης. » 1
Παναγῆς Ἰγγλέσης. » 1
Γεώργιος Ἰγγλέσης. » 1
Νικόλαος Γ. Ἰγγλέσης. » 1
Χριστόδουλος Βαλσαμάκης. » 1
Ἰωάννης Ν. Κουντούρης. » 1
Ἀναστάσιος Γ. Καλλιγᾶς. » 1
Νικόλαος Ἱερεὺς ὁ Δρακοντίδης. » 1
Ὁ Υἱὸς αὐτοῦ Ἀνδρέας Δρακοντίδης. Σώμ. 2

Κερκύρας.

Ὁ Πανιερ. Μητροπ. Κερκύρας Κ. Χρύσανθος. » 2
Ἀθανάσιος Πολίτης Πρωτοσύγγελος. » 1
Φώτιος Ἱερεὺς Κάντας Ἀρχιμανδρίτης. » 1
Παντελῆς Λ. Διλμπέρογλους. » 1
Βασίλειος Μῶρος Ἱερεύς. » 1
Σπυρίδων Στεργὸς Ἱερομόναχος. » 1
Φιλόθεος Καρύδης Ἱερομόναχος. » 1
Ἰωάννης Ἱερομόν. Σκαλτσούνης. » 2
Οἱ Ἱεροσπουδασταί. Νικ. Κεφαλληνός. » 1
Ἀντώνιος Στραβοπόδης. » 1
Ἀθανάσιος Μπονσινιόρ. » 1
Γαβριὴλ Στρατσάλης. » 1
Κωνσταντῖνος Κούρτας. » 1
Θεαγένης Λειβαδᾶς. » 1
Χαραλάμπης Καροῦσος. » 1
Δημητρ. Καβάσιλας. » 1
Ἀλέξανδρος Πιέρης Χαλικιόπουλος. » 1
Παῦθένιος Ἱερομόναχος Βριώνης. » 1
Κων. Ἀρχιδιάκονος Καβαδίας. » 1
Σπυρίδων Μαγνιαρίζης ἀναγνώστης. » 1
Ἐλευθέριος Ἰωάννου. » 1

Λιβύρνου.

Κων. Τοσήτσας Πρό-

Digitized by Google

ξενος τῆς Α. Ἑλλ. Μ. Σώμ. 4
Μανουὴλ Παντολ. Ῥοδοκανάκης. » 1
Παῦλος Π. Ῥοδοκανάκης. » 1
Ζ. Μ. Μαυρογορδάτος. » 1
Ἰωακεὶμ Βαλαμόντες, ἐφημέριος τῆς ἐκκλησίας. » 1
Μεθόδιος Θεοδωρίδης, ὡσαύτως. » 1
Ἠλίας Λ. Πανᾶς. » 2
Ἰωάννης Σαλματανάκης. » 1
Ἀναστάσιος Δεσπότης Μονοπινιώτης. » 1
Ἰωάννης Γ. Καρατσᾶς. » 1
Στέριος Εὐθυμιάδης. » 1
Στ. Βαρδάκης. » 1
Νικ. Ζ. Μιταράκης. » 1
Δημήτριος Σατζελῆς. » 1
Ἀ. Γιάμαρης. » 1
Ἀπόστολος Ν. Μυλωνᾶς. » 1
Νικόλαος Σέτερης. » 1
Γεώργιος Κουτουφᾶς. » 1
Δημήτριος Ζαννετόπουλος. » 1
Ἀντώνιος Κοντογούρης. » 1
Διονύσιος Κ. Τσερώνης. » 1
Εὐθύμιος Α. Γρίβας. » 1
Ἀντώνιος Ῥίζος. » 1
Ἰωάννης Μαργαρίτης. » 1
Γεώργιος Χ. Παχώμης. » 1
Ἀνδρέας Π. Πουλιέζος. » 1
Ε. Σεβαστόπουλος. » 1
Ἰω. Βαφιαδάκης. » 1

Λειψίας.

Ὁ Ἀρχιμανδρίτης Κ. Γρηγ. Ἀγαθόβουλος. » 2
Ὁ Κ. Διονύσιος Κλεώπας. » 1
Ὁ Κ. Κωνσταντῖνος Παππιᾶ. » 2

Μασσαλίας.

Ὁ ἐφημ. τῆς ἐκκλησίας Κ. Γρηγόριος Φωτεινός. Σώμ. 5
Ὁ ἐφημ. τῶν ἐν Μελίτῃ ὀρθοδόξων. 1

Τεργέστης.

Ἡ ἑλληνικὴ Κοινότης. » 3
Ἀμβρόσιος Σ. Ῥάλλης. » 1
Μιχαὴλ Δ. Ἀποστολόπουλος. » 1
Ἀντώνιος Δημητρίου. » 1
Ὁ Ἀρχιμανδ. Ἰγνάτιος Θεολογίτης. » 2
Ὁ Ἱεροδιάκονος Γρηγόριος Ψαλτάκης. » 2
Θεοδόσιος Περγαμηνὸς διδάσκαλος. » 1
Θεόδωρος Δούμας. » 1
Γεώργιος Φ. Μανούσης. » 1
Ἰωάννης Σκαραμαγκᾶς. » 1
Ἰωάννης Γ. Χ. Κώνστα. » 3
Δημήτριος Προκοπίου Καρτσιώτης. » 1
Διονύσιος Μανέτας. » 1
Γεώργιος Γ. Χ. Κώνστα. » 1
Χαράλαμπος Π. Μητρόπουλος. » 1
Ἀναστάσιος Μηκώνιος. » 1
Σπήλιος Μέγαρης. » 1
Γεώργιος Πατούνας. » 1
Διονύσιος Ῥωσσιάδης. » 1
Δημήτριος Δουραμάνης. » 1
Ἰωάννης Κουνενίδης. » 1
Ἀθανάσιος Μεντσέλος. » 1
Κων. Ποτηρόπουλος. » 1
Μίνως Κοσκολέκας. » 1
Ἀριστείδης Κοσκολέκας. » 1
Ἀπόστολος Μαντσούφας. » 1
Διαμάντης Κουφαριώτης. » 1
Δημήτριος Κουβαρᾶς. » 1

Digitized by Google

Δαμήτριος Γ. Πυριάκος. Σώμ. 1
Κων. Κολλόκας. » 1
Θεόδωρος Γέγης » 1
Δημήτριος Χασάπης. » 1
Ἐμμ. Μελιγγός. » 1
Ἀπόστολος Δ. Τριανταφύλλου. » 1
Γεώργιος Γέγης. » 1
Μιχαὴλ Γ. Γαλάτης. » 1
Ἰωαννης Σαραγιάννης. » 1
Ζ. Μ. Ἀπαλύρας. » 1
Λεονῆς Τσιτσεκλῆς. » 1
Μ.Α. Ῥοδοκανάκης. » 1
Μιχαὴλ Δέλτας. » 1
Ἰωάννης Ἀνδρεάδης. » 1

Βιέννης.

Ἡ ἐθνικὴ Ἑλληνικὴ σχολή. » 10
Ὁ Ἀρχιμ. Κ. Κοσμᾶς Β. Λιβερόπουλος. » 2
Προκόπιος Γεωργιάδης. » 2
Ὁ ἐν Ἰασίῳ μέγας Βαρνικος Κ. Θεόδ. Γκίκας. » 10
Νικόλαος Μαντσουράνης. » 2
Δημήτριος Τύρκας. » 2
Θεόδωρος Τουσίτζας. » 2
Μιχαὴλ Δούμπας. » 2
Θεόδωρος Δούμπας. » 3
Νικόλαος Δούμπας. » 2
Ἀλέξανδρος. Δ. Ξάνθος. » 1
Ἐφραὶμ. Ἰ Γερμάνης. » 2
Νικόλαος Μ. Γκιούκα. » 2
Δημήτριος Ν. Γερμάνης. » 1
Μενέλαος Ν. Γερμάνης. » 1
Πέτρος Γ. Τσιχάνης. » 1
Σίμων Γ. Τσιχάνης. » 1

Τραπεζοῦντος.

Ὁ Πανιερ. Μητρ. Τραπεζοῦντος Κ. Κωνσάντιος. » 4

Γρ. Π. Ξανθόπουλος. Σώμ. 1
Π. Γ. Παπαδόπουλος. » 1
Ἀθ. Ἰ. Ἀθανασάντης. » 1
Πλάτων Ν. Παρασκευᾶ. » 1
Ν. Γ. Γεμουρίτης. » 1
Ἑλ. Χ. Ἰ. Δομνηνός. » 1
Γεώργιος Εὐθυμίου Εὐμηρίδης. » 1
Γρ. Γ. Καρπούζηλος. » 1
Γρ. Δ. Γιαννικαπανίδης. » 1
Ἰω. Λ. Καλαφατίδης. » 1
Ν. Σιργανίδης. » 1
Δ. Λ. Καρβουνίδης. » 1
Περικλῆς Τριανταφυλλίδης. » 1
Δ. Π. Αὐγερινός. » 1

Κωνσταντινουπόλεως.

Ὁ Παν. Μητροπ. Κ. Σαμουὴλ ὁ Κύπριος, Διευθυντὴς τῆς Φιλοσοφικῆς τοῦ Γένους Σχολῆς. » 1
Κ. Εὐθυβούλης Καθηγητής. » 1
Γεώργιος Νεκταρίδης Ῥαιδεστινός. » 1
Ι. Α. Φιλαλήθης. » 1

Ἀττικῆς

Ἡ ἐκκλησιαστικὴ Ῥιζάρειος Σχολή. » 20
Νικόλαος Πανταλέων δικηγόρος. » 1
Βενιαμὶν Κανανός. » 1
Σταῦρος Γ. Ῥοδοκανάκης. » 1
Διονύσιος Ἱεροδιάκονος Μαλδαρέσκος ἐκ τῆς Ἐπισκοπῆς Ῥημνήκου. » 1
Ἠλίας Βενέσκος ἐκ Κραϊόβης. » 1
Λάζαρος Δρουτζιάνος ἐκ Βουκορεστίου. » 1
Ἰωάννης Νικολέσκος ἐκ

Digitized by Google

Βουκορεστίου.	Σώμ. 1	Χαράλαμπος Μπακόπουλος.	» 1
Δημήτριος Ῥακόβητζ.	» 1	Ν. Ι Θαλασσινός.	» 1
Ἀργολίδος.		Κύριλλος Ἱεροδιάκονος Κρής.	» 1
Παππᾶ Ἀνδρέας Σ. Νομοφύλαξ.	» 1	Β. Παυλίδης.	» 1
Ἐμμανουὴλ Ν. Δανδρές.	» 1	Π. Γρηγορόπουλος.	» 1
Δημήτριος Γ. Παππαγιάννη.	» 1	Ν. Σπηλιάδης.	» 1
		Ν. Γιαννόπουλος.	» 1

ΠΑΡΟΡΑΜΑΤΑ.

Σελ. 4	στ. 22	προυργιαίτερον	Γράφε προὐργιαίτερον.
» 7	» 7	τὸ τεχνούργημα	» τὸν τεχνίτην
» 9	» 13	τῶ ἀνθρώπῳ	» τῷ ἀνθρώπῳ
» 12	» 27	τὸ κέντρον	» ἡ ἀρχὴ
» 14	» 3	Προῆλθον·	» Προῆλθον
» 17	» 12	πρακ-	» πρα-
» 17	» 13	τικῶν	» κτικῶν
» 32	» 28	ὠμοιώθη	» ὡμοιώθη·
» 46	» 29	καὶ κατεπείγοντες	» καὶ ἧττον κατεπείγοντος
» 48	» 19	οὕτω	» οὕτως,
» 58	» 14	μελέτῃ	» μελέτη
» 64	» 27	θερίσει ὅτι	» θερίσει· ὅτι
» 65	» 12	Τούθ' ἕνεκα	» Τούτου ἕνεκα
» 79	» 4	σθένειναν	» ἀσθένειαν
» 86	» 1	ἀπεργάζεται·	» ἀπεργάζεται,
» 90	» 3	χρήσιμαι,	» χρήσιμοι,
» 106	» 8	ἐπιτήδεια εἰσί,	» ἐπιτήδειά εἰσι,
» 107	» 31	eurat	» cura

Digitized by Google

Σελ.	115	στ. 6	φιλαργυρία ἡ	Γράφε φιλαργυρία, ἡ
»	118	» 10	κορενύμενος	» κορεννύμενος
»	118	» 11	Τούθ' ἕνεκα	» Τούτου ἕνεκα
»	119	» 20	ἱμαστισμῷ	» ἱματισμῷ
»	120	» 8	αὐτὴν ὡς	» αὐτὴν, ὡς
»	124	» 31	παρ'	» παρὰ
»	126	» 6	προαγωγῇ	» προαγωγῇ
»	129	» 8-9	αἰ-σχρὸν	» αἰσ-χρὸν
»	130	» 5-6	λαγ-νεία	» λα-γνεία
»	130	» 12	κἂν	» κᾶν
»	130	» 15	ὧν ἔγνω,	» ὧν ἔγνω,
»	137	» 21	χάρισματα	» χαρίσματα
»	137	» 2-3	βασ-καίνειν	» βα-σκαίνειν
»	142	» 27-28	λεπ-τοτέραν	» λε-πτοτέραν
»	143	» 20	φησὶν,	» φησὶν,
»	144	» 12	Εἵλωτας	» Εἵλωτας
»	151	» 12	κἂν	» κᾶν
»	160	» 28	Τούθ' ἕνεκα	» Τούτου ἕνεκα
»	160	» 29	δένδρω	» δένδρῳ
»	169	» 10	νοῖ	» νοῖ
»	171	» 28	νοεράτε	» νοερά τε
»	175	» 3	ὑποστηρίζουσαι	» ὑποστηρίζουσαι
»	175	» 19	κἀκεῖνο	» κἀκεῖνο,
»	180	» 5	Τούθ' ἕνεκα	» Τούτου ἕνεκα
»	180	» 19	ἑαυτῶ	» ἑαυτῷ
»	185	» 14	τῶ τε	» τῷ τε
»	188	» 1	Τούθ' ἕνεκα	» Τούτου ἕνεκα
»	189	» 7	ἄλλης τινος	» ἄλλης τινὸς
»	190	» 1	προϋποτίθηται,	» προϋποτίθησι,
»	190	» 2	τῆς τε	» τῆς τε-
»	198	» 24	ἐπειφάνειαν	» ἐπιφάνειαν
»	199	» 30	ἐντελέστερον	» εὐτελέστερον
»	203	» 1	ἀγαπῷ το,	» ἀγαπῷτο,
»	204	» 19	ἀληθεία,	» ἀληθείᾳ,

Digitized by Google

Σελ.	204	στ. 26	τοσούτω	Γράφε τοσούτῳ
»	205	» 26	χρητὰ	» χρηστὰ
»	206	» 22	ὑπὲρ	» ὑπὲρ
»	209	» 11	ἀγάπης· ἐγγιγνομένην	» ἀγάπης ἐγγιγνομένην·
»	250	» 11-12	εὑρίσ-κονται	» εὑρί-σκονται
»	255	» 29	τίμιον ἐστὶ	» τίμιόν ἐστι
»	257	» 17-20	διαβεβαῖοι	» διαβεβαιοῖ
»	258	» 25	ὑπισχεῖται	» ὑπισχνεῖται
»	262	» 18	πᾶσης ἐστὶ	» πάσης ἐστὶ
»	262	» 26	παιδίαν	» παιδείαν
»	263	» 17	Ἰαραηλίταις.	» Ἰσραηλίταις.
»	264	» 12	παρθινία	» παρθένια
»	267	» 18	τέλειος ἔστὶ	» τέλειός ἐστι
»	271	» 4	ἑκἀτέρου	» ἑκάτερον
»	271	» 23	ὕστερον	» ἵν' ὕστερον
»	272	» 28	δενάμεων	» δυνάμεων
»	273	» 6	τὴν δύναμιν	» τῆς δυνάμεως
»	»	» 4	ἠδύνατο	» ἠδύνατο
»	276	» 28	ζώη	» ζῴη
»	»	» 26	βάρους τινος	» βάρους τινὸς
»	283	» 6	εσοιτο	» ἔσοιτο
»	291	» 27	ἧττον	» ἧττον
»	308	» 28	ὀστᾷ	» ὀστᾶ
»	309	» 19	ἐνεργεία	» ἐνεργείᾳ
»	310	» 11	ἀναγκᾶσαι	» ἀναγκάσαι
»	311	» 5	σοκοφαντίαν	» συκοφαντίαν
»	324	» 24	ταυτὸν	» ταὐτὸν
»	335	» 15	θαλλάγηθι	» διαλλάγηθι
»	341	» 13	προεγγίζειν	» προσεγγίζειν
»	344	» 15	πάσῃ	» πάσῃ
»	359	» 23	δόλῃ	» δόλῳ
»	364	» 8	ἐπικίδυνον	» ἐπικίνδυνον
»	369	» 17	ἱκανὸν	» ἱκανὸν
»	370	» 15	καταλαμβάνετο	» κατελαμβάνετο

Digitized by Google

Σελ.	371	στ. 2	τῇ βιασθείσῃ	Γράφε. τῇ βιασθείσῃ
»	372	» 27	ἀποβλέψας	» ἀποβλέψας
»	377	» 15	πράτειν	» πράττειν
»	397	» 24	δυρεύρετος	» δυσεύρετον
»	399	» 18	τῇ πράξει	» τῇ πράξει
»	409	» 16	ἐρείσειεν	» ἐρίσειεν
»	411	» 26	ἀπαδοθῆναι	» ἀποδοθῆναι
»	412	» 4	εἰσι	» εἰσί
»	»	» 8	ἐστι	» ἐςὶ
»	413	» 7	γενετησίου	» γενετησίου
»	423	» 26	δακρίσει	» διακρίσει
»	428	» 27	δκαιώμανα	» δικαιώματα
»	429	» 30	πρωσώποις	» προσώποις
»	434	» 22	διδοκιμασμένοις	» δεδοκιμασμένοις
»	437	» 24	ἣν ἔχῃ	» ἣν ἔχει
»	441	» 5	ἐν ἀρχῇ	» ἐν ἀρχῇ
»	444	» 11	κατστροφὴ	» καταστροφὴ
»	450	» 18	πασῶν	» πάντων

4 JY 68

Digitized by Google

Digitized by Google

